Class 238.19 M582
Book cop 3
General Theological Seminary Library
CHELSEA SQUARE, NEW YORK

PRESENTED BY
Soc'y for Promoting Religion and Learning

PAUL KOEHLER
BUCHHÄNDLER U. ANTIQUAR
LEIPZIG

ΘΗΣΑΥΡΟΣ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ

Die Bekenntnisse

und die

wichtigsten Glaubenszeugnisse

der

griechisch-orientalischen Kirche

im Originaltext, nebst einleitenden Bemerkungen

von

Jon Michalcescu
Lizentiaten der gr.-or. Theologie (Universität Bukarest)
Doktor der Philosophie (Universität Leipzig)

Eingeführt
von
Professor D. **Albert Hauck**

Leipzig
J. C. Hinrichs'sche Buchhandlung
1904

238.19
M582

91664

GEN. THEO. SEMINARY
LIBRARY
NEW YORK

Herr Dr. J. Michalcescu hat mich ersucht, seinem *Θησαυρὸς τῆς ὀρθοδοξίας* einige Worte zur Einführung mitzugeben. Ich komme seinem Wunsche gern nach. Denn ich glaube, daß seine Sammlung eine Lücke unserer Literatur ausfüllt. Ich wenigstens habe es immer als lästig empfunden, daß es an einem handlichen Werke fehlte, das den Studierenden Einblick in die Quellen für Lehre und Leben der orientalischen Kirche gewährte. Diesem Mangel hilft der Thesaurus orthodoxias ab. Man wird ihn besonders deshalb dankbar begrüßen, weil Herr Dr. Michalcescu sich nicht begnügt, die sogenannten Bekenntnisschriften der orientalischen Kirche wieder abzudrucken, sondern weil er ihnen einen Auszug aus den Beschlüssen der ökumenischen Synoden vorausschickt und durch die liturgischen Stücke, die Gebetsformulare und Hymnen des Anhangs das gottesdienstliche Leben seiner Kirche kennen lehrt.

Der Weltverkehr der Gegenwart hat die Berührungen zwischen den verschiedenen Kirchen in früher nicht gekannter Weise vermehrt und wird sie aller Voraussicht nach in steigendem Maße vervielfältigen. Deshalb verdient jede Arbeit Dank, die dazu dient, daß man sich gegenseitig kennen lerne. Eine solche Arbeit ist die vorliegende. Möge sie freundliche Aufnahme finden!

Leipzig, 31. Januar 1904.

Hauck.

Vorrede des Herausgebers.

Das vorliegende Werk umfaßt eine vollständige Sammlung der symbolischen Bücher der griechisch-orientalischen Kirche. Die bisher einzige Gesamtausgabe veranstaltete 1844 der Jenenser Professor Ernst Kimmel unter dem Titel „Libri symbolici ecclesiae orientalis“ und nach seinem Tode ließ 1850 sein Kollege Hermann Weißenborn eine zweite Auflage unter dem Titel „Monumenta fidei ecclesiae orientalis“ ausgehen. Anscheinend ist der erste Teil der letzteren nur eine unveränderte Ausgabe von ersterer, der Weißenborn die von Kimmel im Manuskript hinterlassene Confessio des Metrophanes Kritopulos als Teil II hinzufügte. Schon seit Jahren waren beide Ausgaben käuflich nicht mehr aufzutreiben, was mir bei Abfassung meiner Symbolik (Compendiu de Teologie simbolica 317 S., Bukarest, 1902) besonders fühlbar wurde und mir den Gedanken dieses Neudrucks nahelegte.

Die anerkannte Vortrefflichkeit der Kimmel-Weißenbornschen Ausgabe erlaubte mir, die Texte aus ihr zu übernehmen, ohne auf ältere Drucke und Manuskripte der einzelnen Bücher zurückzugreifen; sie ermöglichte es mir auch, viele von Kimmels Anmerkungen, die ihm seinerzeit zur kritischen Sichtung der Texte unentbehrlich waren, auszuscheiden; nur einige zur Erklärung besonders dunkler Stellen behielt ich bei.

Dagegen schien es geboten, die Lehrbeschlüsse der sieben ökumenischen Synoden dem Buche voranzustellen, jedem Bekenntnis eine kurze Einführung beizugeben und dem Anhange die Liturgie des Chrysostomus, Auszüge der wichtigsten Mönchsregeln, sowie einige Gebete einzufügen. Ich bin hier Herrn Geh. Kirchenrat Professor D. Albert Hauck für trefflichen Rat zu lebhaftem Dank verpflichtet und glaube, daß auch der modernen Konfessionskunde damit ein Dienst geleistet wird.

Bukarest, Seminarul Central.
Januar 1904.

J. M.

I.

Die Lehrbeschlüsse der ökumenischen Synoden.

Das Nicänische Konzil[1] (325).

Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ πατρὸς μονογενῆ, τοῦτ' ἔστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τάτε ἐν οὐρανῷ, τάτε ἐν τῇ γῇ· τὸν δἰ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα.

Τοὺς δὲ λέγοντας, ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτισὸν, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ, ἀναθεματίζει ἡ ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία.

Das von Eusebius, Bischof von Cesaräa (Palestinae) auf der Synode zu Nicäa vorgelesene Symbol.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν,

[1]) Die Lehrbeschlüsse der ökumenischen Synoden sind die Grundlage, auf welcher das ganze Lehrgebäude der gr.-or. Kirche beruht. Ihre Kenntnis ist für das Studium der Konfessionskunde unumgänglich und ihre Bedeutung für dieselbe steht über derjenigen der symbolischen Bücher. Aus diesem Grunde stellen wir diese Beschlüsse an die Spitze unserer Ausgabe. Näheres über die Fassung derselben anzugeben wäre höchst überflüssig, denn jeder, der sich mit Theologie befasst, kennt aus der Kirchengeschichte: Wann und wo und unter welchen Umständen und zu welchem Zwecke die ökumenischen Synoden abgehalten worden sind. Und wer das kennt, kennt damit auch, wie die Lehrbeschlüsse von den Synoden gefasst worden sind.

τὸν τοῦ Θεοῦ λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα· τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα, καὶ ἐν ἀνθρώποις πολιτευσάμενον, καὶ παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα πρὸς τὸν πατέρα, καὶ ἥξοντα πάλιν ἐν δόξει κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν καὶ εἰς ἓν πνεῦμα ἅγιον, ἀληθῶς πνεῦμα ἅγιον, καθῶς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς, εἶπε· πορευθέντες μαθητεύσατε τὰ πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Das Konstantinopolitanische Konzil (381).

Τὸ ἐκτεθὲν
παρὰ τῆς αὐτῆς συνόδου τῆς ἐν Κονσταντινουπόλει σύμβολον.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα. σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ κατεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς. οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Das Konzil zu Ephesus (431).

Ὅρος τῆς συνόδου περὶ πίστεως,
ἐν ᾧ καὶ περὶ ὧν ἀντιένεγκεν ὁ Χαρίσιος.

Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων τιή' ἁγίων πατέρων· τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν, ἢ προσφέρειν τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐκ Ἑλληνισμοῦ, ἢ ἐκ Ἰουδαϊσμοῦ, ἢ ἐξ αἱρέσεως οἱασδηποτιοῦ· τούτους, εἰ

μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι.

Κατὰ τὸν ἴσον δὲ τρόπον, εἰ φωραθεῖέν τινες, εἴτε ἐπίσκοποι, εἴτε κληρικοί, φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇ προσκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου πρεσβυτέρου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου· ὥστε δηλονότι τὸν μὲν ἐπίσκοπον ἀλλοτριοῦσθαι τῆς ἐπισκοπῆς, καὶ εἶναι καθῃρημένον· τὸν δὲ κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου. εἰ δὲ λαϊκός τις εἴη, καὶ οὗτοι ἀναθεματιζέσθωσαν, καθὼς προείρηται.

Das Konzil zu Chalcedon (451).

In der fünften Sitzung folgte auf die Verlesung der Symbole von Nicäa und von Konstantinopel:

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσὶν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περὶ τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλὰ ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα, διὰ τῶν οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον, οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμῶντες, καὶ τὴν θεοτόκον ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι· οἱ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες, καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀνοήτως ἀναπλάττοντες, καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῇ συγχύσει τερατευόμενον· διὰ τοῦτο πᾶσαν αὐτῆς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως, τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον· καὶ διὰ μὲν τοὺς τῷ πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνοις ὕστερον παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως συνελθόντων ἑκατὸν πεντίκοντα ἁγίων πατέρων περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ· ἣν ἐκεῖνοι τοῖς πάσιν ἐγνώρισαν, οὐκ ὡς τι λεῖπον τοῖς προσλαβοῦσιν ἐπάγοντες, ἀλλὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθετεῖν πειρομένων γραφικαῖς μαρτυρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραφθείρειν ἐπιχεροῦντας μυστήριον, καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας τεχθέντα Μαρίας, ἀναιδῶς ληρῳδοῦντας, τὰς τοῦ μακαρίου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος, συνοδικὰς ἐπιστολὰς πρὸς Νεστόριον καὶ πρὸς τοὺς τῆς ἀνατολῆς, ἁρμοδίως οὔσας ἐδέξατο, εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν εὐσεβεῖ

ζήλῳ τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης Ῥόμης προέδρου τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἀρχιεπίσκοπον Φλαυιανὸν ἐπ' ἀναιρέσων τῆς Εὐτυχοῦς κακονοίας, ἅτε δὴ τῇ τοῦ μεγάλου Πέτρου ὁμολογίᾳ συμβαίνουσαν, καὶ κοινὴν τινα στήλην ὑπάρχουσαν κατὰ τῶν καταδοξούντων, εἰκότως συνήρμοσα, πρὸς τὴν τῶν ὀρθοδόξων δογμάτων βεβαίωσιν. τοῖς τε γὰρ εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπᾷν ἐπιχειροῦσι μυστήριον, παραπτάττεται· καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς λέγειν τολμῶντας τὴν θεότητα, τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου· καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται· καὶ τοὺς οὐρανίου, ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῷ τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει· καὶ τῆς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας ἀναθεματίζει· ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμέρων τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου τῆς θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν καὶ μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστὸν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμβολον· τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γοῦν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως. τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ γοῦν προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀληθείας ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι αὐτούς.

Das Konstantinopolitanische Konzil (553).

Fragment aus dem Ediktum des Kaisers Justinian.

I. *Εἴτις οὐχ ὁμολογεῖ πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤγουν φύσιν καὶ οὐσίαν, μίαν τε δύναμιν καὶ ἐξουσίαν, ἐν τρισὶν ὑποστάσεσιν ἤγουν προσώποις προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

II. *Εἴτις οὐχ ὁμολογεῖ τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμέρων σαρκωθέντα ἐκ τῆς ἁγίας καὶ ἀειπαρθένου Μαρίας, καὶ ἄνθρωπον γενόμενον γεννηθέντα ἐξ αὐτῆς, καὶ διὰ τοῦτο τοῦ αὐτοῦ Θεοῦ λόγου εἶναι τὰς δύο γεννήσεις, τὴν τε πρὸ αἰώνων ἀσωμάτως καὶ τὴν ἐπ' ἐσχάτων τῶν ἡμέρων κατὰ σάρκα, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

III. *Εἴτις λέγει ἄλλον εἶναι τὸν Θεὸν λόγον τὸν θαυματουργήσαντα, καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα· ἢ τὸν Θεὸν λόγον συνεῖναι τῷ Χριστῷ λέγει γενομένῳ ἐκ γυναικὸς, ἢ ἐν αὐτῷ εἶναι ὡς ἄλλον ἐν ἄλλῳ, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

IV. *Εἴτις λέγει κατὰ χάριν, ἢ κατὰ ἐνεργείαν, ἢ κατὰ ἀξίαν, ἢ κατὰ ἰσοτιμίαν, ἢ κατὰ αὐθεντίαν, ἢ ἀναφορὰν, ἢ σχέσιν, ἢ δύναμιν, τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι, ἢ καθ' ὁμωνυμίαν, καθ' ἣν οἱ Νεστοριανοὶ καὶ τὸν Θεὸν λόγον Χριστὸν καλοῦντες, καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν ὀνομάζοντες κατὰ μόνην τὴν προσηγορίαν ἕνα Χριστὸν λέγουσιν· εἰ εἴτις λέγει κατ' εὐδοκίαν τὴν ἕνωσιν γεγενῆσθαι, καθῶς Θεόδωρος ὁ αἱρετικὸς αὐταῖς λέξεσι λέγει, ὡς ἀρεθέντος τοῦ Θεοῦ λόγου τῷ ἀνθρώπῳ, ἀπὸ τοῦ εὖ καὶ καλὰ δόξαι αὐτῷ περὶ αὐτοῦ, οὐχὶ καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὴν ἕνωσιν ὁμολογεῖ, καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

V. *Εἴτις κατὰ ἀναφορὰν, ἢ κατὰ χρηστικῶς θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, ἢ ἀνθρωποτόκον, ἢ Χριστοτόκον, ὡς τοῦ Χριστοῦ μὴ ὄντος Θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατ' ἀλήθειαν θεοτόκον αὐτὴν ὁμολογεῖ, διὰ τὸ τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα Θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμέρων ἐξ αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

VI. *Εἴτις οὐκ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν, καὶ κύριον τῆς δόξης, καὶ ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.*

VII. *Εἴτις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα ὁμολογεῖ, μηδὲ ἐπὶ τῷ σημᾶναι τὴν διαφορὰν τῶν φύσεων,*

ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαρέσει τῇ ἀνὰ μέρος τὴν τιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου· ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς φύσεις, καθὼς Θεόδωρος καὶ Νεστόριος βλασφημοῦσιν· ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

VIII. Εἴτις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστι τοῦ σαρκωθέντος Θεοῦ λόγου τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν, μὴ τῇ θεωρίᾳ τὴν διαφορὰν τούτων, ἐξ ὧν καὶ συνετέθη, λαμβάνει, ὡς ταύτης οὐκ ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ διαίρεσιν τῇ ἀνὰ μέρος τῷ ἀριθμῷ κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

IX. Εἴτις λέγων, μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, οὐχ οὕτως αὐτὸ ἐκλαμβάνει, ὡς ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα· ἀλλ' ὅτι τῆς θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις, ἤτοι οὐσία ἀπετελέσθη, κατὰ τὴν Ἀπολιναρίου καὶ Εὐτυχοῦς κακοπιστίαν· ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ἐπίσης γὰρ καὶ τὶς ἀνὰ μέρος διαιροῦντας ἤτοι τέμνοντας, καὶ τὶς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται καὶ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία.

X. Εἴτις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολινάριον, Νεστόριον, Εὐτυχέα, καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

XI. Εἴτις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας τοῦ εἰποντος, ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν, καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατὰ ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ Θεοῦ λόγου προσκυνούμενον, καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις, καὶ ἀναμάρτητον παντελῶς γενόμενον· καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸν Χριστὸν τιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικός· ἔσονται οἱ δύο εἰς σάρκα μίαν. καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς, καὶ εἰπών· λάβετε πνεῦμα ἅγιον· οὐ δέδωκεν αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησεν· οὕτω δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ, τὴν ἐπὶ τῇ ψηλαφήσει τῶν χερῶν, καὶ τῆς πλευρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν, λέγων τό· ὁ κύριός μου καὶ Θεός μου· εἶπε μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ, οὐδὲ γὰρ εἶναι λέγει τὸν κύριον Θεὸν, ἀλλ' ἐπὶ τῷ παραδόξῳ τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν Θεὸν τὸν ἐγείραντα τὸν Χριστόν· τὸ δὲ χεῖρον, ὅτι καὶ ἐν τῇ τῶν πράξεων τῶν ἀποστόλων γενομένῃ παρ' αὐτοῦ δῆθεν ἑρμηνείᾳ συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι, καὶ Μανιχαίῳ, καὶ Ἐπικούρῳ, καὶ Μαρκίωνι, λέγει ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῷ μαθητεύσαντας

πεποίηκε καλεῖσθαι Πλατωνικούς, καὶ Μανιχαίους, καὶ Ἐπικουρέους, καὶ Μαρκιωνιστάς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα, ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς καλεῖσθαι. Εἴτις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν, καὶ τὰ αὐτοῦ συγγράμματα, καὶ τοὺς τὰ ὅμοια αὐτῷ φρονοῦντας ἢ φρονήσοντας, ἀνάθεμα ἔστω.

XII. Εἴτις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρίτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρετικοῦ, καὶ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῶν ιβ' αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμμασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸν τινα ἄνθρωπον· περὶ οὗ βλασφημῶν λέγει, ὅτι ἐψηλάφησε Θωμᾶς τὸν ἀναστάντα, καὶ προσεκύνησε τὸν ἐγείραντα· καὶ διὰ τοῦτο ἀσεβεῖς καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους, τοὺς καθ' ὑπώστασιν τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας· καὶ πρὸς τούτοις θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν. Εἴτις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρίτου ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὰ, ἀνάθεμα ἔστω. διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ μετὰ ταῦτα ἐν τῇ ἁγίῳ συνόδῳ τῇ ἐν Χαλκεδόνι συνωθήθη πάντα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασι ποιῆσαι, καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

XIII. Εἴτις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικὸν, τῆς ἀρνουμένης τὸν Θεὸν ἄνθρωπον γεγενῆσθαι· καὶ λεγούσης μὴ τὸν Θεὸν λόγον ἐκ τῆς παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεγεννηθῆναι, ὅν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν ἄνθρωπον· πρὸς τούτοις δὲ ἐνιβριζούσης τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς χωρὶς ζητήσεως καὶ κρίσεως Νεστόριον καταδικασάσης· καὶ τὸν ἐν ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης, καὶ ἀσεβῆ τὰ ιβ' αὐτοῦ καφάλαια· Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν αὐτοῦ ἀσεβῶν συγγραμμάτων ἐπαινούσης, καὶ ἐκδικούσης· εἴτις τοίνυν τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ, ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει, ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὴν, ἀνάθεμα ἔστω.

Das sechste ökumenische
oder
dritte Konstantinopolitanische Konzil (681).

Fragment aus der XVIII. Sitzung.

. . . . . Ἐξήγειρε τοίνυν Χριστὸς ὁ Θεὸς ἡμῶν τὸν πιστὸν βασιλέα τὸν νέον Δαυὶδ, ἄνδρα κατὰ τὴν ἑαυτοῦ καρδίαν εὑρικώς· ὃς οὐκ ἔδωκε, κατὰ τὸ γεγραμμένον, ὕπνον τοῖς ὀφθαλμοῖς αὐτοῦ, καὶ τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, ἕως ὅπου διὰ τῆς καθ' ἡμᾶς θεοσυλλέκτου ταύτης καὶ ἱερᾶς ὁμηγύρεως τὸ τῆς ὀρθοδοξίας ἠῦρε τέλειον κήρυγμα· κατὰ γὰρ τὴν θεόλεκτον φωνὴν, ὅπου εἰσὶ δύο ἢ τρεῖς ἐπὶ τῷ ἐμοῦ

ὀνόματι συνηγμένοι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν· ἦ τις παροῦσα ἁγία καὶ οἰκουμενικὴ σύνοδος πιστῶς δεξαμένη καὶ ὑπτίαις χερσὶν ἀσπασαμένη τὴν τε τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος γενομένην ἀναφορὰν πρὸς τὸν εὐσεβέστατον καὶ πιστότατον ἡμῶν βασιλέα Κωνσταντῖνον, τὴν ἀποβαλλομένην ὀνομαστὶ τοὺς κηρύξαντας καὶ διδάξαντας, ὡς προδεδήλωται, ἓν θέλημα καὶ μίαν ἐνεργείαν ἐπὶ τῆς εὐσάρκου οἰκονομίας Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ὡσαύτως δὲ προσηκαμένη καὶ τὴν ἐκ τῆς ὑπὸ τὸν αὐτὸν ἁγιώτατον πάπαν ἱερᾶς συνόδου τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων, ἑτέραν συνοδικὴν ἀναφορὰν πρὸς τὴν αὐτοῦ θεόσοφον χαληνότητα, οἵα τε συμφωνούσας τῇ τε ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ, καὶ τῷ τόμῳ τοῦ πανιέρου καὶ μακαριωτάτου πάπα τῆς αὐτῆς πρεσβυτέρας Ῥώμης Λέοντος, τῷ σταλέντι πρὸς Φλαβιανὸν τὸν ἐν ἁγίοις· ὅν καὶ στήλην ὀρθοδοξίας ἡ τοιαύτη σύνοδος ἀπεκάλεσεν· ἔτι μὴν καὶ ταῖς συνοδικαῖς ἐπιστολαῖς ταῖς γραφείσαις παρὰ τοῦ μακαρίου Κυρίλλου κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, καὶ πρὸς τοὺς τῆς ἀνατολῆς ἐπισκόπους. ἑπομένη δὲ ταῖς τε ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις πατράσιν, καὶ συμφώνως ὁρίζουσα ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν τὸν ἕνα τῆς ἁγίας ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος τέλειον ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας· τὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμέρων τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκου κατὰ τὴν ἀνθρωπότητα· ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν κύριον μονογεννῆ ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογεννῆ Θεοῦ λόγου κυρίου Ἰησοῦν Χριστὸν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς ὁ Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν ἁγίων πατέρων ἡμῖν παραδέδωκε σύμβολον· καὶ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως κατὰ τὴν τῶν ἁγίων πατέρων διδασκαλίαν ὡσαύτως κηρύττομεν· καὶ δύο μὲν φυσικὰ θελήματα οὐχ ὑπεναντία, μὴ γένοιτο, καθὼς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικὸν, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιτίπτον ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν οὖν καὶ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι· ἔδει γὰρ τὸ τῆς σαρκὸς θέλημα κινηθῆναι, ὑποταγῆναι δὲ τῷ θελήματι τῷ θεϊκῷ κατὰ τὸν πάνσοφον Ἀθανάσιον· ὥσπερ γὰρ ἡ αὐτοῦ σὰρξ, σὰρξ τοῦ Θεοῦ λόγου λέγεται καὶ ἔστιν, οὕτω καὶ τὸ φυσικὸν τὴς σαρκὸς αὐτοῦ θέλημα

ἴδιον τοῦ Θεοῦ λόγον λέγεται καὶ ἔστι, καθ' ἃ φησὶ αὐτός· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψατός με πατρός· ἴδιον λέγων θέλημα αὐτοῦ τὸ τῆς σαρκὸς, ἐπεὶ καὶ ἡ σὰρξ ἰδία αὐτοῦ γέγονεν. ὃν γὰρ τρόπον ἡ παναγία καὶ ἄμωμος ἐψυχωμένη αὐτοῦ σὰρξ θεωθεῖσα οὐκ ἀνῃρέθη, ἀλλ' ἐν τῷ ἰδίῳ αὐτῆς ὅρῳ τε καὶ λόγῳ διέμεινεν· οὕτω καὶ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα θεωθὲν οὐκ ἀνῃρέθη, σέσωσαι δὲ μᾶλλον, κατὰ τὸν θεολόγον Γρηγόριον λέγοντα· τὸ γὰρ ἐκείνου θέλειν, τοῦ κατὰ τὸν σωτῆρα νοουμένου οὐδὲ ὑπεναντίον θεῷ, θεωθὲν ὅλον. δύο δὲ φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως ἐν αὐτῷ τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ ἀληθινῷ Θεῷ ἡμῶν δοξάζομεν· τουτέστι θείαν ἐνεγείαν, καὶ ἀνθρωπίνην ἐνεργείαν, κατὰ τὸν θεηγόρον Λέοντα τρανέστατα φάσκοντα· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο, ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος· οὐ γὰρ δήπου μίαν δώσωμεν φυσικὴν τὴν ἐνεργείαν Θεοῦ καὶ ποιήματος, ἵνα μὴ τε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γεννητοῖς πρέποντα καταγάγωμεν τόπον· ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη γινώσκομεν κατ' ἄλλο καὶ ἄλλο τῶν ἐξ ὧν ἐστὶ φύσεων, καὶ ἐν αἷς τὸ εἶναι ἔχει, ὡς ὁ θεσπέσιος ἔφησε Κύριλλος. πάντοθεν γοῦν τὸ ἀσύγχυτον καὶ ἀδιαίρετον φυλάττοντες, συντόμῳ φωνῇ τὸ πᾶν ἐξαγγέλλομεν· ἕνα τῆς ἁγίας Τριάδος καὶ μετὰ σάρκωσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν εἶναι πιστεύοντες, φαμὲν δύο αὐτοῦ τὰς φύσεις ἐν τῇ μιᾷ αὐτοῦ διαλαμπούσας ὑποστάσει· ἐν ᾗ τά τε θαύματα καὶ τὰ παθήματα δι' ὅλης αὐτοῦ τῆς οἰκονομικῆς ἀναστροφῆς οὐ κατὰ φαντασίαν, ἀλλὰ ἀληθῶς ἐπεδείξατο· τῆς φυσικῆς ἐν αὐτῇ τῇ μιᾷ ὑποστάσει διαφορᾶς γνωριζομένης, τῷ μετὰ τῆς θατέρου κοινωνίας ἑκατέραν φύσιν θέλειν τε καὶ ἐνεργεῖν τὰ ἴδια· καθ' ὃν δὴ λόγον καὶ δύο φυσικὰ θελήματά τε καὶ ἐνεργείας δοξάζομεν πρὸς σωτηρίαν τοῦ ἀνθρωπίνου γένους καταλλήλως συντρέχοντα. τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελίας παρ' ἡμῶν διατυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως. τοὺς δὲ τολμοῦντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ Ἑλληνισμοῦ ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ γοῦν ἐξ αἱρέσεως οἱασοῦν, ἢ καινωφονίαν, ἤτοι λέξεως ἐφεύρεσιν πρὸς ἀνατροπὴν εἰσάγειν τῶν νυνὶ παρ' ἡμῶν διορισθέντων· τούτους εἰ μὲν ἐπίσκοποι εἶεν, ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου. εἰ δὲ μονάζοντες εἶεν, ἢ λαϊκοὶ, ἀναθεματίζεσθαι αὐτούς. —

Das siebente ökumenische oder zweite Nicänische Konzil.

Siebente Sitzung.

Ὅρος τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον.

..... *Ὁρίζομεν σὺν ἀκριβείᾳ πάσῃ καὶ ἐμμελείᾳ παραπλησίως τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἀνατίθεσθαι τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας, τὰς ἐκ χρωμάτων καὶ ψηφῖδος καὶ ἑτέρας ὕλης ἐπιτηδείως ἐχούσης, ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, ἐν ἱεροῖς σκεύεσι, καὶ ἐσθῆσι, τοίχοις τε καὶ σανίσιν, οἴκοις τε καὶ ὁδοῖς· τῆς τε τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰκόνος, καὶ τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, τιμίων τε ἀγγέλων, καὶ πάντων ἁγίων καὶ ὁσίων ἀνδρῶν. ὅσῳ γὰρ συνεχῶς δι' εἰκονικῆς ἀνατυπώσεως ὁρωνται, τοσοῦτον καὶ οἱ ταύτας θεώμενοι διανίστανται πρὸς τὴν τῶν πρωτοτύπων μνήμην τε καὶ ἐπιπόθησιν, καὶ ταύταις ἀσπασμὸν καὶ τιμητικὴν προσκύνησιν ἀπονέμειν, οὐ μὴν τὴν κατὰ πίστιν ἡμῶν ἀληθινὴν λατρείαν, ἣ πρέπει μόνῃ τῇ θείᾳ φύσει. ἀλλ' ὃν τρόπον τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ τοῖς ἁγίοις εὐαγγελίοις καὶ τοῖς λοιποῖς ἱεροῖς ἀναθήμασι, καὶ θυμιαμάτων καὶ φώτων προσαγωγὴν πρὸς τὴν τούτων τιμὴν ποιεῖσθαι, καθὼς καὶ τοῖς ἀρχαίοις εὐσεβῶς εἴθισται. ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβένει· καὶ ὁ προσκεινῶν τὴν εἰκόνα, προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. οὕτω γὰρ κρατύνεται ἡ τῶν ἁγίων πατέρων ἡμῶν διδασκαλία, εἴτυν παράδοσις τῆς κατολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων εἰς πέρατα δεξαμένης τὸ εὐαγγέλιον· οὕτω τῷ ἐν Χριστῷ λαλήσαντι Παύλῳ καὶ πάσῃ τῇ θείᾳ ἀποστολικῇ ὁμηγύρει καὶ πατρικῇ ἁγιότητι ἐξακολουθοῦμεν, κρατοῦντες τὰς παραδόσεις ἃς παρειλήφαμεν· οὕτω τοὺς ἐπινικίους τῇ ἐκκλησίᾳ προφητικῶς κατεπάδομεν ὕμνους· χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυττε θύγατερ Ἰερουσαλήμ· τέρπου καὶ εὐφραίνου ἐξ ὅλης τῆς καρδίας σου· περιεῖλε κύριος ἐκ σοῦ τὰ ἀδικήματα τῶν ἀντικειμένων σοι, λελύτρωσαι ἐκ χειρὸς ἐχθρῶν σου. κύριος βασιλεὺς ἐν μέσῳ σου· οὐκ ὄψει κακὰ οὐκέτι, καὶ εἰρήνη ἐπὶ σοὶ εἰς τὸν αἰῶνα χρόνον.*

Τοὺς οὖν τολμῶντας ἑτέρως φρονεῖν ἢ διδασκάλειν, ἢ κατὰ τοὺς ἐναγεῖς αἱρετικοὺς τὰς ἐκκλησιαστικὰς παραδόσεις ἀθετεῖν, καὶ καινοτομίαν τινὰ ἐπινοεῖν, ἢ ἀποβάλλεσθαι τι ἐκ τῶν ἀνατεθειμένων τῇ ἐκκλησίᾳ, εὐαγγέλιον, ἢ τύπον τοῦ σταυροῦ, ἢ εἰκονικὴν ἀναζωγράφησιν, ἢ ἅγιον λείψανον μάρτυρος· ἢ ἐπινοεῖν σκολιῶς καὶ πανούργως, πρὸς τὸ ἀνατρέψαι ἕν τι τῶν ἐνθέσμων παραδόσεων τῆς κατολικῆς ἐκκλησίας· ἔτι γε μὴν ὡς κοινοῖς χρῆσθαι τοῖς ἱεροῖς κειμηλίοις, ἢ τοῖς εὐάγεσι μοναστηρίοις· ἐπισκόπους μὲν ὄντας ἢ κληρικοὺς, καθαιρεῖσθαι προστάττομεν· μονάζοντας δὲ ἢ λαϊκοὺς, τῆς κοινωνίας ἀφορίζεσθαι.

II.

Das Bekenntnis des Gennadius.

Der Verfasser der ersten symbolischen Schrift der gr.-or. Kirche ist Gennadius II., Patriarch von Konstantinopel (1453—1459).

Über die Geburt, Abstammung und Erziehung des Gennadius gibt uns die Überlieferung nicht hinreichende Auskunft. Wahrscheinlich ist er in Konstantinopel um 1400 geboren, wo er eine gründliche, vielseitige Ausbildung genossen hat. Seine reichliche literarische und kirchlich-politische Tätigkeit weist mit voller Klarheit darauf hin. Als Laie hieß er Georgios Kurtesios mit dem Zunamen „Scholarios". — Zu seinen Lehrern scheint auch der gelehrte und beredte Metropolit von Ephesus Marcus Eugenicus, gehört zu haben. Nach Syropulos soll Georgios eine Zeitlang Lehrer der Philosophie (= *διδάσκαλος*) gewesen sein. Der Ruhm seiner Weisheit und Gelehrsamkeit hatte den Ruf als Rat an den Hof des Kaisers Johannes VII. Paläologus zur Folge — *κριτὴς τῆς βασιλικῆς κρίσεως* — (Malax, Historia patriarch. Constantinop.). — Auf dem Unionskonzil zu Florenz (1439) nahm er, obwohl Laie und aus diesem Grunde von den eigentlichen Verhandlungen ausgeschlossen, einen regen Anteil, als warmer Verteidiger der Union. In drei dem Konzile überreichten Reden trat er sehr entschieden für die Union ein, deren Heilsamkeit und Möglichkeit er darstellt, ohne sich jedoch über die Schwierigkeiten des Zustandekommens derselben zu täuschen. Seinen — sich auf dem Konzile befindenden und der Union ungünstig gesinnten — Landsleuten hielt er eine Ansprache über die Dringlichkeit einer Hilfeleistung zur Rettung der von den Türken bedrohten Reichshauptstadt *(Παράκλησις ὑπὲρ εἰρήνης καὶ βοηθείας τῇ πατρίδι)* und sucht auch sonst alle möglichen Mittel, eine dauernde Vereinigung beider Kirchen zustande zu bringen. — Als die mühsam zustande gebrachte Scheinunion sich wieder zerschlagen hatte, einerseits wegen des hartnäckigen Widerstandes des griechischen Volkes und Klerus, andererseits wegen der nichterfüllten Hoffnungen auf eine bewaffnete Hilfe gegen die Türken, worum es sich ja im Grunde handelte, da ging auch der Unionist Georgios Scholarios in die Reihe der Antiunionisten über. Dem un-

ermüdlichen Bekämpfer der Union, dem Metropoliten Marcus Eugenicus gelobte Georgios an dessen Sterbebette (1447) unversöhnliche Feindschaft gegen die römische Kirche und treue Verteidigung der griechischen Konfession (siehe Verba Marci morienti und Responsio Georgii Scholarii bei Migne Patrologia graeca CLX, 529).

Von nun an wurde Georgios der Führer der antiunistischen Partei und richtete eine Reihe von Streitschriften gegen die Lateiner und die Unionsfreunde — *Λατεινοφρόνας* —. Der Umstand, daß der Schwärmerei Georgios' für die Union eine unerbittliche Feindschaft gegen die römische Kirche und gegen die Unionisten auf der Ferse gefolgt, hat manche dazu geführt, zwei Personen dieses Namens, beide Zeitgenossen, anzunehmen nämlich: einen Laien, Gönner der Union, und einen Mönch, Gegner derselben. Leo Allatius (De ecclesia occidentalis atque orientalis perpetua consensione, III, 5. 6; De Georgiis eorumque scriptis) und Caryophyllus vertreten diese Ansicht, welche, wiewohl bereits durch Renaudot, Oudin, Spanheim, R. Simon u. a. widerlegt, jedoch wiederum von Kimmel aufgenommen wurde. (Siehe darüber auch: Fabricius-Harleß, Gaß, Bähr, Steitz, Hefele, Fromann, Dräsecke). — Ein überzeugender Beweis für die Berechtigung dieser Trennung ist dennoch nicht erbracht worden, deshalb ist nicht einzusehen, warum man die eine Person durch zwei ersetzen will. Die Nichterfüllung der abendländischen Bedingungen, unter welchen die Union geschlossen war, das Streben der päpstlichen Kirche lediglich nach rein politischen Zwecken und die dadurch hervorgerufene Enttäuschung machte aus dem Unionsfreunde Georgios den entschiedensten Feind derselben. Das ist die einzig psychologisch berechtigte, natürliche und ungezwungene Erklärung der Stellung Georgios' zur Union.

Die Bekämpfung der Union zog ihm die Ungunst des Hofes zu, welcher sich immer noch auf die gewaffnete Hilfe des Abendlandes, vermittelst der päpstlichen Kurie, Hoffnungen machte. Daher gab Georgios seine Stellung auf und zog sich unter dem Namen Gennadius als Mönch in das Kloster Pantokrator zu Konstantinopel zurück, indem er sich gänzlich der antiunionistischen Bewegung widmete. Im Dezember 1452, als der Kardinallegate Isidor in der Sophienkirche feierlich eine Schattenunion vollzog, prophezeihte Gennadius — durch die politische Kurzsichtigkeit des Hofes und der politischen Männer empört — den Untergang der Stadt und des Staates, des Unionsfrevels wegen.

Nachdem Konstantinopel von den Türken erobert war (29. Mai 1453), forderte der siegreiche Sultan Mahomed II. die Wiederbesetzung des erledigten Patriachenstuhles.

Die einstimmige Wahl des Synodes fiel auf Gennadius, der nicht einmal die klerikalen Weihen besaß. Von dem Metropoliten von Heraklea geweiht, erhielt Gennadius aus der Hand des Sultans den Hirtenstab und die feierliche Belehnung in derselben Weise, wie seine

Vorgänger aus denen der christlichen Kaiser. Da die Sophienkirche zur Moschee umgewandelt wurde, erhielt er als Patriarchalsitz *(πατριαρχεῖον)* die Kirche der heiligen Apostel, vertauschte sie aber bald mit dem Kloster der allerseligsten Mutter Gottes *(τῆς παμμαρίστου θεοτόκου)*, wo er bald darauf den Besuch des Sultans empfing. Der Sultan, der sich aus politischer Berechnung den Christen gegenüber tolerant und dem Patriarchen wohlwollend zeigte, ließ sich mit Gennadius in ein Gespräch über die Religion ein und verlangte von ihm Aufschluß über das Christentum. Auf den Wunsch des Sultans verarbeitete er schriftlich den Inhalt des zwischen ihnen stattgefundenen Gespräches und überreichte das Schriftstück nebst einer türkischen Übersetzung (von dem Kadi Achomat von Berrhöa besorgt) dem Sultan.

Das ist das sogenannte Bekenntnis des Gennadius, die erste symbolische Schrift der gr.-or. Kirche. In kurzer (ursprünglich 12, später 20 Kapiteln), klarer, objektiver Darstellung trägt das Bekenntnis die Hauptpunkte des christlichen Glaubens vor. Gennadius dachte sich, durch diese seine Schrift den Sultan für die Christen günstiger zu stimmen, was ihm nicht gelungen zu sein scheint, denn kurz nachher (nach Gedeon und Evangelides bereits im Jahre 1456, nach anderen im Jahre 1459) legte er die Patriarchenwürde nieder und zog sich aufs neue ins Kloster zurück und zwar in das Kloster Johannis des Täufers bei Serrä in Macedonien. Freilich soll er dazu noch andere Gründe gehabt haben. Im Kloster verbrachte er seine übrige Lebenszeit mit schriftstellerischen Arbeiten. In welchem Jahre er starb, ist unbekannt (wahrscheinlich 1468).

Gennadius entfaltete überhaupt eine außerordentlich fruchtbare litterarische Tätigkeit. Die sämtlichen Schriften von ihm betragen nach manchen (Fabricius und Harleß) beinahe die Zahl 100, nach Evangelides sind deren sogar 121 zu zählen. Viele derselben liegen nur in Handschriften vor. (Über den ihm zugeschriebenen Dialog siehe den Anhang.)

Das Bekenntnis des Gennadius ist zuerst von Crusius in „Turcograecia“ (II. Buch S. 109 ff.) griechisch, lateinisch und türkisch (das Türkische in lateinischen und griechischen Buchstaben transkribiert), nach einem ihm von Manuel Malaxos, dem Peloponnesier, eingesendeten Exemplar, herausgegeben. Alsdann von David Chyträus in: „Oratione de statu ecclesiarum hoc tempore in Graecia etc quibus Confessio fidei a Gennadio Patriarcha Mahometi II exhibita etc et alia accesserunt“, Frankfurt, 1583. — Otto, „Des Patriarchen Gennadius Confessio critisch untersucht“, Wien 1864. — Kimmel gibt den Text derselben nach Chyträus, er führt aber an auch die Lesarten von Crusius unten notiert. — J. E. Mesolora *„Συμβολικὴ τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας (Τόμος Α', Τεῦχος Α')“*, Athen 1883.

Gennadius, der in seinen philosophischen Werken dem Platonismus huldigt, nimmt auch im Bekenntnis denselben Standpunkt ein. Eine

kurze Übersicht der einzelnen Artikel derselben wird auch das ergeben.

Art. I. *Θεὸς (ἐστὶ) δημιουργός πάντων, ὅσα εἰσίν, ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι,* ist ein bei den Platonikern oft vorkommender Gedanke, wodurch dieselben die Behauptung der Aristoteliker, „der Weltstoff sei ewig", zu widerlegen pflegten.

Θεὸς οὔτε σῶμα ἐστὶν, οὔτε σῶμα ἔχει, ἀλλὰ ζῇ νοερῶς, ist wiederum ein platonischer Gedanke, der auch bei Origenes (Ecloga in Genesin) vorkommt.

Θεὸς ἐστὶν ἐν τῷ κόσμῳ, καὶ ὑπὲρ τὸν κόσμον· οὐκ ἔστιν ἐν οὐδενὶ τόπῳ, καὶ ἔστιν ἐν παντὶ τόπῳ, findet sich auch bei dem platonisierenden Clemens von Alexandrien, Strommata II, 2: *„οὐ γὰρ ἐν γνόφῳ ἢ τόπῳ ὁ θεός· ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου καὶ τῆς τῶν γεγονότων ἰδιότητος.*

Art. II. Die Bestimmung der Eigenschaften Gottes per viam eminentiae, wie es hier geschieht, ist eine von Dyonisius Areopagita dem Platonismus entnommene, auch später viel beliebte und angewandte Verfahrungsweise. (Dyonisius Areopagita, *περὶ θείων ὀνομάτων.*)

Art. III. Die drei Eigenschaften Gottes *(ἰδιώματα),* von Gennadius zu drei Hypostasen erhoben, erinnern an die Ideen Platos, denen auch eine Existenz beigelegt wird. Daß Gennadius sich nur des Ausdruckes *ὑπόστασις* bedient und dazu nicht das Wort *πρόσωπον* anwendet, welches angemessener ist, kann — wie Kimmel in Prolegomena XX bemerkt — daher kommen, daß er den Mahomedanern, welche nicht gewöhnt waren an derartige Subtilitäten, nicht den Anlaß geben wollte, darunter etwa drei Götter zu verstehen.

Art. IV. Die Bezeichnung der drei Personen der Gottheit mit dem Namen: *νοῦς* = mens, *σωφία* = sapientia und *ἀγάπη* = dilectio, welche eine Verwandtschaft mit I. Johannis IV, 16 hat, besitzt einen scholastischen und mystischen Charakter zugleich und kann sogut dem Platonismus als auch dem Aristotelismus entnommen sein. Die weitere rein scholastische Beweisführung der Einheit der göttlichen Hypostasen und der Progressio des heiligen Geistes vom Vater, ist das Gegenstück zu der Scholastik des Abendlandes. Im Gegensatz zum Dialog läßt hier Gennadius den heiligen Geist nur vom Vater hervorgehen und nur gezwungen kann man diese Stelle mit der des Dialogs in Einklang bringen. Die Analogie, deren er sich hier bedient, ist glücklich gewählt und adäquat: „... *Θεὸς οὐ νοεῖ μόνον τὰ κτίσματα αὐτοῦ, ἀλλὰ μάλλον νοεῖ καὶ γιγνώσκει ἑαυτὸν, καὶ διὰ τοῦτο ἔχει λόγον καὶ σωφίαν, δι' ἧς νοεῖ ἑαυτὸν ἰδίως, ὁμοίως οὐδὲ θέλει καὶ ἀγαπᾷ ἑαυτὸν πολλῷ μάλλον· διὰ τοῦτο ἀϊδίως προέρχονται ἐκ τοῦ Θεοῦ ὁ λόγος καὶ πνεῦμα ἑαυτοῦ, καὶ ἀϊδίως εἰσὶν ἐν ἑαυτῷ· καὶ ταῦτα τὰ δύο μετὰ τοῦ Θεοῦ εἷς ἐστὶ Θεός.*" Sind einmal *ἀγάπη* und *σωφία*

als ewige Attribute des *νοῦς* hingestellt, so wäre es nur inkonsequent, die *ἀγάπη* nochmal aus der *σωφία* hervorgehen zu lassen.

Der in dieser Frage bestehende Widerspruch zwischen dem Dialog und dem Bekenntnis könnte als ein inneres Kriterium gegen die Echtheit des Dialogs angesehen werden, zu dessen Entkräftung darauf hingewiesen sein könnte, daß die im Dialog vorkommende Ansicht von der Progressio des heiligen Geistes nur eine gelegentliche, der gegenüber die des Bekenntnisses als eine dialektisch vorgetragene, die eigentliche Ansicht des Verfassers ist.

Die Analogie der göttlichen Hypostasen zu dem seelischen Vermögen des Menschen erinnert an Augustins: „Anima hominis naturaliter christiana."

Art. V. Der Gedanke der göttlichen Vorsehung in der Welt, der uns hier zuerst entgegentritt, scheint gegen manche der Aristoteliker gerichtet zu sein, die die Vorsehung leugneten. Die Menschwerdung Gottes, um die Menschheit von dem Wege der Verirrung der Dämonen und vom Götzendienst zu Gott zu führen, ist von den Platonikern auch vielfach vertreten.

Art. VI. Indem Gennadius Christus als *λόγος τοῦ Θεοῦ* anerkennt, ist er in voller Übereinstimmung mit der ganzen patristischen Literatur.

Art. VII. Die Analogie der beiden Naturen Christi zu dem Leib und der Seele des Menschen findet sich schon bei Augustin und anderen Platonikern. Daß *λόγος τοῦ Θεοῦ* obwohl in Gott miteinbegriffen, jedoch für sich existierend ist, da es in Gott kein accidens = *συμβεβικός* gibt, sondern alles in ihm nur *φυσικῶς* = naturaliter ist, das ist ein trefflicher Gedanke, der bereits von Gregor von Nazianz (oratio XXVI) auf den heiligen Geist angewendet worden ist.

Art. VIII. Der *λόγος* Gottes ist allgegenwärtig, unbegrenzt, sich selbst denkend, allmächtig.

Art. IX. Die Güte Gottes dem Menschen gegenüber zeigt sich darin, daß er sich selbst in Christo offenbarte. Die durch die Propheten mitgeteilte Offenbarung hat verschiedene Grade von Klarheit. *(Ἔπεμπον εἰς τοὺς προφήτας αὐτοῦ μίαν χάριν ἢ δύο, καὶ εἰς ἄλλον μὲν προφήτην ἐλάττονα, εἰς ἄλλον δὲ μείζονα.)* — Derselben Ansicht ist Origenes in seiner „Homilia in Numeri XVI, 8", „Aliqua quidem dominus locutus est et non prophetae; alia vera prophetae et non dominus".

Art. X. Christus ließ sich kreuzigen und starb aus freiem Entschluß. Nur als Mensch hat er gelitten, als Gott war er dem Leiden erhaben.

Art. XI. Christus ist nach seiner Auferstehung in den Himmel gefahren und wird wiederum mit Glanz und Prunk herunterkommen, die Welt zu richten.

Art. XII. Die menschliche Seele ist unsterblich. Die Leiber selbst werden auferstehen und zwar die der Gerechten zum Genusse des Paradieses, dessen Wonnen darin bestehen, daß die Seligen die Geheimnisse Gottes ergründen werden; die Seelen der Ungerechten zu Qualen. Es ist aber nicht gesagt, worin diese Qualen bestehen, welcher Art sie sind u. dgl.

Art. XIII. Die Gründe zur Menschwerdung Christi sind zahlreich. Es werden sieben angeführt, nämlich:

Art. XIV. a) Weil es so die jüdischen Propheten, die griechischen Orakel und die persischen und griechischen Astronomen prophezeit haben.

Art. XV. b) Weil das Alte Testament es voraussagte und die Weissagungen mußten in dem Neuen Testamente bestätigt werden, da beide Bücher vom heiligen Geiste inspiriert sind.

Art. XVI. c) Weil der neue (christliche) Glaube von vielen hervorragenden Männern aller Nationen angenommen wurde, wodurch die List der Dämonen aufgedeckt und zerstört wurde.

Art. XVII. d) Weil dieser Glaube nichts Unmögliches in sich schließt, rein geistig ist und zur Liebe Gottes führt.

Art. XVIII. e) Weil diejenigen, welche diesen Glauben annahmen und dem Gesetze Christi gemäß lebten, große Gaben von Gott empfangen und viele Wunder getan haben.

Art. XIX. f) Weil alles, was man gegen diesen Glauben einwenden könnte, leicht widerlegt werden kann.

Art. XX. g) Weil viele heidnische Könige diesen Glauben bekämpft haben und dennoch ihn nicht ausrotten konnten, was nicht der Fall gewesen wäre, wenn er nicht in Gottes Willen seinen Ursprung gehabt hätte.

Mit einer Bemerkung, daß die Übersetzung ins Türkische vom Kadi Achomat von Berrhöa gemacht worden ist, schließt das Bekenntnis ab.

Ein flüchtiger Blick über den Inhalt der letzten acht Artikel zeigt uns deutlich, daß dieselben in keinem organischen Zusammenhang mit den ersten zwölf Artikeln stehen. Beim Lesen ihrer Auseinandersetzung gewinnen wir auch den Eindruck, daß dieselben von einer andern, ungeschickteren Hand als die des Verfassers der ersten zwölf Artikel herrühren. Diese zwei Betrachtungen haben den ersten kritischen Herausgeber des Bekenntnisses, den Doktor Otto zu der Meinung geführt, diese letzteren Artikel wären nur ein späterer Zusatz. Sowohl innere als auch äußere Gründe sprechen für die Richtigkeit dieser Behauptung; innere: Die Zusammenhangslosigkeit zwischen den ersten und den letzten Artikeln und die Ungeschicklichkeit, welche in der Abfassung der letzteren zutage tritt; äußere: In den beiden

ältesten — in den Bibliotheken zu Wien und Florenz aufbewahrten — Handschriften und in der lateinischen Übersetzung des Zeitgenossen Georg Hermonimus, fehlt dieser Schluß.

Derselben Meinung wie Dr. Otto ist auch W. Gaß in seiner Symbolik und wir stehen nicht an, beiden beizustimmen.

Literatur. Über Gennadius, sein Leben und seine Schriften berichten: Dukas, Historia. — Frantzes (Georgios), Historia. — Leo Allatius, De Georgiis et eorum scriptis. — Caryophyllus. — E. Renaudot, Dissertatio de Gennadio, vita et scripta, 1709. — Oudin, III. — Cave II Appendix. — Fabricius-Harleß, Bibliotheca graeca, XI, 349. — M. Crusius, Turcograecia I, 2. — Kimmel, Libri symbolici ecclesiae orientalis, Jena 1843. — W. Gaß, Gennadius und Pletho, 1844 und Symbolik der griechischen Kirche, 1872. — Dr. Otto, in der Zeitschrift der historischen Theologie, 1850 und Des Patriarchen Gennadius Confessio kritisch untersucht, 1864 Wien. — Demetrakopulos, Ὀρθόδοξα Ἕλλας, Leipzig 1872, S. 110 ff. — J. E. Mesolora, *Συμβολικὴ τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας, (Τόμος Α΄, Τεῦχος Α΄)* Athen 1883. — M. J. Gedeon, *Πατριαρχικοὶ πίνακες*, Konstantinopel, S. 471 ff. — A. Zahn, Anecdota graeca theologica, Leipzig 1893. — A. Lebedew, Die griechisch-östliche Kirche unter der osmanischen Herrschaft, 1894. — Byzantinische Zeitschrift II, S. 609 ff.; III, S. 315 ff.; IV, S. 561 ff.; V, S. 151 ff. — Triphon Evangelides, *Γεννάδιος β΄ ὁ Σχολάριος*, Athen 1896. — Krumbacher, Byzantinische Literaturgeschichte, S. 119 ff. — Ph. Mayer (Wagemann) in der Realenzyklopädie für protestantische Theologie und Kirche, von Herzog-Hauck, III. Auflage, Band VI, S. 510 ff. — Knöpfler, im Kirchenlexikon von Wetzer und Welte, II. Auflage, Band V, S. 290—291. — Kirchliches Handlexikon von Meußel, Band II, S. 726.

Τοῦ σοφωτάτου καὶ τιμιωτάτου κυρίου Γενναδίου τοῦ Σχολαρίου, πατρίαρχου Κωνσταντινουπόλεως, νέας Ῥώμης, ὁμολογία ῥηθεῖσα περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τῶν Χριστιανῶν πρὸς τοὺς Ἀγαρηνούς. Ἐρωτηθεὶς γὰρ παρὰ τοῦ Ἀμηρᾶ Σουλτὰν Μεχεμὲτ, Τί πιστεύετε ὑμεῖς οἱ Χριστιανοί; ἀπεκρίνατο οὕτως.

1. *Πιστεύομεν, ὅτι ἔστι Θεὸς δημιουργὸς πάντων, ὅσα εἰσὶν, ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. Καὶ ὅτι οὔτε σῶμα ἐστὶν, οὔτε σῶμα ἔχει, ἀλλὰ ζῇ νοερῶς·*[1] *ἔστι νοῦς ἄριστος, καὶ τελειώτατος, καὶ σοφώτατος· ἀσύνθετός ἐστιν, ἄναρχος, ἀτελεύτητος· ἔστιν ἐν τῷ κόσμῳ, καὶ ὑπὲρ τὸν κόσμον· οὐκ ἔστιν ἐν οὐδενὶ τόπῳ, καὶ ἔστιν ἐν παντὶ τόπῳ. Ταῦτα εἰσὶν ἰδιώματα τοῦ Θεοῦ, δι' ὧν χωρίζεται ἀπὸ τῶν κτισμάτων αὐτοῦ, καὶ ἄλλα ὅμοια.*

2. *Ἔστι σοφὸς, καὶ ἀγαθὸς, καὶ ἀληθὴς, καὶ ὅσα προτερήματα ἔχουσι τὰ ποιήματα αὐτοῦ μεμερισμένως, ἔχει αὐτὸς μόνος, καὶ καθ'*

[1]) Brasicanus: *Θεὸς λέγεται ἀπὸ τοῦ θεωρεῖν τὰ πάντα, οἱονεῖ θεωρῶς καὶ θεὸς ἤγουν θεατὴς πάντων. Καὶ πάλιν θεὸς λέγεται ἀπὸ τοῦ θέειν καὶ διατρέχειν νοητῶς καὶ ἀχρόνως τὰ πάντα. Ὁ γὰρ θεὸς ἀεὶ καὶ πανταχοῦ πάρεστιν.*

ὑψηλότερον τρόπον· καὶ ταύτας τὰς τελειότητας ἔχουσι τὰ κτίσματα, διότι αὐτὸς δίδωσι ταύτας τοῖς κτίσμασιν αὐτοῦ· καὶ ὅτι ἀγαθός ἐστι, καὶ τὰ κτίσματα αὐτοῦ ἀγαθά· ὅτι σοφὸς, σοφά· ὅτι ἀληθὴς, ἀληθῆ· καὶ ὅσα ὁμοίως· πλὴν ὅτι μὲν Θεὸς κυρίως ἔχει ταῦτα, τὰ δὲ κτίσματα κατὰ μετοχήν.

3. *Πιστεύομεν, ὅτι εἰσὶν ἐν τῷ Θεῷ ἄλλα τρία ἰδιώματα, ἅτινά εἰσιν ὥσπερ ἀρχαὶ καὶ πηγαὶ πάντων τῶν ἄλλων ἰδιωμάτων αὐτοῦ· καὶ διὰ τούτων τῶν τριῶν ἰδιωμάτων ζῇ ὁ Θεὸς ἀϊδίως ἐν ἑαυτῷ, καὶ πρὸ τοῦ δημιουργηθῆναι ὑπ' αὐτοῦ τὸν κόσμον, καὶ διὰ τούτων ἐδημιούργησε τὸν κόσμον, καὶ διὰ τούτων κυβερνᾷ αὐτόν. Καὶ ταῦτα τὰ τρία ἰδιώματα ὀνομάζομεν τρεῖς ὑποστάσεις· καὶ διότι αὐτὰ τὰ τρία ἰδιώματα οὐ μερίζουσι τὴν μίαν καὶ ἁπλουστάτην οὐσίαν τοῦ Θεοῦ, διὰ τοῦτό ἐστι Θεὸς, καὶ μετὰ τῶν ἰδιωμάτων τούτων, καὶ εἷς Θεὸς, καὶ οὐκ εἰσί τρεῖς Θεοί.*

4. *Πιστεύομεν, ὅτι ἐκ τῆς φύσεως τοῦ θεοῦ ἀνατέλλουσι Λόγος καὶ Πνεῦμα, ὥσπερ ἀπὸ τοῦ πυρὸς φῶς καὶ θέρμη· καὶ καθάπερ τὸ πῦρ, καὶ εἰ μή ἐστί τι τὸ φωτιζόμενον καὶ θερμαινόμενον ὑπ' αὐτοῦ, ὅμως αὐτὸ τὸ πῦρ ἀεὶ ἔχει φῶς καὶ θέρμην, καὶ ἐκπέμπει φῶς καὶ θέρμην· οὕτω καὶ, πρὸ τοῦ δημιουργηθῆναι τὸν κόσμον, ἦσαν ὁ Λόγος καὶ Πνεῦμα, ἐνέργειαι τοῦ θεοῦ φυσικαὶ, ἐπεὶ ὁ θεὸς νοῦς ἐστιν, ὡς προείρηται. Καὶ ταῦτα τὰ τρία, Νοῦς, Λόγος, καὶ Πνεῦμα, εἷς θεός ἐστιν, ὥσπερ ἐν τῇ μιᾷ ψυχῇ τοῦ ἀνθρώπου ἐστὶ νοῦς, καὶ λόγος νοητὸς, καὶ θέλησις νοητή· καὶ ὅμως ταῦτα τὰ τρία εἰσὶ μία ψυχὴ κατ' οὐσίαν τῇ ἀληθείᾳ. Πάλιν τὸν Λόγον τοῦ θεοῦ ὀνομάζομεν σοφίαν τοῦ θεοῦ καὶ δύναμιν, καὶ υἱὸν αὐτοῦ· διότι ἐστὶ γέννημα τῆς φύσεως αὐτοῦ. Καὶ ὥσπερ τὸ γέννημα τῆς φύσεως τοῦ ἀνθρώπου καλοῦμεν υἱὸν τοῦ ἀνθρώπου, καὶ ὥσπερ τὸ νόημα τοῦ ἀνθρώπου ἐστὶ γέννημα τῆς ψυχῆς αὐτοῦ· οὕτω καὶ ἐπὶ τῶν θείων αὐτῶν. Πάλιν ὀνομάζομεν τὴν θέλησιν τοῦ θεοῦ πνεῦμα τοῦ θεοῦ καὶ ἀγάπην, αὐτὸν δὲ τὸν νοῦν καλούμενον τὸν πατέρα· διότι αὐτός ἐστιν ἀγέννητος καὶ ἀναίτιος, αἴτιος δὲ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. Ὅτι οὖν ὁ Θεὸς οὐ νοεῖ μόνον τὰ κτίσματα αὐτοῦ, ἀλλὰ μᾶλλον νοεῖ καὶ γινώσκει ἑαυτὸν, καὶ διὰ τοῦτο ἔχει λόγον καὶ σοφίαν, δι' ἧς νοεῖ ἑαυτὸν ἰδίως, ὁμοίως οὐδὲ θέλει καὶ ἀγαπᾷ μόνον τὰ ποιήματα αὐτοῦ ὁ Θεὸς, ἀλλὰ θέλει καὶ ἀγαπᾷ ἑαυτὸν πολλῷ μᾶλλον· διὰ τοῦτο ἀϊδίως προέρχονται ἐκ τοῦ Θεοῦ ὁ Λόγος καὶ Πνεῦμα ἑαυτοῦ, καὶ ἀϊδίως εἰσὶν ἐν αὐτῷ· καὶ ταῦτα τὰ δύο μετὰ τοῦ Θεοῦ εἷς ἐστὶ Θεός.*

5. *Πιστεύομεν, ὅτι Θεὸς διὰ τοῦ λόγου τῆς σοφίας καὶ τῆς δυνάμεως αὐτοῦ ἐδημιούργησε τὸν κόσμον, καὶ διὰ τοῦ πνεύματος τῆς ἀγαθῆς θελήσεως αὐτοῦ καὶ ἀγάπης προνοεῖται καὶ κυβερνᾷ καὶ κινεῖ πᾶσαν τὴν φύσιν ἐν τῷ κόσμῳ πρὸς τὸ ἀγαθὸν, κατὰ τὴν τάξιν ἑκάστης φύσεως· καὶ διὰ τοῦτο πιστεύομεν, ὅτι, ὅτε ἠθέλησεν ὁ θεὸς διὰ μόνην τὴν ἐλεημοσύνην αὐτοῦ, ἐπιστρέψαι τοὺς ἀνθρώπους ἀπὸ τῆς πλάνης τῶν δαιμόνων, καὶ τῆς εἰδωλολατρείας, (διότι πλὴν τοῦ ὀλίγου τόπου τῶν Ἰουδαίων, ἐν ᾧ προσεκυνεῖτο καὶ ἐπιστεύετο εἷς Θεὸς ἐκ τοῦ νόμου*

τοῦ Μωσέως, ἡ ἄλλη πᾶσα οἰκουμένη ἐσεβάζετο τὰ κτίσματα τοῦ Θεοῦ κακῶς, καὶ πολλοὺς θεοὺς τοὺς μὴ ὄντας ἀντὶ τοῦ ἑνὸς καὶ ἀληθινοῦ· καὶ ἐπολιτεύοντο κατὰ τὰς ἰδιὰς ἕκαστος ἐπιθυμίας, καὶ οὐ κατά τινα Θεοῦ νόμον)· τότε ἐποίησεν ὁ Θεὸς τὴν τοιαύτην ἀνάπλασιν τῶν ἀνθρώπων διὰ τοῦ Λόγου καὶ διὰ τοῦ ἁγίου Πνεύματος αὐτοῦ· καὶ διὰ τοῦτο Λόγος τοῦ Θεοῦ ἐνεδύθη τὴν ἀνθρωπείαν φύσιν, ἵνα ὡς μὲν ἄνθρωπος ὁμιλήσῃ ἀνθρώποις, ὡς δὲ λόγος τοῦ Θεοῦ καὶ σοφία διδάξῃ τοὺς ἀνθρώπους πιστεύειν εἰς τὸν ἕνα καὶ ἀληθῆ Θεὸν καὶ πολιτεύεσθαι κατὰ τὸν νόμον, ὃν αὐτὸς ἔδωκεν· καὶ πάλιν ὡς μὲν ἄνθρωπος, ἵνα δῷ τὴν πολιτείαν αὐτοῦ παράδειγμα τῆς διδασκαλίας αὐτοῦ· πρῶτος γὰρ αὐτὸς ἐτήρησεν τὸν νόμον, ὃν ἔδωκεν τοῖς ἀνθρώποις· ὡς δὲ λόγος τοῦ Θεοῦ καὶ δύναμις δυνηθῇ κατορθῶσαι τὸ παγκόσμιον ἀγαθόν, ὅπερ ἐβούλετο. Διότι ἦν ἀδύνατον, ἑνὸς ἀνθρώπου δυνάμει ἐπιστρέψαι τὴν οἰκουμένην πρὸς τὸν Θεόν· καὶ οὕτως διὰ μὲν τοῦ Λόγου ἔσπειρε τὴν ἀλήθειαν ὁ παντοδύναμος καὶ ἀόρατος Θεὸς ἐν Ἱερουσαλὴμ, διὰ δὲ τὸ Πνεῦμα αὐτοῦ ἐφώτισε καὶ ἐνίσχυσε τοὺς ἀποστόλους αὐτοῦ, ἵνα σπείρωσιν αὐτοὶ τὴν ἀλήθειαν εἰς πάντα τὸν κόσμον, καὶ ἵνα καταφρονήσωσι τοῦ θανάτου, διὰ τὴν ἀγάπην τοῦ πέμψαντος αὐτοὺς Θεοῦ, καὶ διὰ τὴν ἀγάπην τῆς σωτηρίας τοῦ κόσμου κατὰ τὸ παράδειγμα Ἰησοῦ, ὅστις ἑκουσίως ἀπέθανε κατὰ τὸ ἀνθρώπινον, ὑπὲρ τοῦ σωθῆναι τὸν κόσμον. Οὕτω πιστεύομεν ἡμεῖς τὸν ἕνα Θεὸν ἐν τριάδι, πατέρα, υἱὸν, καὶ πνεῦμα ἅγιον, καθὼς ἐδίδαξεν ὁ Κύριος ἡμῶν Ἰησοῦς. Καὶ διότι ἐστὶν ἀληθὴς, πιστεύομεν, ὅτι ἐστὶ καὶ αὐτὸ ἀληθές. Καὶ οἱ μαθηταὶ αὐτοῦ οὕτω πλατύτερον ἡμᾶς ἐδίδαξαν· οὕτω νοοῦμεν καὶ ἀπὸ τῆς δυνάμεως τῆς σοφίας.

6. Πιστεύομεν, ὅτι ὁ Λόγος τοῦ Θεοῦ καὶ ὁ ἄνθρωπος, ὃν ἐνεδύθη ὁ Λόγος τοῦ Θεοῦ, ἐστὶν ὁ Χριστός· καὶ ἡ μὲν ζωὴ τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ αὐτοῦ ἦν ζωὴ ἀνθρώπου ὑπεραγίου· ἡ δὲ δύναμις τῆς σοφίας καὶ τῶν ἔργων αὐτοῦ ἦν Θεοῦ δύναμις.

7. Πιστεύομεν, ὅτι ὥσπερ ἡ ψυχὴ καὶ τὸ σῶμα τοῦ ἀνθρώπου γίνεται εἷς ἄνθρωπος· οὕτως ὁ Λόγος τοῦ Θεοῦ ἀφ' ἑνὸς μέρους, καὶ ἀπ' ἄλλου μέρους ἡ ψυχὴ καὶ τὸ σῶμα εἰσὶν πάντοτε δύο φύσεις μεμερισμέναι τελείως ἐν ἑνὶ ἀνθρώπῳ. Οὕτω καὶ ἡ ἀνθρωπότης καὶ θεότης εἰσὶν ἐν τῷ Χριστῷ μεμερισμέναι τῇ φύσει τελείως, καθ' ὑπόστασιν μόνον καὶ προσωπικῶς ἡνωμέναι. Καὶ οὔτε ὁ Λόγος τοῦ Θεοῦ μετεβλήθη εἰς τὴν σάρκα ἢ τὴν ψυχὴν τοῦ Χριστοῦ, οὔτε ἡ σάρξ τοῦ Χρίστου, ἢ ἡ ψυχὴ αὐτοῦ μετετράπη εἰς Λόγον Θεοῦ· ἀλλὰ ἦν καὶ ἔστιν ἐν τῷ Χριστῷ μετὰ τὴν ὑπερθαύμαστον οἰκονομίαν ἐκείνην ὁ μὲν τοῦ Θεοῦ Λόγος, Λόγος Θεοῦ· ἡ δὲ ἀνθρωπότης, ἀνθρωπότης· καὶ ὅτι οὐ προσέλαβεν ἡ ἀνθρωπότης τοῦ Λόγου τοῦ Χριστοῦ τὴν θεότητα, ἀλλὰ ἡ θεότης τοῦ λόγου τοῦ θεοῦ προσέλαβε τὴν ἀνθρωπείαν φύσιν, ἐν αὐτῷ τῷ προσληφθῆναι συστᾶσαν. Πᾶν ὅπερ ἐστὶν ἐν τῷ Θεῷ, καὶ ἐκ τοῦ Θεοῦ φυσικῶς, Θεὸς ἐστιν, διότι οὐκ ἔστιν ἐν τῷ Θεῷ συμβεβηκός· καὶ διὰ τοῦτο τὸν νοητὸν λόγον τοῦ Θεοῦ Θεὸν ὀνομάζομεν καὶ πιστεύομεν· καὶ διότι οὗτος ὁ λόγος τοῦ Θεοῦ ἦν ἐν τῷ Χριστῷ,

διὰ τοῦτο τὸν Χριστὸν Θεὸν καὶ ἄνθρωπον ὁμολογοῦμεν, ἄνθρωπον μὲν, διὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, Θεὸν δὲ, διὰ τὸν ἐν αὐτῷ λόγον τοῦ Θεοῦ.

8. Πιστεύομεν, ὅτι ὁ λόγος τοῦ Θεοῦ ἐστὶν ἐν τῷ Χριστῷ, καὶ ἐν τῷ κόσμῳ, καὶ ἐν τῷ οὐρανῷ, καὶ ἐν τῷ Θεῷ, καὶ ἐν τῷ πατρί· διότι ὁ λόγος τοῦ Θεοῦ ἐστιν ἄπειρος, ὥςπερ καὶ Θεός ἐστιν ἄπειρος ὁ γεννῶν αὐτὸν, ἤγουν νοῶν, καὶ ἄπειρον δύναμιν ἔχει, πλὴν ἐν τῷ Θεῷ κατ' ἄλλον τρόπον καὶ ἐν τῷ Χριστῷ κατ' ἄλλον, καὶ ἐν τῷ κόσμῳ κατ' ἄλλον.

9. Πιστεύομεν ὅτι, ὅταν ὁ Θεὸς κοινωνεῖ τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς χάριτος κτίσματί τινι, οὐδαμῶς ζημιοῦται, ἀλλὰ μᾶλλον μεγαλύνεται· διότι ἐκ τῆς ἀρετῆς τῶν κτισμάτων τὸ ὕψος τοῦ Θεοῦ φανεροῦται· καὶ ὅσῳ μᾶλλον βελτιοῦται τὸ κτίσμα τῇ πλειόνι κοινωνίᾳ τῆς ἀγαθότητος αὐτοῦ, τοσοῦτον πλέον ἡ ἀγαθότης Θεοῦ, καὶ ἡ ἀγάπη εἰς τοὺς ἀνθρώπους, καὶ ἡ δύναμις δείκνυται. Διά τοῦτο ἡ ἀγαθότης τοῦ Θεοῦ καὶ ἡ ἀγάπη εἰς τοὺς ἀνθρώπους πλέον ἐμεγαλύνθη, ἐκ τοῦ ἐλθεῖν αὐτὸν θεὸν μετὰ πάσης αὐτοῦ δυνάμεως εἰς τὸν Ἰησοῦν, ἢ ὅτι ἔπεμπεν εἰς τοὺς προφήτας αὐτοῦ μίαν χάριν ἢ δύο, καὶ εἰς ἄλλον μὲν προφήτην ἐλάττονα, εἰς ἄλλον δὲ μείζονα.

10. Πιστεύομεν, ὅτι Χριστὸς ἐσταυρώθη καὶ ἀπέθανεν οἰκείῳ θελήματι, διὰ πολλὰς καὶ μεγάλας ὠφελείας, δεομένας πολλῶν λόγων· καὶ πάντα ταῦτα κατὰ τὸ ἀνθρώπινον αὐτοῦ κατεδέξατο. Ὁ γὰρ Λόγος τοῦ Θεοῦ οὔτε σταυροῦται, οὔτε ἀποθνήσκει, οὔτε ἀνίσταται. ἀλλὰ μᾶλλον ἀνίστησιν αὐτοὺς τοὺς νεκροὺς, ὥςπερ καὶ ἀνέστησε καὶ τὴν σάρκα, ἣν ἐφόρησεν.

11. Πιστεύομεν, ὅτι Χριστὸς ἀναστὰς ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν μέλλει ἔρχεσθαι μετὰ δόξης, ἵνα κρίνῃ τὸν κόσμον.

12. Πιστεύομεν, ὅτι αἱ ψυχαὶ τῶν ἀνθρώπων εἰσὶν ἀθάνατοι, καὶ ὅτι τὰ σώματα τῶν ἁγίων ἀναστήσονται ἄφθαρτα, φωτεινὰ, ἐλαφρὰ, μήτε τροφῆς χρήζοντα, μήτε πόσεως, μήτε ἐνδύματος, μήτε ἄλλης τινὸς σωματικῆς ἡδονῆς· καὶ ὅτι αἱ ψυχαὶ καὶ τὰ σώματα τῶν καλῶς πιστεύοντων καὶ καλῶς πεπολιτευμένων ἀπελεύσονται εἰς τὸν παράδεισον· τῶν δὲ ἀμετανοούντων, πονηρῶν, καὶ ἀπίστων, εἰς τὴν κόλασιν. Καὶ ὁ μὲν παράδεισος τῶν ἁγίων καὶ ἡ ἀπόλαυσις ἐστὶν ἐν τῷ οὐρανῷ, ἡ δὲ κόλασις τῶν πονηρῶν ἐν τῇ γῇ. Καὶ ἡ ἀπόλαυσις τῶν ἁγίων οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ, ὅτι τελειωθήσονται αἱ τοιαῦται ψυχαὶ εἰς τὴν γνῶσιν, καὶ τότε θεωρήσουσι τὰ μυστήρια τοῦ Θεοῦ, ἃ νῦν οὐ γινώσκουσιν, εἰ μὴ διὰ πίστεως μόνης.

13. Διὰ τί δὲ ἦν ἀναγκαῖον σαρκωθῆναι τὸν Λόγον τοῦ Θεοῦ καὶ Θεὸν, εἰσὶν ἀναγκαῖοι καὶ πολλοὶ λόγοι· καὶ ὅταν ᾖ χρεία, ἑσμὲν ἕτοιμοι δοῦναι αὐτούς. Ἐπέκεινα δὲ ἐκείνων τῶν λόγων πληροφοροῦσιν ἡμᾶς τὴν ἀλήθειαν τῆς πίστεως ἡμῶν τὰ ἑπτὰ ταῦτα.

14. Ὅτι προεφήτευσαν οἱ προφῆται τῶν Ἰουδαίων, οὓς στέργομεν ἡμεῖς, τὸν Ἰησοῦν, καὶ ὅσα ἐποίησε, καὶ ὅσα ἐγένοντο, καὶ ὅσα ἐποίησαν

ὕστερον οἱ μαθηταὶ αὐτοῦ τῇ δυνάμει αὐτοῦ· ὁμοίως προεφήτευσαν καὶ τὰ μαντεῖα τῶν Ἑλλήνων, συγχωρήσει Θεοῦ, καὶ οἱ ἀστρονόμοι τῶν Περσῶν καὶ Ἑλλήνων· καὶ ταῦτα μὲν μετὰ εὐφημίας τοῦ Ἰησοῦ.

15. Ὅτι αἱ γραφαὶ τῆς πίστεως ἡμῶν συμφωνοῦσιν ἐν πᾶσι, διότι εἶχον οἱ γράψαντες αὐτὰς ἕνα διδάσκαλον, τὴν χάριν τοῦ Θεοῦ· ἄλλως γὰρ ἔμελλον ἔν τισι διαφωνεῖν.

16. Ὅτι ἐδέξαντο τοιαύτην τὴν πίστιν νέην οὖσαν καὶ παράδοξον οἱ ἄνθρωποι μετὰ σπουδῆς πανταχοῦ, καὶ μετὰ κινδύνων πολλῶν· καὶ οὐ μόνον ἰδιῶται ἀλλὰ καὶ οἱ φρόνιμοι καὶ οἱ σοφοί· καὶ διὰ τοῦτο κατελύθη τελείως ἡ πλάνη τῶν δαιμόνων.

17. Ὅτι ἡ πίστις αὕτη οὐδὲν περιέχει ἀδύνατον, οὔτε ἀσύμφωνον, οὔτε σωματικὸν, ἀλλὰ πάντα πνευματικά· καί ἐστιν ὁδὸς φέρουσα τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τῆς μελλούσης αἰωνίου ζωῆς.

18. Ὅτι ὅσοι ἔλαβον ταύτην τὴν πίστιν, καὶ ἐπολιτεύσαντο ἐναρέτως, κατὰ τὸν νόμον τοῦ Χριστοῦ, ἔλαβον μεγάλα χαρίσματα ἐκ τοῦ Θεοῦ, καὶ δυνάμεις ἐποίησαν πολλάς· ὅπερ οὐκ ἂν ἦν, εἰ ἡ πίστις αὕτη ἦν ψευδής.

19. Ὅτι ὅσα λέγουσί τινες κατὰ τῆς πίστεως ταύτης, εὐκόλως λύειν δυνάμεθα, καὶ εὐλόγως καὶ καθαρῶς.

20. Ὅτι τῇ πίστει ταύτῃ ἐπολέμησαν διὰ πολλῶν τιμωριῶν καὶ φόνων οἱ βασιλεῖς τῆς οἰκουμένης, τότε πλείστους χρόνους πολύθεοι ὄντες καὶ ἰδωλολάτραι, καὶ οὐδὲν ἴσχυσαν· ἀλλὰ ἐνίκησεν ἡ πίστις, καὶ διαμένει μέχρι τοῦ νῦν, καὶ ἐλθὼν ὁ Κύριος εὑρήσει αὐτήν· καὶ εἰ μὴ ἦν πίστις αὕτη ἐκ θελήματος Θεοῦ, ἐξελύθη ἂν τότε εὐκόλως. Αὐτῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ, Θεῷ ἀληθεῖ, δόξα. Ἀμήν.

Ταῦτα λέγομεν ἡμεῖς περὶ τῆς πίστεως ἡμῶν συντόμως.

Μετεγλωττίσθη δὲ εἰς τῶν Ἀράβων γλώτταν ὑπὸ Ἀχουμὰτ Καδδὴ Βερδοιέως, τοῦ πατρὸς τοῦ Μάχουμετ Τζελεπῆ τοῦ ἀναγραφέως.

III.

Das Bekenntnis des Petrus Mogilas,
genannt das orthodoxe.

Die erste Stelle unter den Bekenntnisschriften der gr.-or. Kirche nimmt das Bekenntnis Mogilas ein.

Über das Leben Mogilas, des Verfassers dieser Schrift, ist nicht viel bekannt. So viel ist sicher: Er war Sohn des Prinzen von Moldau Simeon Mogilas. Das wechselnde Schicksal der damaligen Fürsten dieses Landes trieb den jungen Petrus nach dem Auslande. In Lemberg führte er das Leben eines Ritters, zeichnete sich aus durch Tapferkeit in einer Schlacht, studierte — oder hatte schon vorher studiert — in Paris auf der Sorbonne und wurde später (infolge welches Ereignisses ist unbekannt) Mönch und im Jahre 1632 Metropolit von Kiew. Theophanes, Patriarch von Jerusalem, damals Verweser des erledigten Patriarchenstuhles von Konstantinopel, weihte ihn zum Metropoliten. Bereits im Jahre 1629 hatte Petrus ein Liturgiarium herausgegeben. Varlaam, der denkwürdige Metropolit seiner Vaterstadt Jassy, ging ihm mit gutem Beispiel voran und ermahnte ihn zur Arbeit. Einerseits die Fortschritte, welche die Jesuiten bei den Polen und Ruthenen gemacht und die eifrige Propaganda, von welcher sie nicht abließen, andererseits die Bewegung und Verwirrung, welche Cyrill Lukaris durch seine Confessio und seine Reformversuche herbeigeführt, veranlaßten den mit der abendländischen — mindestens mit der römisch-katholischen, theologischen — Bildung vertrauten Petrus zur Abfassung einer Bekenntnisschrift, worin die Lehre seiner Kirche enthalten sein sollte. Es ist vielfach die Behauptung vertreten: das unter dem Namen Mogilas' bekannte Bekenntnis sei von Isaias Trophimovicz Koslowski, dem damaligen Abt des Nikolausklosters in Kiew, verfaßt. Urkundenmäßig ist die Frage bis jetzt noch nicht beantwortet.

Eine Provinzialsynode in Kiew (1640), an welcher drei Bischöfe, mehrere Gelehrte, angesehene Kleriker und Laien teilnahmen, besprach, beriet, änderte und ergänzte die Schrift. Ob die Sprache, in welcher ursprünglich dies Bekenntnis geschrieben worden ist, die griechische,

wie Hofmann (Historia catechismi Russorum [1751] in der Vorrede, § 8), oder die russische bezw. die slavonische war, wie Kimmel (Prolegomena S. 53) behaupten, ist strittig. Die letztere Behauptung hat mehr Wahrscheinlichkeit für sich. Eine dritte Behauptung besagt schließlich: das Buch sei ursprünglich im Lateinischen geschrieben. Dieser Meinung ist Demetrakopulos in seiner: „*Ὀρθόδοξος Ἕλλας*“ (S. 154). Er versichert nämlich: am Rande des in der Bibliothek der Kapelle des heiligen Grabes zu Jerusalem aufbewahrten Manuskriptes dieser Confessio stände folgende Bemerkung, von der Hand Meletios Syrigos' geschrieben: „*Ἡ βίβλος αὕτη προσηνέχθη ἡμῖν, λατινιστὶ πρῶτον γεγραμμένη, παρὰ τοῦ λογιωτάτου πρέσβεως τῆς Ῥωσσίας Κυρίου ..... καὶ Ἰωσὴφ Κανοβικίου, ἵνα κύρωσιν τε καὶ διόρθωσιν λάβῃ παρ' ἡμῶν τῶν τῆς μεγάλης Ἐκκλησίας ἐξάρχων τε καὶ λεγάτων, τῶν τε πανιερωτάτου μητροπολίτου Νικαίας Κυρίου Πορφυρίου καὶ ἐμοῦ Μελετίου Συρίγου διδασκάλου τῆς μεγάλης Ἐκκλησίας, ἣν εἰς κοινὴν μεταφράσαντες διάλεκτον καὶ διερεύσαντες εἰς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον ἐξαπεστείλαμεν, πατριαρχοῦντος τοῦ παναγιωτάτου Κυρίου Παρθενίου, ἐν μηνὶ Ὀκτωβρίῳ λ' ,αχμβ'.*“

Der Patriarch von Konstantinopel, Parthenius, dem die Schrift zur Genehmigung eingesendet war, unterwarf dieselbe der Erörterung und Beratung einer zu Jassy (Hauptstadt von Moldau) 1642 zu diesem Zwecke versammelten Synode. Porphyrius, ehemaliger Metropolit von Nicäa und Meletios Syrigos, Prediger der Patriarchenkathedrale, als Vertreter des ökumenischen Patriarchen, Isaias Trophimovicz und Ignatius Xenovicz, Gesandte der russischen Kirche, Varlaam, der Metropolit von Moldau, die Bischöfe und viele Kleriker des Landes nahmen Anteil an den Debatten der Synode. Welche Veränderungen das Buch erfahren haben soll, ist nicht bekannt, da die Verhandlungen der Synode nicht erhalten, ja vielleicht auch nicht zu Papier gebracht worden sind. Auf das Gutachten der Synode hin erhielt die Bekenntnisschrift Mogilas unter dem Titel: „*Ὀρθόδοξος ὁμολογία τῆς πίστεως τῆς κατολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς*“, 1643, die Billigung der vier griechischen Patriarchen. Dadurch wurde sie zur allgemeinen symbolischen Schrift der gr.-or. Kirche erhoben.

Der Dolmetscher der ottomanischen Pforte Panagiotes ließ zum erstenmale die *Ὁμολογία ὀρθόδοξος* nebst einer Vorrede des Patriarchen Nectarius von Jerusalem, dem Approbationsprotokoll des ökumenischen Patriarchen Parthenios und der Patriarchensynode, in Amsterdam 1662 (griechisch und lateinisch) drucken. Die sämtlichen Exemplare derselben wurden nach Konstantinopel gebracht und unentgeltlich verteilt. Eine zweite Auflage erschien im Jahre 1672 auf die Anordnung des Patriarchen Dionysius.

Die erste Auflage der *ὀρθόδοξος ὁμολογία* für das Abendland ist von Laurentius Normanus, Professor der Theologie in Upsala und Leiter der dortigen Bibliothek, besorgt. Er versah den griechischen

Text, den er von Gabriel Sparwenfeld bekam, mit einer Einleitung und lateinischer Übersetzung. Der Druckort ist Leipzig, das Druckjahr 1695. Danach wurde eine deutsche Übersetzung von Leonhard Frisch (1727) in Leipzig und Frankfurt herausgegeben. Eine zweite griechische und lateinische Auflage gab C. G. Hofmann in Breslau (1751) heraus. Eine dritte und die beste ist die von Kimmel in seinen: „Libri symbolici ecclesiae orientalis".

Im Russischen ist nach manchen (Knöpfler in Wetzer und Weltes Kirchenlexikon, Band VIII, Sp. 1704) eine Ausgabe von Mogilas selbst im Jahre 1643 besorgt; nach anderen (Gaß, Prot. Realencyklopädie, 2. Auflage, Band IX, S. 146) soll erst durch den Metropoliten von Jassy, Varlaam (1695) die erste russische Veröffentlichung erfolgt sein.

Was den Charakter der Schrift anbelangt, so ist sie nicht rein Bekenntnis, sondern mehr eine kirchliche Lehrschrift, für Katechumenen und Schüler passend und auch hie und da höhere theologische Spekulationen streifend oder sogar darbietend. Der Inhalt zerfällt in drei Teile, denen die drei theologischen Tugenden: Glaube, Liebe, Hoffnung zugrunde liegen. Die Form der Ausführung ist die katechetische.

Im ersten Teil werden — in 126 Fragen und Antworten — die Glaubenswahrheiten nach dem nicäno-konstantinopolitanischen Symbolum abgehandelt und zwar: von Gott, den Engeln, der Christologie, von dem Menschen, dem Sündenfall, den sieben Gaben des heiligen Geistes, den neuen Geboten der Kirche und den sieben Sakramenten.

Der zweite Teil handelt — in 63 Fragen und Antworten — vom Gebet im allgemeinen, vom Vaterunser im besonderen und von den neuen Seligkeiten.

Der dritte Teil — in 72 Fragen und Antworten — handelt von den guten Werken, den Arten der Sünde, dem Dekalog und im Anschluß an diesen von der Heiligen- und Bilderverehrung.

Die Schrift ist sonst mit großer Sorgfalt und einer dem Gegenstande angemessenen Würde abgefaßt. Keine scharf hervortretende Polemik, weder gegen den Protestantismus, noch gegen den Römisch-Katholizismus, ist darin zu finden.

Die vielumstrittene Frage, ob die *ὀρθόδοξος ὁμολογία* dem protestantischen oder dem römisch-katholischen Geiste näher stehe, ist beinahe überflüssig. Schon die Antwort auf die erste Frage, daß nämlich zur ewigen Seligkeit rechter Glaube und gute Werke notwendig sind, weist mit Klarheit auf die Verwandtschaft mit der römisch-katholischen Lehre; jedoch manche Stellen verraten den Einfluß der protestantischen Theologie. Insbesondere Feuerlin (De religione Ruthenorum hodierna, 1745) und Th. Schmith (Miscellanea) und ihnen folgend auch andere haben die Behauptung aufgestellt: Meletius Syrigus, der die theologische Bildung des „Collegium Graecorum" zu Rom genossen hat,

sei derjenige, welcher der ὀρθόδοξος ὁμολογία das römisch-katholische Gepräge aufgedrückt habe. Die Hypothese ist dennoch unhaltbar. Die Ähnlichkeit der Anordnung und Behandlung des Stoffes der Confessio orthodoxa mit dem gewöhnlichen Schema der römisch-katholischen Katechismen mag zwar ihre Erklärung darin haben, daß Petrus Mogilas längere Zeit unter den Katholiken gelebt und in Paris studiert hat. Die Schrift aber war sowohl gegen den Protestantismus als auch gegen den Römisch-Katholizismus gerichtet, ja wir könnten sagen: sogar mehr gegen den Römisch-Katholizismus, welcher in Lithauen viele Orthodoxen zur Union verlockt hatte und von dessen Mönchen die sämtlichen Länder des Orients wimmelten. Mehr von dem Römisch-Katholizismus als von dem Protestantismus hatte und hat die gr.-or. Kirche zu fürchten. Die Aktien des Protestantismus scheinen sogar um diese Zeit über dem Durchschnittspreis gestanden zu haben. Der Patriarch Parthenius war ein gemäßigter Anhänger Cyrills Lukaris und außer ihm gab es noch viele andere, die den Ansichten Cyrills beistimmten. (Siehe Ph. Meyers Artikel: „Kyrill Lukaris" in Prot. Realenzyklopädie.) In diesem Falle ist es eine reine Unmöglichkeit, von einem direkten und bewußten Einfluß des Römisch-Katholizismus zu reden, da der Haß dieser Männer, die nicht übersehen werden dürfte, gegen den Römisch-Katholizismus und die Unionsfreunde als selbstverständlich vorauszusetzen ist. Es ist vielmehr das wahre Wesen dieser Konfession, welches darin zum Ausdruck kommt, und es ist über allem Zweifel — wie es bereits des öfteren auch von den Protestanten selbst anerkannt worden ist —, daß die gr.-or. Konfession, trotz vieler Berührungspunkte mit dem Protestantismus, bedeutend näher dem Römisch-Katholizismus als dem Protestantismus steht. Dies einmal festgestellt, soll es niemand wundernehmen, daß die gr.-or. Kirche in vielen bis dahin nicht endgiltig bestimmten Punkten ihre Lehrformen dem Römisch-Katholizismus entnommen hat. Daß sie aber darin nicht einem Triebe von außen gefolgt ist, bezeugt uns auch die freiere Auffassung vieler umstrittener Fragen und der freie Raum, welcher der späteren Entwicklung dieser Fragen gewährt worden ist.

Wie auch bei dem Bekenntnis des Cyrill, so auch hier heben wir hervor, daß die nähere Begründung des hier nur gestreiften Verhältnisses zwischen dem Griechisch-Orthodoxismus und dem Römisch-Katholizismus einerseits und dem Protestantismus andererseits, nach der in dem Bekenntnis des Mogilas enthaltenen Lehre, das Objekt einer besonderen Untersuchung machen sollte.

Literatur. Feuerlin: De religione Ruthenorum hodierna, 1745. — Hofmann, Historia Catechismi Russorum, 1751. — J. E. Kimmel, Libri symbolici ecclesiae orientalis, 1844 (Prolegomena). — W. Gaß in der „Realencyklopädie für protest. Theologie und Kirche" (zweite Auflage), Artikel „Mogilas" und in seiner Symbolik der griechischen Kirche. — J. E. Mesolora in „*Συμβολικὴ τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας*" (*Τόμος Α', Τεῦχος Β'*) Athen 1883.

Die Vorrede des Patriarchen Nektarius.

Νεκτάριος ἐλέῳ Θεοῦ Πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης·

Πᾶσι τοῖς ἐντευξομένοις ὀρθοδόξοις, ἀδελφοῖς ἀγαπητοῖς, καὶ τέκνοις ἐν Κυρίῳ, χάριν, εἰρήνην καὶ ἔλεος ἀπὸ Θεοῦ.

Μὴ δὴ παρέργως, ἀναγνῶστα φίλτατε, ταύτην τὴν βίβλον μέτιθι, εἴ σοι βουλητὸν εἴη, πρὸς πίστιν ὀρθὴν παιδαγωγηθῆναι, καὶ περιϊών[1] *ἔτι ἐν τῷ ὑλώδει τούτῳ σώματι, τοῖς τοῦ ἀΰλου φωτὸς ἀμαρύγμασιν ἐλλαμφθῆναι. Ὅπερ ἔστι ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ μετὰ Θεοῦ γενέσθαι τῷ νῷ ἀνιπτάμενος· σύντομον καὶ γὰρ οὐχ ἧττον δὲ καὶ σαφῆ περίληψιν ὀρθῶν ἔχει δογμάτων, ὥσπερ κἂν τῆς ἐπιγραφῆς αὐτῆς ἀριδήλως σοι προαναφανεῖται*[2]*· ἐπιγράφεται μὲν γὰρ ὀρθόδοξος Ὁμολογία τῶν Γραικῶν, δηλαδὴ εἰλικρινὴς, καὶ καθαρὰ, τῷ μηδ' ὁπωσοῦν νεωτερισμοῦ τινὸς ἐπιμιξίαν ἔχειν ἐξ*[3] *ἑτέρου θρησκεύματος· συντέτακται δὲ τὸ μὲν πρῶτον παρὰ τῆς τῶν Ῥώσων ἐκκλησίας (στιχούσης ἄνωθεν τῷ ὀρθῷ τῆς Ἀνατολικῆς ἐκκλησίας κανόνι) ἐξ αἰτίας ὁρμωμένης τοιαύτης. Πέτρος Μογίλας, (ὁ καὶ πρὸ ὀλίγου τῶν τῆδε μεταστὰς, καὶ πρὸς Θεὸν ὁσίως μεταχωρήσας) παρὰ τοῦ ἀοιδίμου καὶ μακαριωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων κυροῦ Θεοφάνους προβληθεὶς καὶ χειροτονηθεὶς ὀρθόδοξος μητροπολίτης, καὶ τοὺς οἴακας ἐγχειρισθεὶς τῆς κατὰ τὸ Κίοβον μητροπόλεως, ἐνέτυχε τῷ ποιμνίῳ συμπεφυρμένῳ νεωτερισμοῖς τισί τῶν ἑτεροδοξούντων, ἀπᾴδουσι πάντη τοῦ ὀρθοῦ καὶ ἀρχαίου σφῶν δόγματος· ὅθεν οἷα καλὸς ποιμὴν καὶ γενναῖος τῆς πίστεως πρόμαχος σκοπὸν ὅτι μάλιστα θεοφιλῆ προὔθετο, ἵνα πρὸς ἣν ἐξ ἀρχῆς εἶχε δογμάτων ὀρθότητα, ἡ τῶν Ῥώσων ἐκκλησία ἀπευθηνή τε καὶ ἀποκαταστήσῃ, τοὺς δ' ἀνακύψαντας νεωτερισμοὺς ἐκεῖσε προῤῥίζους ἐκτέμῃ, καὶ τὸ πενυματικὸν αὐτοῦ λῄϊον εὔσταχυ ἀποφήνῃ καὶ καρποφόρον. Ταῦτα τοιγαροῦν ἐκεῖνος καλῶς διανοηθεὶς καὶ τοὔργου συντόμως ἥψατο· σύλλογον καὶ γὰρ τῶν κατὰ τὴν αὐτοῦ παροικίαν ἐλλογίμων τε καὶ ἐπιστημόνων ἀνδρῶν, κατὰ τὴνδε τὴν μητρόπολιν συναγηοχὼς, οὐ μὴν δὲ, ἀλλὰ πρὸ τούτων καὶ τοὺς ὑφ' αὐτὸν τρεῖς Ἐπισκόπους (χειροτονηθέντας τότε κακείνους παρ' αὐτοῦ τοῦ ἀοιδίμου τῶν Ἱεροσολύμων Πατριάρχου). Σκέψεως τε πολλῆς γενομένης, βουλῇ κοινῇ καὶ γνώμῃ μιᾷ συνεφώνησαν ἅπαντες, ταύτην αὐτῶν τὴν τῆς πίστεως ἔκθεσιν γράψας τε ἐν κεφαλαίοις, καὶ ἐπιτρέψας τὴν ὡριμοτέραν αὐτῆς σκέψιν τῇ ἐν Κωνσταντινουπόλει ἐκκλησίᾳ, καὶ τῇ αὐτῆς ἱερᾷ Συνόδῳ, ἥπερ ἄνωθεν εἵποντο, καὶ πρὸς ἣν, ὡς εἰς κεφαλὴν τοῦ ὀρθο-*

---

[1]) Kimmel liest: *περιὼν ἐπὶ τῷ ὑλώδει.* Eine andere Lesart lautet: *ἐν τῷ, ἔτι.*

[2]) Andere Lesart: *προαναφωνεῖται.* Bei Hofmann: *προαφανεῖς.*

[3]) ἔξ von Kimmel beigefügt.

δόξου τῶν Γραικῶν συστήματος, ὑπετάσσοντο, καὶ ὡς εἰς ἀσφαλῆ γνώμονα ἐνητένιζον· ἵν' ὁποῖα οὖν τῶν κεφαλαίων αὐτη ἐγκρίνοι, ταῦτα καὶ οὗτοι διακρατεῖν, καὶ αὖ, ὁσάπερ ἀποδιοπομπεῖται, ταῦτα κἀκεῖνοι ἀποῤῥίπτειν ὡς νόθα ἔχοιεν. Συντάξαντες τοιγαροῦν τὴν βίβλον, καὶ ἔκθεσιν τῆς τῶν Ῥώσων πίστεως αὐτὴν ἐπιγράψαντες, προσεκαλοῦντο τοὺς παρὰ τῆς ἐν Κωνσταντινουπόλει μεγάλης ἐκκλησίας εἰς Μολδάβιαν πεμφθησομένους, ἐπιτρόπους συνοδικοὺς καὶ Πατριαρχικοὺς Ἐξάρχους, ἐν ᾧ τόπῳ καὶ παρ' αὐτῶν ἔφασκον πρέσβεις ἐπιστεῖλαι, ἐφ' ᾧ πρῶτον ἐκεῖσε ἀνακριθείη τὰ τῆς αὐτῶν πίστεως ἐκτεθέντα κεφάλαια, εἴγε συνᾴδοιεν, εἴτε καὶ μὴ, τῇ τῆς Ἀνατολικῆς ἐκκλησίας ὀρθότητι, μετὰ δὲ τὴν ἐκεῖσε βάσανον καὶ δημοσίως αὐτῇ ταῦτα κοινώσασθαι. Καὶ δὴ λοιπὸν πέμπονται παρὰ τῆς ἱερᾶς συνόδου, ὁ πανιερώτατος Μητροπολίτης Νικαίας Πορφύριος, καὶ Μελέτιος ὁ Συρίγος, διδάσκαλος τῆς μεγάλης ἐκκλησίας, ὃς καὶ ἐπ' εὐσεβέσι καὶ ὀρθοῖς δόγμασιν παιδόθεν ἀνατραφείς τε καὶ παιδευθεὶς, καὶ πρὸς τελειότητα βίου καὶ λόγου ἀχθεὶς, κήρυξ, διερμηνεὺς καὶ στάθμη τῶν ὀρθῶν τῆς πίστεως δογμάτων καί ἐστι καὶ λέγεται. Τὸ Πατριαρχικὸν δὲ τότε ἐπιφερόμενος πρόσωπον, σὺν πληρεστάτῃ ἐξουσίᾳ καὶ τῆς ἱερᾶς ἁπάσης συνόδου ἐς Μολδάβιαν, ὡς ἔφθημεν εἰπόντες, σὺν τῷ Πορφυρίῳ παρεγένετο. Ἀφίκοντο δὲ καὶ παρὰ τῶν Ῥώσων, ὁ τε Ἡσαίας Τρόφιμος, καὶ Κονονοβίκιος, καὶ Ξενοβίκιος, ἄνδρες τῷ ὄντι θαυμάσιοι, καὶ πάσῃ σοφίᾳ καὶ ἐπιστήμῃ κεκοσμημένοι. Τὸν δὲ τῆς γνώσεως πρύτανιν θεὸν τοῦ ὀρθοῦ λόγου προστήσαντες ἡγήτορα, μετὰ πολλὰς ἀνακρίσεις καὶ ἀναπτύξεις Γραφῶν ἱερῶν, ἐς οὕτω πέρας χρηστὸν τὴν βίβλον προήγαγον, ἀνακαθάραντες ταύτην ἀλλοτρίας γνώμης ἁπάσης, καὶ τῆς τῶν νεωτερισμῶν ἐκείνων συμφύρσεως. Κἀκεῖθεν εὐθὺς πρὸς τοὺς τέσσαρας τῶν Ἀποστολικῶν θρόνων εὐσεβεῖς καὶ ὀρθοδόξους Πατριάρχας ἐξέπεμψαν, οἳ καὶ ὡς γνήσια καὶ ὀρθὰ περιέχουσαν δόγματα, καὶ μηδοπωσοῦν τῆς καθολικῆς καὶ εἰλικρινοῦς τῶν Γραικῶν πίστεως διαμαρτάνουσαν ἀπεδέξαντο, καὶ τοῖς πᾶσιν ὁμοφώνως ἐκήρυξαν, ὡς ἔστιν ἄρα καθαρὰ καὶ ἀνόθευτος. Κυρώσαντες δὲ ταῖς σφῶν αὐτῶν ἰδιοχείροις ὑπογραφαῖς μετὰ τῶν περὶ αὐτοὺς ἕκαστος κληρικῶν, ὡς δείκνυνται καὶ ὁρῶνται, οὐ μόνον Ῥώσων, καθολικώτερον δὲ πάντων τῶν Γραικῶν ὀρθόδοξον πίστιν αὐτὴν ἐπωνόμασαν.

Ἀλλὰ ταύτην τύπῳ μὲν πρὸ πολλοῦ οἱ Ῥώσοι τῇ σφῶν διαλέκτῳ ἐξέδωκαν, παρὰ δὲ Γραικοῖς ἐν χειρογράφοις καὶ μόναις δέλτοις τέως ἀνεγινώσκετο. Ὁ δὲ σοφώτατος, οὐχ ἧττον δὲ καὶ θεοσεβέστατος καὶ ὀρθοδοξώτατος Ἑρμηνεὺς τοῦ Ἀνατολικοῦ καὶ Δυτικοῦ κράτους τῶν αὐτοκρατόρων, κύριος Παναγιώτης, οἷα τοῦ ἡμετέρου τῶν Γραικῶν γένους ἐς ἄκρον ζηλωτὴς, καὶ τοῦ ὀρθοδόξου ἡμῶν δόγματος διάπυρος ὑπασπιστὴς, πρὸς τοῖς ἄλλοις αὐτοῦ μεγαλοπρεπέσιν ἔργοις καὶ τοὔργου τούτου γενέσθαι προστάτης οὐκ ὄκνησε, τοῦ τύπῳ δηλαδὴ καὶ κατὰ τὴν ἡμῶν τε καὶ τῶν Λατίνων φωνὴν (καίπερ πολιτικαῖς φροντίσιν ὅσαι ὧραι ἐνειλούμενος) οἰκείοις ἀναλώμασι ταύτην ἐκδοῦναι, ἵν' ἕκαστος τῶν εὐσεβεῖν βουλομένων δίχα δαπάνης (ἀμισθὶ γὰρ πᾶσι τὰς βίβλους

δίδοσθαι παρεσκεύασε) κτᾶσθαι ταύτην δύναιτο, κἀντεῦθεν, ὡς ἀπὸ καθαροῦ καὶ ζῶντος ὕδατος καὶ ἀπὸ πηγῶν ἀληθινῶν τοῦ σωτηρίου, ἀνιμᾶσθαι ἔχοι τὰ τῆς καθ' ἡμᾶς ἐκκλησίας εὐσεβῆ δόγματα, καὶ μήτισιν ἄλλοις θολεροῖς τῶν ἑτεροδοξούντων δόγμασι ξενίζοιτο καὶ ἐξαπατῷτο. Εἰ δὲ καὶ πεζῇ τῇ φράσει ἐκδίδοται (διὰ τὸ οὐ μόνον σοφοῖς ἀνδράσι, ἀλλὰ καὶ τοῖς πολλοῖς εὐξύνετον εἶναι), οὐ χρὴ θαυμάζειν. Καὶ γὰρ οὐ πρὸς τὸ ἀκαλλὲς τῆς φράσεως, ἀλλὰ πρὸς τὴν τῶν λεγομένων ἀλήθειαν ἀποσκοπεῖν δεῖ τὸν ἐχέφρονα. Ὀφείλομεν δὲ μᾶλλον ἅπαντες μεγάλας καὶ ἀθανάτους τὰς χάριτας εἰδέναι τῷ ἀνδρὶ, προξένῳ ἡμῖν γενομένῳ τοῦ τοιούτου καλοῦ, ἐκλιπαρεῖν τε τὸ θεῖον, ἀνταποδοῦναι πλουσίως αὐτῷ, καὶ ἀθανάτους τὰς ἀμοιβὰς ἐν τῇ τῆς ἀνταποδόσεως ἡμέρᾳ.

Ἐν Κωνσταντινουπόλει ἐν τῇ ἡμετέρᾳ μονῇ, ἔτει αχξβ', Νοεμβρίῳ κ'.

Die Genehmigung des Patriarchen Parthenius und seiner Synode.

Παρθένιος Ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

Ἡ μετριότης ἡμῶν μετὰ καὶ τῆς περὶ αὐτὴν ἱερᾶς τῶν Ἀρχιερέων συνόδου καὶ τοῦ κλήρου, διελθόντες τὸ πεμφθὲν ἡμῖν παρὰ τῆς ἀδελφῆς ἡμῶν ἐκκλησίας τῆς μικρᾶς Ῥωσσίας βιβλίον, τὸ ἐπιγραφὴν ἔχον, Ὁμολογία τῆς ὀρθοδόξου πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τοῦ Χριστοῦ· τὴν πραγματείαν αὐτοῦ ποιούμενον ἐν τρισὶ μέρεσιν, εἴς τε τὴν πίστιν, καὶ τὴν ἀγάπην, καὶ τὴν ἐλπίδα· καὶ τὴν μὲν πίστιν διαιροῦν εἰς τὰ δώδεκα ἄρθρα τῆς πίστεως, ἤτοι τοῦ ἱεροῦ συμβόλου· τὴν δὲ ἀγάπην εἰς τὰς δέκα ἐντολὰς, καὶ εἰς λοιπὰ ἀναγκαῖα τῆς ἱερᾶς καὶ θεοπνεύστου παλαιᾶς τε καὶ νέας γραφῆς καὶ τὴν ἐλπίδα εἰς τὴν κυριακὴν φωνὴν, καὶ τοὺς ἐννέα μακαρισμοὺς τοῦ ἱεροῦ Εὐαγγελίου. Εὗρομεν αὐτὸ ἐπακόλουθον τοῖς δόγμασι τῆς τοῦ Χριστοῦ ἐκκλησίας, καὶ ὁμόφωνον τοῖς ἱεροῖς κανόσι, κατ' οὐδὲν ἐναντιούμενον αὐτῇ. Οὗ τὸ ἀντικρὺ δεύτερον μέρος εἰς Λατινικὴν γλῶσσαν ἐμπεριέχεται, καὶ οὐ διήλθομεν αὐτὸ· ἐπικυροῦμεν οὖν αὐτὸ μόνον, τὸ ἐν τῇ ἡμετέρᾳ διαλέκτῳ τυγχάνον, καὶ ἀποφαινόμεθα γνώμῃ κοινῇ συνοδικῇ, πάντα εὐσεβῆ καὶ ὀρθόδοξον, ὄντα ὑπὸ τὴν Ἀνατολικὴν καὶ Ἀποστολικὴν ἐκκλησίαν χριστιανὸν, ἀναγινώσκειν αὐτὸ, καὶ μὴ ἀποστρέφεσθαι, ὅθεν καὶ ὑπεγράφη εἰς διηνεκῆ τὴν ἀσφάλειαν. Ἐν ἔτει σωτηρίῳ, αχμγ', μηνὶ Μαρτίῳ ἡμέρᾳ ια'.[1]

---

[1]) Hierauf folgen die Unterschriften der Patriarchen Parthenius von Konstantinopel, Joannikius von Alexandrien, Makarius von Antiochien, Païsius von Jerusalem und der an der Synode beteiligten Bischöfe.

Ὀρθόδοξος ὁμολογία τῆς πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς.

Ἐρώτησις 1.

Ὁ ἄνθρωπος ὁ χριστιανὸς ὁ ὀρθόδοξος καὶ καθολικὸς τί χρεωστεῖ νὰ φυλάττῃ, διὰ νὰ πληρονομήσῃ τὴν ζωὴν τὴν αἰώνιον;

Ἀπόκρισις.

Πίστιν ὀρθὴν καὶ ἔργα καλά. Διατὶ ὁποῖος τὰ δύο ταῦτα κρατεῖ, εἶναι καλὸς χριστιανὸς, καὶ ἔχει βεβαίαν ἐλπίδα τῆς αἰωνίου σωτηρίας· μαρτυρούσης τῆς ἁγίας Γραφῆς· (Ἰακ. β'. κδ'.) ὁρᾶτε, ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον· καὶ ὁ λόγος κατώτερον· (στιχ. κς'.) ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι· καὶ ἀλλαχοῦ ὁ Παῦλος ὁ θεῖος λέγει τὸ αὐτό· (α'. Τιμ. α'. ιθ'.) ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν· ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν· καὶ ἀλλαχοῦ· (α'. Τιμ. γ'. θ'.) ἔχοντες τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδῆσει.

Ἐ. 2: *Διατί χρεωστεῖ ὁ χριστιανὸς νὰ πιστεύῃ πρῶτον, καὶ ὕστερα νὰ κάμῃ τὰ καλὰ ἔργα;*

Ἀπ. *Ἐπειδὴ εἶναι ἀδύνατον νὰ ἀρέσσῃ τινὰς τοῦ Θεοῦ χωρὶς πίστιν, κατὰ τὸν Παῦλον λέγοντα· (Ἑβρ. ια'. ς'.) χωρὶς πίστιν ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Διὰ νὰ ἀρέσσῃ λοιπὸν ὁ χριστιανὸς τῷ Θεῷ, καὶ τὰ ἔργα τοῦ νὰ εἶναι εἰς αὐτὸν εὐπρόσδεκτα, πρῶτον πρέπει νὰ ἔχῃ πίστιν εἰς τὸν Θεὸν, καὶ δεύτερον νὰ εὐθήνῃ τὴν ζωήν του κατὰ τὴν πίστιν.*

Ἐ. 3: *Τὰ δύο ταῦτα εἰς τί στέκουνται;*

Ἀπ. *Εἰς τὰς τρεῖς θεολογικὰς ἀρετάς· ἤγουν εἰς τὴν πίστιν· εἰς τὴν ἐλπίδα· καὶ εἰς τὴν ἀγάπην· κατὰ τὰς ὁποίας θέλομεν μερίσειν καὶ τὰ τρία μέρη τῆς Ὁμολογίας, ὥστε εἰς τὸ πρῶτον νὰ ὁμολογήσωμεν περὶ τῶν ἄρθρων τῆς πίστεως, εἰς τὸ δεύτερον περὶ ἐλπίδος, καὶ τῆς προσευχῆς τῆς Κυριακῆς, καὶ περὶ τῶν μακαρισμῶν, εἰς δὲ τὸ τρίτον, περὶ τῶν θείων ἐντολῶν, ἐν αἷς περιέχεται ἡ πρὸς Θεὸν καὶ τὸν πλησίον ἀγάπη.*

Πρῶτον μέρος
τῆς ὀρθοδόξου ὁμολογίας, ἐν ᾧ περὶ Πίστεως.

Ἐρώτησις 4: *Τί ἐστὶ Πίστις;*

Ἀπόκρισις. *Πίστις ἐστὶ (κατὰ τὸν μακάριον Παῦλον Ἑβρ. ια'. α'.) ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι· ἢ οὕτω· πίστις ὀρθόδοξος, καθολικὴ τε καὶ ἀποστολικὴ ἐστί, καρδίᾳ πιστεύειν καὶ στόματι ὁμολογεῖν*

ἕνα Θεὸν τρισυπόστατον, κατὰ τὴν αὐτοῦ τοῦ Παύλου διδασκαλίαν, λέγοντος· (Ῥωμ. ί. ί.) καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Πρὸς τούτῳ πρέπει νὰ κρατῇ διὰ βέβαιον καὶ ἀναμφίβολον ὁ ὀρθόδοξος χριστιανὸς, (ς'. Συνοδ. καν. πβ'.) πῶς ὅλα τὰ ἄρθρα τῆς πίστεως τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας εἶναι παραδεδομένα ἀπὸ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μὲ τὸ μέσον τῶν ἀποστόλων του εἰς τὴν ἐκκλησίαν, καὶ αἱ οἰκουμενικαὶ σύνοδοι τὰ ἑρμηνεύουσαν καὶ τὰ ἐδοκίμασαν, καὶ νὰ πιστεύῃ εἰς αὐτὰ καθὼς προστάσσει ὁ Ἀπόστολος, λέγων· (β'. Θεσσ, β'. ιε'.) ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν· καὶ ἀλλαχοῦ· (α'. Κορ. ια'. β'.) ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, κατέχετε. Ἀπὸ τὰ ὁποῖα λόγια εἶναι φανερὸν, πῶς τὰ ἄρθρα τῆς πίστεως ἔχουσι τὸ κῦρος καὶ τὴν δοκιμασίαν, μέρος ἀπὸ τὴν ἁγίαν γραφὴν, μέρος ἀπὸ τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ ἀπὸ τὴν διδασκαλίαν τῶν συνόδων καὶ τῶν ἁγίων πατέρων. Τὸ ὁποῖον φανερώνωντας τὸ ὁ ἱερὸς Διονύσιος λέγει (ἐκκλ. Ἱερ. α'.) οὕτως· οὐσία γὰρ τῆς κατ' ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια· σεπτότατα δὲ λόγια ταῦτα φαμὲν, ὅσα πρὸς τῶν ἐνθέων ἡμῶν ἱεροτελεστῶν ἐν ἁγιογράφοις ἡμῖν καὶ θεολογικαῖς δεδώρηται δέλτοις, καὶ μὴν ὅσα πρὸς τῶν ἱερῶν ἀνδρῶν ἀϋλωτέρᾳ μυήσει, καὶ γείτονι πῶς ἤδη τῆς οὐρανίας ἱεραρχίας ἐκ νοὸς εἰς νοῦν, διὰ μέσου λόγου σωματικοῦ μὲν, ἀϋλωτέρου δὲ ὅμως, γραφῆς ἐκτὸς, οἱ καθηγεμόνες ἡμῶν ἐμυήθησαν, ἤγουν πῶς δύο λογίων εἶναι τὰ δόγματα. Ἄλλα παραδίδει ἡ γραφὴ, τὰ ὁποῖα περιέχονται εἰς τὰ θεολογικὰ βιβλία τῆς ἁγίας γραφῆς· καὶ ἄλλα εἶναι δόγματα παραδεδομένα ἐκ στόματος ἀπὸ τοὺς Ἀποστόλους, καὶ ταῦτα ἑρμηνεύθησαν ἀπὸ τὰς συνόδους καὶ τοὺς ἁγίους πατέρας· καὶ εἰς τὰ δύο ταῦτα ἡ πίστις εἶναι τεθεμελιωμένη. Καὶ δὲν εἶναι πρέπον, νὰ στέκεται μόνον φυλαγμένη εἰς τὸ κρυπτὸν τῆς καρδίας, μὰ καὶ μὲ τὸ στόμα νὰ κηρύττεται ἡ αὐτὴ, καὶ νὰ ὁμολογᾶται ἀφόβως καὶ ἀναμφιβόλως· καθὼς καὶ ὁ ἱερὸς Ψάλτης λέγει· (Ψαλ. ριζ'. ί. β'. Κορ. δ'. ιγ'.) ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν.

Ἐ. 5: *Πόσα εἶναι τὰ ἄρθρα τῆς καθολικῆς καὶ ὀρθοδόξου πίστεως.*

Ἀπ. Τὰ ἄρθρα τῆς ὀρθοδόξου καὶ καθολικῆς πίστεως εἶναι δώδεκα, κατὰ τὸ σύμβολον τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ τὴν ἐν Κωνσταντινουπόλει δευτέραν· εἰς ταῖς ὁποίαις οὕτως ἐφανερώθησαν ὅλα, ὅπου συντείνουσι πρὸς τὴν ἡμετέραν πίστιν, ὅπου οὔτε πλειότερα πρέπει νὰ πιστεύωμεν, οὔτε ὀλιγώτερα, οὔτε ἀλλοιῶς παρὰ ὅποῦ ἐγροίκησαν οἱ πατέρες ἐκεῖνοι. Μόνον κάποια ἀπ' αὐτὰ τὰ ἄρθρα εἶναι φανερὰ, καὶ καθ' ἑαυτὰ γνώριμα, καὶ ἄλλα περικρατοῦσι μυστικὰ εἰς ἑαυτὰ, καὶ ἀπ' αὐτὰ νοοῦνται καὶ τὰ ἄλλα.

Ἐ. 6: *Ποῖον εἶναι τὸ πρῶτον ἄρθρον τῆς πίστεως;*

Ἀπ. (Συνοδ. α'.) Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Ἐ. 7: *Εἰς τοῦτο τὸ ἄρθρον τῆς πίστεως τί λογῆς διδασκαλία περικρατεῖται;*

Ἀπ. *Τοῦτο τὸ ἄρθρον τῆς πίστεως δύο τινα περιέχει, πρῶτον νὰ πιστεύῃ τινὰς καὶ νὰ ὁμολογῇ, (Δευτ. ς΄. δ΄.) πῶς εἶναι ἕνας Θεὸς ἐν τριάδι ἁγία δοξαζόμενος· καὶ πῶς εἰς τὴν θεότητα ἡ ἀρχὴ καὶ ἡ ῥίζα τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος εἶναι ὁ Πατήρ· δεύτερον διδάσκει, πῶς αὐτὸς ὁ ἐν τριάδι Θεὸς ἐποίησεν ἐκ τοῦ μὴ ὄντος πάντα τὰ ὁρατὰ καὶ ἀόρατα· καθὼς ὁ Ψαλμῳδὸς μαρτυρῶν λέγει· (Ψαλ. λγ΄. θ΄.) ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.*

Ἐ. 8: *Τίνα γνώμην πρέπει νὰ ἔχω περὶ Θεοῦ;*

Ἀπ. *Πρέπει νὰ πιστεύῃς πῶς εἶναι ἕνας Θεὸς ἐν τριάδι ἁγίᾳ, κατὰ τὴν γραφὴν τὴν λέγουσαν· (Ἐφ. δ΄. ς΄.) εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν· ὁ ὁποῖος ὡς ἀγαθὸς καὶ ὑπεράγαθος, μὲ ὅλον ὁποῦ εἶναι καθ' ἑαυτὸν ὑπερτελὴς καὶ δεδοξασμένος, μὲ ὅλον τοῦτο διὰ νὰ μετέχουσι καὶ ἄλλα ὄντα τὴν ἀγαθότητά του, δοξάζοντα αὐτὸν, ἐποίησεν ἐκ τοῦ μὴ ὄντος τὸν κόσμον. Μὰ τί νὰ εἶναι ὁ Θεὸς εἰς τὴν φύσιν του, τοῦτο εἶναι ἀδύνατον νὰ γνωρισθῇ ἀπὸ κἂν ἕνα κτίσμα, ὄχι μόνον ὁρατὸν, ἀλλὰ καὶ ἀόρατον, ἤγουν καὶ ἀπ' αὐτοὺς τοὺς ἀγγέλους, διατὶ δὲν εἶναι οὐδὲ μία σύγκρισις καθόλου ἀνάμεσον τοῦ κτίστου καὶ κτίσματος. Καὶ ἐξ ἑπομένου φθάνει μᾶς πρὸς εὐσέβειαν (καθὼς μαρτυρεῖ ὁ Ἱεροσολυμ. Κύριλλος Κατηχ. ς΄.), νὰ ἐξεύρωμεν, πῶς ἔχομεν Θεὸν ἕνα, Θεὸν ὄντα, καὶ ἀεὶ ὄντα, ὅμοιον καὶ ταὐτὸν πάντοτε μὲ τὸν ἑαυτόν του· ἔξω ἀπὸ τὸν ὁποῖον ἄλλος Θεὸς δὲν εἶναι. Καθὼς λέγει ὁ αὐτὸς Θεὸς διὰ τοῦ προφήτου· (Ἡσ. μδ΄. ζ΄.) ἐγὼ (εἰμὶ Θεὸς) πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν Θεός· καὶ ὁ Μωϋσῆς πρὸς τὸν Ἰσραηλητικὸν λαὸν μετὰ προτροπῆς οὕτω λέγει· (Δευτ. ς΄. δ΄.) ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ἡμῶν Κύριος εἷς ἐστίν.*

Ἐ. 9: *Ἂν ἴσως καὶ ὁ Θεὸς εἶναι ἕνας φαίνεται, πῶς νὰ ἦτον ἀνάγκη, νὰ ἦτον καὶ ἕνα πρόσωπον.*

Ἀπ. *Δὲν εἶναι ἀνάγκη· διατὶ ὁ Θεὸς εἶναι ἕνας εἰς τὴν φύσιν καὶ τὴν οὐσίαν, μὰ τρισυπόστατος, καθὼς εἶναι φανερὸν ἀπὸ τὴν διδασκαλίαν αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν, ὁποῦ εἶπεν πρὸς τοὺς Ἀποστόλους του· (Ματθ. κή. ιθ΄.) πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη· βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀπὸ τὰ ὁποῖα λόγια φανερώνεται, πῶς εἰς τὴν μίαν Θεότητα νὰ εἶναι τρία πρόσωπα, ὁ Πατὴρ, ὁ Υἱὸς, τὸ Πνεῦμα τὸ ἅγιον, Πατὴρ ὁ ὁποῖος πρὸ αἰώνων γεννᾷ τὸν υἱὸν ἀπὸ τὴν ἰδίαν του οὐσίαν, καὶ τὸ ἅγιον Πνεῦμα προΐησιν. Υἱὸς ἐκ Πατρὸς γεννηθεὶς πρὸ αἰώνων ὁμοούσιος αὐτῷ· Πνεῦμα ἅγιον ἀπ' αἰῶνος ἐκπορευόμενον ἐκ Πατρὸς, ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ υἱῷ· τοῦτο ἑρμηνεύων ὁ θεῖος Δαμασκηνὸς, λέγει οὕτως· (α΄. Βιβ. κεφ. ια΄.) ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰς μίαν αἰτίαν, τὸν Πατέρα, ἀναφέρονται. Καὶ ἀλλαχοῦ (κεφ. ί.) ὁ αὐτός· ὁ υἱὸς*

ἐκ τοῦ Πατρὸς ἔστι μὲ τρόπον γεννήσεως· τὸ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ ἐκ τοῦ Πατρὸς εἶναι, μὰ ὄχι μὲ τρόπον γεννήσεως, ἀλλ' ἐκπορεύσεως. Καὶ ὁ θεολόγος Γρηγόριος εἰς τὰ λόγια τοῦ Ἀποστόλου τὰ πρὸς Ῥωμαίους, (κεφ. ια'. λς'.) ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν, τὰ πάντα, λέγει οὕτω· τὸ πρῶτον (ἤγουν τὸ ἐξ αὐτοῦ) πρέπει νὰ ἀποδώσωμεν εἰς τὸν Πατέρα, τὸ δεύτερον, εἰς τὸν Υἱὸν, καὶ τὸ τρίτον, εἰς τὸ ἅγιον Πνεῦμα· διὰ νὰ γνωρισθῇ, πῶς εἶναι τριὰς εἰς τὴν θεότητα. Καὶ πρὸς τούτοις διατί ὁμοίως καὶ ἀπαράλλακτος, χωρίς τινος ἐξαιρέσεως, βαπτιζόμεθα εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος; Λοιπὸν ὅ, τι εἶναι ὁ Πατὴρ εἰς τὴν φύσιν, τὸ αὐτὸ εἶναι καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Ἀλλὰ μὴν ὁ Πατὴρ εἶναι Θεὸς κατὰ φύσιν ἀληθὴς καὶ αἰώνιος, καὶ πάντων ποιητὴς τῶν ὁρατῶν καὶ ἀοράτων, τοιοῦτος λοιπὸν εἶναι καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ εἶναι ὁμοούσια ἀλλήλοις, κατὰ τὴν διδασκαλίαν τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, ὁποῦ λέγει· (α'. Ἰωαν. ε'. ζ'.) ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, ὁ Λόγος καὶ τὸ ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν. Εἰς τὰ ὁποῖα λόγια τοῦτο μόνον ἐξαιρεῖται, ὁποῦ ὁ Πατὴρ εἶναι αἴτιος εἰς τὴν Θεότητα τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ταῦτα δὲ τὰ δύο πρόσωπα εἶναι ἐξ ἐκείνου, ἐκεῖνος δὲ ἐξ οὐδενὸς. Οὕτως ἐδιδάχθημεν ἀπ' αὐτῆς τῆς αἰωνίου ἀληθείας, τὸν Ἰησοῦν τὸν Σωτῆρα μας, οὕτως ἀπὸ τοὺς ἁγίους ἀποστόλους παρελάβομεν. Καὶ αἱ οἰκουμενικαὶ καὶ τοπικαὶ Σύνοδοι, ὁμοίως καὶ οἱ διδάσκαλοι τῆς ἐκκλησίας ἀλλοιᾶς λογῆς οὔτε ἐδίδαξαν, οὔτε ἐπαραδώκασιν, ἢ ἐκυρώσασι παρὰ οὕτω· καὶ τοῦτο κρατεῖ ὁμοίως ἡ ὀρθόδοξος ἡμῶν καὶ καθολικὴ ἐκκλησία. Διὰ τὴν πίστιν ταύτην οἱ ἅγιοι μάρτυρες ἔχυσαν τὸ αἷμα των, καὶ ἀλλάξασι τὴν ζωὴν ταύτην μὲ τὸν θάνατον. Τέτοιας λογῆς καὶ ἡμεῖς χρεωστοῦμεν νὰ πιστεύωμεν ἐξ ὅλης μας τῆς καρδίας ἀναμφιβόλως, καὶ νὰ φυλάττωμεν τὴν πίστιν ταύτην ἀσφαλῶς καὶ στερεῶς, καὶ δι' αὐτὴν νὰ ἀποθνήσκωμεν (ὅταν ἡ χρεία τὸ καλέσῃ) διὰ τὴν ἐλπίδα τῆς σωτηρίας μας, συνεργούντων καὶ τῶν ἀγαθῶν ἡμῶν ἔργων, ὧν τὰς ἀμειβὰς θέλομεν ἔχειν ἐν οὐρανοῖς αἰωνίους.

Ἐ. 10: *Ἐπεθύμουν μὲ φανερώτερον τρόπον νὰ κατανοήσω τὸ μυστήριον τῆς ἁγίας τριάδος.*

Ἀπ. Μὲ οὐδὲ κἂν μίαν ὁμοιότητα εἶναι δυνατὸν, νὰ φανερωθῇ τελείως τὸ πρᾶγμα τοῦτο, καὶ νὰ παραστῇ εἰς τὸν νοῦν μας φανερᾷ, μὲ τίνα τρόπον εἶναι ὁ Θεὸς ἕνας εἰς τὴν οὐσίαν, καὶ τρεῖς εἰς τὰς ὑποστάσεις. Καὶ πῶς μὲ οὐδεμίαν ὁμοιότητα ἠμπορεῖ νὰ γνωρισθῇ, τὸ μαρτυρᾷ ὁ αὐτὸς Θεὸς, ὀνομαζόμενος Ἰεχωβᾶ, διὰ τοῦ προφήτου λέγοντος, (Ἡσ. μς'. ε'.) τίνι με ὁμοιώσατε καὶ μὲ ἐξισάσετε καὶ ἐπαραβάλετέ με, καὶ ἐπερωμοιάσετέ με, διὰ νὰ εἶμαι ὅμοιος μετ' ἐκεῖνον; ὥστε ὁποῦ οὐδένας νοῦς, ὄχι μόνον ἀνθρώπινος, ἀλλὰ οὔτε ἀγγελικὸς ἠμπορεῖ νὰ καταλάβῃ, ἢ γλῶσσα νὰ τὸ ἑρμηνεύσῃ. Διὰ τοῦτο πρέπει νὰ εἰποῦμεν μαζὶ μὲ τὸν Ἀπόστολον· (β. Κορ. ι'. ε'.) λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ

αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Πιστεύομεν βεβαίως, ὅτι ὁ Θεὸς καὶ Πατὴρ ὑπάρχων ἀπ' αἰῶνος, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι ἀπ' οὐδενὸς παραγόμενος γεννᾷ τὸν Υἱὸν καὶ προάγει τὸ Πνεῦμα τὸ ἅγιον. Περὶ οὗ ὁ μέγας Ἀθανάσιος πλατύτερον διδάσκωντας εἰς τὸ σύμβολόν του εἶπε, καὶ οὕτω πιστεύοντες περαιτέρω δὲν ἐρευνοῦμεν. Διατὶ ὁ συζητητὴς καὶ ἐξεταστὴς τῆς θείας μεγαλοπρεπείας κωλύεται ἀπὸ τὴν Γραφὴν τὴν λέγουσαν· (Σειρ. γ'. κ'.) χαλεπώτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε. Ἃ προσετάγη σοι, ταῦτα διανοοῦ, οὐ γάρ ἔστι σοι χρεία τῶν κρυπτῶν. Ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου. Φθάνει μᾶς λοιπὸν τόσον, πῶς ἡ ἁγία Γραφὴ τοῦ παλαιοῦ νόμου προβαλλομένη ἕνα Θεὸν μᾶς ἑρμηνεύει τρία πρόσωπα, λέγουσα· (Γεν. ά. κς'.) εἶπε Κύριος ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ· (Γεν. γ'. κβ'.) ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν· καὶ· (Γεν. ιά. ζ'.) δεῦτε καταβάντες αὐτῶν τὰς γλώσσας συγχέωμεν ἐκεῖ, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίου· τὸ αὐτὸ καὶ ὁ Προφήτης λέγων ἐδήλωσεν· (Ἡσ. ς'. γ'.) καὶ ἐκέκραγεν ἕτερος (ἄγγελος) πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαββαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· καὶ ὁ Ἱεροψάλτης ἔφησε· (Ψαλ. λβ'. ς'.) τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· περὶ οὗ φησὶ πλατύτερον καὶ ἡ ἁγία Γραφὴ καὶ οἱ διδάσκαλοι τῆς Ἐκκλησίας.

Ἐ. 11: *Ποῖα εἶναι τὰ ἰδιώματα τοῦ Θεοῦ;*

Ἀπ. Καθὼς ὁ Θεὸς εἶναι ἀκατάληπτος, ἔτζη καὶ τὰ ἰδιώματά του εἶναι ἀκατάληπτα. Μὰ ὅσον ἠμποροῦμεν ἡμεῖς νὰ συνάξωμεν ἀπὸ τὴν ἁγίαν Γραφὴν καὶ ἀπὸ τοὺς διδασκάλους τῆς Ἐκκλησίας, τόσον ἔχομεν ἐξουσίαν, καὶ νὰ νοοῦμεν, καὶ νὰ λέγωμεν. Καὶ διὰ τοῦτο πρέπει νὰ ἠξεύρωμεν, πῶς τὰ θεῖα ἰδιώματα ἄλλα εἶναι προσωπικὰ καὶ ἄλλα οὐσιώδη.

Ἐ. 12: *Ποῖα εἶναι τὰ προσωπικὰ ἰδιώματα τοῦ Θεοῦ;*

Ἀπ. Τὰ προσωπικὰ ἰδιώματα εἰς τὰ θεῖα εἶναι ἐκεῖνα, μετὰ ὁποῖα τὰ πρόσωπα τῆς ἁγίας τριάδος οὕτω διαιροῦνται πρὸς ἄλληλα, ὥστε ὅπου τὸ ἕνα εἶναι μὴν ἠμπορῇ νὰ εἶναι τὸ ἄλλο· ἤγουν τὸ πρόσωπον τοῦ Πατρὸς· δὲν εἶναι πρόσωπον τοῦ Υἱοῦ, διατὶ ὁ Πατὴρ δὲν εἶναι γεννητὸς ἀπό τινος, μὰ ὁ Υἱὸς εἶναι γεγεννημένος ἀπὸ τὸν Πατέρα κατὰ φύσιν πρὸ τῶν αἰώνων, κατὰ τὴν Γραφὴν τὴν λέγουσαν· (Ψαλ. ρί. γ'.) ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Τὸ, Πατὴρ λοιπὸν, καὶ τὸ, Υἱὸς, καὶ τὸ, Πνεῦμα τὸ ἅγιον· τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν διαιρεῖ τὰ πρόσωπα ἐν τοῖς θείοις, μὰ ὄχι τὴν οὐσίαν, ἡ ὁποῖα ποτὲ δὲν διαιρεῖται εἰς ἑαυτὴν, μόνον χωρίζεται ἀπὸ τὴν κτίσιν. Τὸ δὲ ἕνα καὶ τὸ αὐτὸ πρόσωπον δὲν ἠμπορεῖ νὰ εἶναι γεννητοῦ μαζὶ καὶ ἀγεννήτου. Ὁμοίως πρέπει νὰ γροικοῦμεν καὶ διὰ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ὁποῖον ἐκπορεύεται ἀπὸ τὴν οὐσίαν καὶ φύσιν τοῦ Πατρὸς ἀνάρχως εἴτουν αἰωνίως, καὶ εἶναι ὁμοούσιον μὲ τὸν Πατέρα καὶ τὸν Υἱὸν. Μὰ διαιρεῖται ἀπὸ τὸν Πατέρα μὲ τὸ ἰδίωμα τὸ

προσωπικὸν, διατὶ ἀπ' ἐκεῖνον ἐκπορεύεται. Καὶ πάλιν ἀπὸ τὸν υἱὸν χωρίζεται, διατὶ δὲν εἶναι ἀπὸ τὸν Πατέρα μὲ τρόπον γεννήσεως, καθὼς εἶναι ὁ Υἱὸς, μὰ μὲ τρόπον ἐκπορεύσεως ἐκ τοῦ αὐτοῦ Πατρὸς· καὶ εἶναι ὁμοούσιοι ἀλλήλοις καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διατὶ ἀπὸ τὴν αὐτὴν ἰδίαν φύσιν τοῦ Πατρὸς εἶναι καὶ τὰ δύο τοῦτα πρόσωπα· καὶ μὲ τὸν Πατέρα εἶναι ὁμοούσια, ἔστωντας καὶ νὰ εἶναι ἀπὸ τὴν φύσιν του· διὰ τὸ ὁποῖον ὁ Γρηγόριος ὁ θεολόγος (λόγ. κγ'.) λέγει οὕτως· τοῦτο εἶναι κοινὸν εἰς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διατὶ καὶ τὸ ἕνα καὶ τὸ ἄλλο πρόσωπον ἀπὸ τὰ δύο τοῦτα εἶναι ἀπὸ τὸν Πατέρα· τὸ δὲ ἰδίωμα τοῦ Πατρὸς εἶναι τοῦτο, ἤγουν τὸ νὰ εἶναι ἀγέννητος· καὶ τοῦ Υἱοῦ, τὸ νὰ εἶναι γεννητός· καὶ τοῦ Πνεύματος τοῦ ἁγίου, τὸ νὰ εἶναι ἐκπορευτὸν. Ἀκόμι προσωπικὸν ἰδίωμα τοῦ Υἱοῦ εἶναι καὶ ἡ ἔνσαρκος πᾶσα οἰκονομία, τὴν ὁποῖαν δὲν ἀνείληφε μήτε ὁ Πατὴρ μήτε τὸ Πνεῦμα τὸ ἅγιον. Τέτοιας λογῆς διδάσκει, νὰ πιστεύωμεν καὶ νὰ ὁμολογοῦμεν, ἡ ἁγία ἐκκλησία ἡ καθολικὴ καὶ ἀποστολικὴ, ἕνα Θεὸν τῇ φύσει, ἐν τριάδι προσώπων, περὶ οὗ ἀνάγνωθι τὴν πρώτην ἐν Νικαίᾳ Σύνοδον καὶ τὴν δευτέραν τὴν ἐν Κωνσταντινουπόλει τὴν οἰκουμενικήν.

Ἐ. 13: *Ποῖα εἶναι τὰ οὐσιώδη ἰδιώματα τοῦ Θεοῦ;*

Ἀπ. *Οὐσιώδη ἰδιώματα τοῦ Θεοῦ εἶναι ἐκεῖνα, ὅπου ἁρμόζουσιν ὁμοίως καὶ εἰς τὸν Πατέρα, καὶ εἰς τὸν Υἱὸν, καὶ εἰς τὸ ἅγιον Πνεῦμα· οἷον τὸ εἶναι Θεὸν, τὸ εἶναι αἴδιον, ἄναρχον, ἀτελεύτητον, ἀγαθὸν, παντοδύναμον, ποιητὴν, προνοητὴν, παντεπίσκοπον, πᾶσι παρόντα, καὶ τὰ πάντα πληροῦντα· ἀπερίγραπτον, γνώστην πάντων, τῶν τε κρυπτῶν καὶ φανερῶν· Καὶ διὰ νὰ τὸ εἰπῶ συντόμως, ἔξω ἀπ' ἐκεῖνα τὰ προσωπικὰ ἰδιώματα, ὅπου εἴπαμεν, τὸ ἀγέννητον, ἢ τὸ Πατὴρ, καὶ αἰτίαν εἶναι· τὸ γεννητὸν, ἢ τὸ Υἱὸς, καὶ λόγος σεσαρκωμένος, τὸ ἐκπορευτὸν ἢ Πνεῦμα ἅγιον· ὅ, τι πρᾶγμα λέγεται περὶ Θεοῦ, ὅλα εἶναι ἰδιώματα τῆς θείας οὐσίας κοινὰ ὁμοίως καὶ τῶν τριῶν προσώπων χωρίς τινος διαφορᾶς.*

Ἐ. 14: *Διατί εἰς τὸ πρῶτον ἄρθρον τῆς πίστεως, ἀφήνοντες τὰ ἄλλα ἰδιώματα, ἐβάλασι μόνον τὸ, παντοκράτορα;*

Ἀπ. *Διατὶ μὲ τὸν λόγον τοῦτον ἑρμηνεύεται ἀκριβέστερον τὸ ἰδίωμα τοῦ Θεοῦ, ἐπειδὴ οὐδένα κτίσμα ἠμπορεῖ νὰ ὀνομασθῇ παντοδύναμον· καὶ τοῦτο διὰ δύο αἰτίας. Πρῶτον διατὶ δὲν ἔχει ἀφ' ἑαυτοῦ τὴν φύσιν του, μὰ ἀπὸ τὸν κτίστην του. Δεύτερον διατὶ δὲν ἠμπορεῖ καὶ ἐκεῖνο νὰ κάμῃ κἂν ἕνα κτίσμα ἀπὸ τὸ μηδαμῆ μηδαμῶς εἶναι. Τὰ ὁποῖα δύο τοῦτα μόνον ἁρμόζουσιν εἰς τὸ παντοδύναμον τοῦ Θεοῦ. Ὅτι δὲ ὁ Θεὸς εἶναι παντοδύναμος, δείκνυσι τοῦτο ὁ αὐτὸς, λέγων ἐν τῇ Ἀποκαλύψει· (Κεφ. α'. η'.) ἐγὼ εἰμὶ τὸ Ἄλφα, καὶ τὸ Ὠμέγα, ἀρχὴ καὶ τέλος· λέγει Κύριος ὁ ὢν, καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, παντοκράτωρ· ὁμοίως λέγει καὶ ὁ Ἀρχάγγελος· (Λουκ. α'. λζ'.) ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Καὶ τούτη ἡ παντοκρατορία καὶ παντοδυναμία τοῦ Θεοῦ εἶναι διωρισμένη ἀπὸ τὴν ἰδίαν θέλησιν καὶ τὴν εὐδοκίαν*

του, ὥστε δηλαδὴ νὰ μὴν κάμῃ ἐκεῖνον ὅλον, ὅπου ἠμπορεῖ, μὰ ἐκεῖνο μόνον, ὅπου θέλει, ἐκεῖνο καὶ ἠμπορεῖ, ἐκεῖνο καὶ κάμει. Καθὼς λέγει ὁ ἱερὸς Ψάλτης· (Ψαλ. ριέ. γ'.) ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Ἠμπόρει νὰ κάμῃ μυριάδας κόσμων, ὡς ἂν τοῦτον, μὰ δὲν ἠθέλησεν. Ἔπειτα πρέπει νὰ γροικᾶται τὸ παντοδύναμον τοῦτο τοῦ Θεοῦ, πῶς εἶναι εἰς τὴν τελειότητα, μακρὰν ἀπὸ πᾶσαν ἀτελειότητα ἢ ἀδυναμίαν, ὡς δῆλον μὲ παράδειγμα. Ὁ Θεὸς δὲν ἠμπορεῖ νὰ εἶναι κακὸς, ἢ νὰ ἁμάρτῃ ἢ ψεύσασθαι ἑαυτὸν, ἢ ἀρνήσασθαι, ὡς φῇ Παῦλος, (β'. Τιμ. β'. ιγ'. Ἑβρ. ς'. ιή'.) διατὶ τοῦτο εἶναι ἀτελειότητον πρᾶγμα. Καὶ ἂν ὁ Θεὸς ἤθελεν εἶναι κακὸς, ἢ νὰ ἔσφαλλεν, ἢ νὰ ἠρνεῖτο τὸν ἑαυτόν του, δὲν ἤθελεν εἶναι παντοδύναμος. Διατὶ τοῦτα ἀφ' ἑαυτοῦ τως εἶναι σημάδια τῶν ἀτελῶν πραγμάτων. Εἶναι λοιπὸν ὁ Θεὸς παντοδύναμος κατὰ τὴν θέλησιν καὶ τελειοτάτην του ἀγαθότητα, καθὼς τὸν ἐξυμνᾷ ὁ μελῳδὸς Προφήτης, (Ψαλ. οή. ιγ'. ιδ'.) λέγων· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος· ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. Καὶ τέλος πάντων παντοδύναμος ἢ παντοκράτωρ ὀνομάζεται, διατὶ ὅλα εἶναι εἰς τὴν δύναμίν του, καὶ τὸν κόσμον ἐποίησε χωρὶς κἂν μίαν δυσκολίαν, καὶ χωρὶς κἂν ἕνα κόπον, μόνον μὲ τὴν θέλησίν του.

Ἐ. 15: Καὶ ἂν εἶναι ὁ Θεὸς ἀπερίγραπτος καὶ πανταχοῦ πάρεστι, πῶς λέγεται, ὅτι ἐν οὐρανοῖς κατοικᾷ, καὶ εἰς ἄλλους τινὰς τόπους τῆς γῆς ἐξαιρετωτέρως;

Ἀπ. Ὄχι ὡς ἂν τάχα ὁ οὐρανὸς ἢ ἡ Σιὼν ἢ ἄλλος τινὰς τόπος νὰ περιορίζῃ τὴν ἄϋλον καὶ ἀσώματον θεότητα, διατὶ ὁ Θεὸς δὲν ἔχει κἂν ἕνα τόπον, μὰ εἶναι τόπος αὐτὸς ἑαυτοῦ. Μὰ διατὶ ἐνεργεῖ εἰς αὐτοὺς τοὺς τόπους περισσότερα, καὶ φαίνονται φανερώτερα καὶ συνεχέστερον αἱ ἐνεργείαι του καὶ ἡ χάρις του, διὰ τοῦτο λέγεται νὰ κατοικᾷ εἰς αὐτούς. Οἷον εἰς τοὺς οὐρανοὺς, (ὡς λέγει ὁ ἱερὸς Δαμασκηνὸς Βιβ. α'. κεφ. ιζ'.) ἐν αὐτοῖς γὰρ εἰσὶν οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ ἄγγελοι, καὶ ἀεὶ δοξάζοντες αὐτόν· εἰς τὴν γῆν· ἐν αὐτῇ γὰρ διὰ σαρκὸς τοῖς ἀνθρώποις συνανεστράφη· εἰς τὴν ἁγίαν ἐκκλησίαν· διατὶ ἐκεῖ μὲ ξεχωριστὸν τρόπον ἡ χάρις του δίδεται εἰς τοὺς πιστοὺς, καὶ ἡ δόξα του καταγγέλλεται· ὁμοίως καὶ κάθα τόπος, εἰς τὸν ὁποῖον νὰ φαίνεται μὲ κἂν ἕνα τρόπον ἡ χάρις τοῦ Θεοῦ, λέγεται τόπος αὐτοῦ.

Ἐ. 16: Καὶ ἂν λέγῃς, πῶς εἶναι ἰδίωμα τοῦ Θεοῦ μόνου, τὸ εἰδέναι πάντα, τὰ κρύφια δηλαδὴ καὶ φανερὰ, πῶς καὶ οἱ ἄνθρωποι, οἱ προφῆται, καὶ οἱ ἄγγελοι τὰ ἠξεύρασι;

Ἀπ. Ὁ Θεὸς ἠξεύρει ἀφ' ἑαυτοῦ του πάντα τὰ ἀπόκρυφα καὶ τὰ βαθέα τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων· ὄχι μόνον ὅταν τὰ λογιάζουσι, μὰ καὶ πρὸ κτίσεως κόσμου, καθὼς ἡ Γραφὴ (Σειρ. κγ'. κθ'.) λέγει· ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη· καὶ ἀλλαχοῦ· (Σειρ. μβ'. ιθ'. κ'.) ἔγνω ὁ Κύριος πᾶσαν εἴδησιν, καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος, ἀπαγγέλλων τὰ παρεληλυθότα, καὶ ἐπεσόμενα, καὶ ἀπο-

καλύπτων ἴχνη ἀποκρύφων· καὶ ὁ Ἰωάννης εἰς τὴν Ἀποκάλυψιν· (κεφ. β΄. κγ΄.) Ἐγὼ εἰμὶ ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. Μὰ οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι ἂν ἠξεύρουσι κἂν μίαν φορὰν τὰ ἀπόκρυφα μέλλοντα, τὰ ἠξεύρουσιν ἐκ θείας ἀποκαλύψεως, ὡς μαρτυρᾷ ἡ Γραφὴ, λέγουσα· (Δαν. β΄. κβ΄.) ὁ Θεὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα. Καθὼς ἀπεκάλυψεν εἰς τὸν Ἐλισσαῖον ἐκεῖνο, ὁποῦ ὁ δοῦλος του ὁ Γιεζῆ ἐπῆρε κρυφὰ εἰς τὸν δρόμον ἀπὸ τὸν Νεεμὰν· (β΄. Βασ. ε΄. κς΄.) καὶ εἰς τὸν Πέτρον τὸν Ἀπόστολον, περὶ τοῦ Ἀνανίου καὶ Σαπφείρας, (Πραξ. ε΄.) Καὶ τοιαύτην ἐπιστήμην εἴχασιν ἀκόμι καὶ ὅλοι οἱ προφῆται.

Ἐ. 17: Εἶναι τάχα ἄλλα ἰδιώματα μόνου τοῦ Θεοῦ ἴδια;

Ἀπ. Τὰ ἰδιώματα τοῦ Θεοῦ εἶναι ἀναρίθμητα. Μὰ τοῦτα, ὅπου ἐπροείπαμεν, ὡς ἂν ὠφέλημα πρὸς τὴν σωτηρίαν φθάνουσι νὰ μᾶς, δεῖξουσι, ποῖαν γνώμην νὰ ἔχωμεν περὶ Θεοῦ. Διὰ τοῦτο ἀφήνωντας ἐσὺ τὰ ἄλλα, πίστευε σταθερῶς καὶ ἀμετακινήτως, πῶς εἶναι ἕνας Θεὸς ἐν τριάδι προσώπων, παντοδύναμος, πανταχοῦ παρὼν καὶ τὰ πάντα εἰδώς· ἀμετάβλητος εἰς τὴν φύσιν καὶ ἄϊδιος.

Ἐ. 18: Ἐπειδὴ καὶ εἰς τοῦτο τὸ ἄρθρον βάλλουσι τὸν λόγον τοῦτον, ποιητὴν, τάχα ὁ Θεὸς ὁλωνῶν τῶν πραγμάτων εἶναι ποιητὴς;

Ἀπ. Χωρὶς κἂν μίαν ἀμφιβολίαν ὁ Θεὸς εἶναι ποιητὴς πάντων τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων· καὶ προτήτερα ἀπὸ ὅλα ἔκαμε πάσας τὰς δυνάμεις τοῦ οὐρανοῦ ἐκ τοῦ μὴ ὄντος μὲ τὸ νόημά του, ὡς ἂν ὑμνητὰς ἐξαιρέτους τῆς δόξης του. Καὶ ἔκτισε τὸν νοερὸν ἐκεῖνον κόσμον, ὅπου ἐγνωρίσασι καλᾷ τὸν Θεὸν, κατὰ τὴν χάριν τὴν δοθεῖσαν αὐτοῖς, καὶ ὑποτάσσονται ὅλως διόλου εἰς τὴν θέλησίν του. Ἔπειτα ὁ κόσμος οὗτος, ὁ ὁρατὸς καὶ ὑλικὸς, ἐκτίσθηκεν ἀπὸ τὸ μὴ εἶναι ἐκ Θεοῦ. Καὶ ὕστερον ὁ Θεὸς τὸν ἄνθρωπον ἔπλασε, σύνθετον ἀπὸ ἄϋλον καὶ λογικὴν ψυχὴν καὶ ἀπὸ ὑλικὸν σῶμα, διὰ νὰ γνωρισθῇ μὲ τὸν ἕνα σύνθετον ἄνθρωπον, πῶς ὁ ἴδιος τοῦτος εἶναι ὁ ποιητὴς καὶ τῶν δύο κόσμων, τοῦ ἀΰλου καὶ ὑλικοῦ. Καὶ διὰ τὴν ἀφορμὴν τούτην ὁ ἄνθρωπος ὀνομάζεται κόσμος μικρὸς, διατὶ βαστᾷ εἰς τὸν ἑαυτόν του τὸ παράδειγμα ὅλου τοῦ μεγάλου κόσμου. (Δαμ. Βιβ. β΄. κεφ. γ΄. ιβ΄.)

Ἐ. 19: Ἐπειδὴ καὶ ὁ Θεὸς ἔπλασε πρῶτον τοὺς ἀγγέλους, τίνα γνώμην πρέπει νὰ ἔχωμεν δὶ αὐτοὺς;

Ἀπ. Οἱ ἄγγελοι εἶναι πνεύματα, πλασθέντες ἀπὸ τὸ μὴ εἶναι εἰς τὸ εἶναι ἐκ Θεοῦ, διὰ νὰ ὑμνοῦσι τὸν Θεὸν, καὶ νὰ τοῦ δουλεύουσιν, ἔπειτα καὶ νὰ διακονοῦσι καὶ εἰς τὸν κόσμον τοῦτον τῶν ἀνθρώπων, ὁδηγοῦντες τοὺς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Δίδονται ἀκόμι εἰς φύλαξιν πόλεων, βασιλειῶν, χωρῶν, μοναστηρίων, ἐκκλησιῶν καὶ ἀνθρώπων πνευματικῶν καὶ κοσμικῶν. Τοῦ ὁποίου πράγματος παράδειγμα ἔχομεν εἰς τὰς πράξεις τῶν Ἀποστόλων, ὁποῦ γράφει· (κεφ. έ. ιθ΄.) ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς,

ἐξαγαγών τε αὐτοὺς εἶπε· πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης· καὶ πάλιν· (Πραξ. ιβ'. η'.) ἄγγελος Κυρίου ἐπέστη, καὶ εἶπε τῷ Πέτρῳ, περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου· περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. Καὶ μετ' ὀλίγα (στοιχ. ιβ'.)· καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε, νῦν οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. Ὁμοίως φυλάττουσι καὶ τὰ μικρὰ παιδία, κατὰ τὴν δίδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν τὴν λέγουσαν· (Ματθ. ιή'. ι'.) λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἀκόμι προσφέρουσιν εἰς τὴν θείαν μεγαλειότητα τὰς προσευχὰς καὶ ἐλεημοσύνας μας, καὶ τὰς λοιπὰς ἀγαθοεργίας· ὄχι διατὶ τάχα ὁ Θεὸς νὰ μὴν θεωρῇ τὰς ἐλεημοσύνας μας, ἢ νὰ μὴ γροικᾷ ταῖς προσευχαῖς μας, μὰ διατὶ ἐκεῖνοι μεσιτεύουσι διὰ μᾶς. Καὶ εἰς τὸν παλαιὸν νόμον, πρὶν δοθῇ ὁ νόμος τοῦ Μωϋσέως, ἐδιδάσκασι οἱ ἄγγελοι τὸν νόμον, καὶ τὴν θέλησιν τοῦ Θεοῦ εἰς τοὺς προπάτοράς μας, καὶ τοὺς ἐδείχνασι τὴν ὁδὸν τῆς σωτηρίας· καθὼς τὸ μαρτυρᾷ ὁ ἱερὸς Διονύσιος. Καὶ ὕστερον, ἀφ' οὗ ἐδόθηκεν ὁ νόμος, ἐδιδάσκασιν ὁδηγοντας τοὺς εἰς τὸ ἀγαθόν. Καὶ τοῦτο ἡ Γραφὴ τὸ σημαδεύει λέγουσα, πῶς οἱ ἄγγελοι ἐφαίνοντο εἰς τοὺς προφήτας, καὶ τοὺς ἐπρολέγασι τὰ μέλλοντα, ὡς ἂν εἰς τὸν Ἰωσὴφ, ὁποῦ ἔδωκεν ὁ ἄγγελος λόγον, νὰ προσέχῃ ἀπὸ τὴν ἀπόφασιν τοῦ Ἡρώδου, εἰπών· (Ματθ. β'. ιγ'.) ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι, μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. Ἀκόμι καὶ ὅταν ἐφοβεῖτο, νὰ δουλεύῃ τῆς παρθένου (Ματθ. α'. κ'.), ὁ ἄγγελος τοῦ Κυρίου τὸν ἐθάῤῥυνε, καὶ τὸν ἐδίδαξεν. Ἀποκαλύπτουσιν ἀκόμι τὰς θείας ἐνεργείας, καθὼς εἰς τὸν καιρὸν τῆς γεννήσεως Χριστοῦ ἀπεκάλυψαν (Λουκ. β'.) εἰς τοὺς ποιμένας, ὅτι ὁ Χριστὸς ἐγεννήθηκεν εἰς τὴν Βηθλεέμ. Καὶ μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ, παραστέκοντας τοπικῶς κάθα ἀνθρώπου, μᾶς ἐλευθερώνουσιν ἀπὸ κάθα κίνδυνον, καὶ διώκουσι τὸν ἐχθρὸν τῶν ψυχῶν ἡμῶν, ὁποῦ ἀπηνῶς τιμωρᾷ τὸν ἄνθρωπον, ὅταν καταλάβῃ πως ὁ Θεὸς τοῦ ἔδωκεν ἄδειαν. Καὶ πῶς ὁ ἄγγελος νὰ μᾶς φυλάττῃ, τὸ ἔχομεν φανερὸν ἀπὸ τοῦτο, ὁποῦ λέγει ἡ Γραφὴ, διὰ τὸν ἐλπίζοντα ἐπὶ Κύριον (Ψαλ. μα'. ια'.)· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσι σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ὅτι μὲν οὖν οὐδέποτε ὡς Καλουϊνόφρων ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ ἐγνώσθη ὁ Κύριλλος, παντί που δῆλον τῷ μὴ θέλοντι κακουργεῖν. Ἀλεξανδρείας γὰρ Πάπας μετὰ Μελέτιον γεγονὼς, καὶ ψήφῳ κοινῇ τοῦ ἐν Κωνσταντινουπόλει κλήρου (ἐκεῖ που τότε διατρίβοντος Κυρίλλου) εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον μετατεθεὶς, οὔτε ἐν συνόδῳ, οὔτε ἐν ἐκκλησίᾳ, οὔτε ἐν οἴκῳ ὀρθοδόξου τινὸς, καὶ τέως εἰπεῖν, οὔτε κοινῶς, οὔτε κατ' ἰδίαν εἶπεν ἢ ἐδίδαξέν τι ὁπωσοῦν, ἐξ ὧν ἐκεῖνον πρεσβεύειν οἱ ἐναντίοι φασίν. Εἰ δὲ καὶ κατ' ἰδίαν τινὶ ἢ καὶ πλείοσι τοιοῦτόν τι εἰπεῖν τὸν Κύριλλον οἱ ἐναντίοι φασὶν, οὐκ οἴδασιν τί λέγουσιν. Ἔδει γὰρ αὐτοὺς, εἴπερ μαρτυρίαν φέρειν ἐθέλωσι, μὴ ἐξ ἑαυτῶν, οἳ καὶ ὡς ἐναγόμενοι παρ' ἡμῶν ὅτι κατηγοροῦσι, καὶ ὡς ἀγνῶτες Κυρίλλου οὐκ ἔχουσι τὸ πιστόν· ἀλλ' ἐξ ὧν οἴδασι καὶ Κύριλλον καὶ τὴν τοῦ Κυρίλλου πολιτείαν (ἀφ' ὧν εἰσέτι καὶ νῦν μυρίοι ὅσοι ἐν τοῖς ζῶσίν εἰσιν)· ἐκ τούτων δέχεσθαι καὶ τὰς μαρτυρίας. Ἀλλ' ἐκεῖνοι μὲν τῆς αἱρέσεως αὐτῶν κοινωνὸν εἶναι διϊσχυρίζονται, οἱ μηδέποτε εἰδότες αὐτὸν, οὗτοι δὲ οἱ καὶ ἐνιαυτῶν πολλῷ χρήματι ἐκείνῳ διακονήσαντες, καὶ εἰδότες πάντα τὰ κατ' ἐκεῖνον, μὴ τοιοῦτον εἶναι ἀποφαίνονται. Ἆρα καὶ ἐκ τοῦ μηδέποτέ τινι τῶν ἀνατολικῶν τοιοῦτόν τι εἰπεῖν τὸν Κύριλλον, καὶ ἐκ τῆς μαρτυρίας τῶν συνήθων ἐκείνῳ οὐκ ἐγνώσθη ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ πώποτε τοιοῦτος, οἷον εἶναι βούλεται ἡ ματαιότης τῶν ἐναντίων.

Δεύτερον, ὅτι μηδεμία ἀνύποπτος συγγραφὴ ἢ ἰδιόχειρος ἐκείνου φαίνεται τοιοῦτον καθομολογοῦσα, οἷον μαρτυροῦσιν οἱ ἀντίδοξοι.

Τρίτον, ὅτι οὐ μόνον μάρτυρας μυρίους τὴν παῤῥησιαστικὴν εὐσέβειαν Κυρίλλου ὁμολογοῦντας, καὶ μηδὲν αἱρετικὸν παρ' ἐκείνου πώποτε ἀκούσαντας, ἀλλὰ καὶ βίβλον ἐν μήκει πρώτῳ ἰδιόχειρον Κυρίλλου ἔχομεν, ἐν ᾗ φαίνονται αἱ ἐν Κωνσταντινουπόλει ἐν ἑκάστῃ κυριακῇ καὶ ἑορτασίμῳ ἡμέρᾳ λεχθεῖσαι ἐκείνῳ ὁμιλίαι, πᾶν τοὐναντίον ἀποφαινόμεναι τοῖς ὑποβολιμαίοις ἐκείνοις κεφαλαίοις, ἐξ ὧν καί τινας ἐκλογὰς τιθέαμεν ἐν τῷ παρόντι συγγράμματι εἰς τελείαν πίστιν τῶν λεγομένων ἡμῖν.

Ἐκλογαὶ τινὲς ἐκβληθεῖσαι ἐκ τῶν Κυρίλλου ὁμιλιῶν, ἃς ἐπὶ τῷ κοινῷ τῆς Κωνσταντινουπόλεως, ἐνώπιον τοῦ κλήρου καὶ τοῦ λαοῦ αὐτὸς Κύριλλος τῷ ἰδίῳ στόματι ἔλεξε.

Κατὰ τοῦ πρώτου κεφαλαίου.

Ἐκ τῆς εἰς τὴν Χριστοῦ γένεσιν ὁμιλίας.

Καὶ οὐ λέγω νῦν ὑμῖν, διατί ὁ εἷς Θεός ἐστι τρισυπόστατος, καὶ διατί ὁ πατὴρ, πατήρ· ὁ υἱὸς, υἱός· καὶ τὸ πνεῦμα, πνεῦμα· καὶ πῶς ὁ πατὴρ μόνος ἀναίτιος· ὁ υἱὸς αἰτιατὸς κατὰ γένεσιν πατρὸς μόνου, καὶ τὸ πνεῦμα ἐκπορευτὸν παρὰ μόνου τοῦ πατρός.

Ἐκ τῆς εἰς τὴν Πεντηκοστὴν ὁμιλίας.

Ὁ πατὴρ οὐκ ἔστιν υἱὸς, οὐδὲ τὸ πνεῦμα, ἀλλὰ γεννᾷ τὸν υἱὸν, καὶ ἐκπορεύει τὸ πνεῦμα. Ὁ υἱὸς πέμπεται ὑπὸ τοῦ πατρὸς καὶ πνεύματος. Ὁ γὰρ κύριος· καὶ τὸ πνεῦμα αὐτοῦ ἀπέσταλκέ με. Τὸ πνεῦμα πέμπεται παρὰ πατρὸς καὶ υἱοῦ πρὸς ἁγιασμὸν τῆς κτίσεως· ἐκπορεύεται δὲ παρὰ μόνου τοῦ πατρός. Διατὶ δὲ παρὰ τοῦ πατρὸς μόνου ἐκπορεύεται, πέμπεται δὲ παρ' ἑκατέρων; Νῦν λέξω, ὅτι ἡ πέμψις ἐστι πρὸς ἁγιασμὸν, ἡ δ' ἐκπόρευσις οὐσιωδῶς. Ὡς δὲ πέμπει τὸ πνεῦμα τὸν υἱὸν καὶ οὐδεὶς λέγειν δύναται, ὅτι καὶ γεννᾷ, οὕτω καὶ ὁ υἱὸς πέμπει τὸ πνεῦμα, ἀλλ' οὐκ ἐκπορεύει. Ὁ δὲ πατὴρ πέμπει μὲν τὸν υἱὸν, καὶ μόνος οὐσιωδῶς ἐκπορεύει.

Ἐκ τοῦ εἰς τὴν κυριακὴν τοῦ ἀποκρέου λόγου Κυρίλλου, ἐν ᾧ δείκνυται, δέχεσθαι αὐτὸν τὴν τῶν πατέρων τῆς ἐκκλησίας ἐξήγησιν καὶ ἑρμηνείαν τῆς θείας γραφῆς.

Κατὰ τοῦ δευτέρου κεφαλαίου.

Ἐν μέρει κείσθω ὁ λογαριασμὸς, ἐπεὶ ἐν τοῖς φυσικοῖς θεωρεῖται, νῦν περὶ τῶν τῆς πίστεως, ἃ λόγου οὐ δεῖται, μόνον μαρτυρίας. Ἂν δὲν ἔχῃς μαρτυρίαν, δὲν ἐμπορῇς νὰ πιστεύῃς· ὡς λόγου χάριν, ἡμεῖς πιστεύομεν, τὸν Θεὸν πλάσαι τὸν ἄνθρωπον. Πῶς ἡμῖν τοῦτο ἐδηλώθη, ἀλλ' ἢ ὅτι ἐμαρτυρήθη ὑπὸ τοῦ Μοϋσέως, ὃς οὐ δύναται ψευσθῆναι, ὅτι, οἴδαμεν, θείῳ κινηθεὶς πνεύματι ἔγραψε. Πιστεύομεν ὅτι ὁ κόσμος οὗτος μέλλει παρέρχεσθαι· πόθεν οἴδαμεν, ἀλλ' ἢ ὅτι οἱ εὐαγγελισταὶ ταῦτα ἐδίδαξαν, οἱ διδάσκαλοι ἐσαφήνισαν, καὶ ἡ μαρτυρία πως πιστὴ ταῦτ' ἔπεισεν ἡμᾶς, ὅτι ἄνδρες πεφωτισμένοι ὑπὸ τοῦ πνεύματος ἦσαν· καὶ μάλιστα βεβαιόμεθα, ὅτι ὁ Θεὸς δι' αὐτῶν λαλεῖ. Διὸ Δαβὶδ ψαλμῷ πς'· διηγήσεται κύριος ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ. Ὁ Θεὸς θέλει μᾶς διηγηθῇ ἐγγράφως εἰς τὴν γραφὴν τῶν λαῶν ἤγουν τῶν διδασκάλων, ὅτι πολλοὶ, καὶ τῶν ἀρχόντων τῶν γεγεννημένων ἐν αὐτῇ. Τίνες οἱ ἄρχοντες τούτων τῶν λαῶν; Οἱ εὐαγγελισταὶ καὶ προφῆται. Ὅσα λοιπὸν ἀκούσῃς ἀπὸ τοιούτους λαοὺς καὶ ἄρχοντας, ὅλα ὁ Θεὸς τὰ λέγει δι' ἐκείνων, διὰ τοῦτο ἐκεῖνοι ἄξιοι πίστεως. Διὸ ὅσα ἠκούσαμεν δεῖ πιστεύειν.

Ἐκ τοῦ εἰς τὴν ἀποτομὴν τοῦ προδρομοῦ αὐτοῦ λόγου.

Τετραχῶς γίνεται τὸ καλὸν, κατὰ φύσιν, κατὰ λόγον, καὶ κατὰ παράδοσιν. Ἔστι δὲ κατὰ παράδοσιν, ὅσα οὐκ ἔστι γεγραμμένα ἐν τῷ νόμῳ, ὅσα ἔλαβες παρὰ τῶν πατέρων σου. Ἀπὸ τοὺς προτέρους δεδομένα φύλαττε, καὶ σῦτω ποιήσεις· τὸ καλόν.

Ἐκ τῆς εἰς τὴν Χριστοῦ γέννησιν αὐτοῦ ὁμιλίας.

Οὐρανὸς καὶ ἡ θεῖα γραφὴ, διατὶ ἔχει πνεῦμα καὶ γράμμα, ἀμφότερα οὐρανοὶ λέγονται. Ὑψηλὴ ἔννοια δέδοται παρὰ κυρίου τοῖς σοφοῖς, τὴν κατωτέραν ἕκαστος ἔχει. Διό φησιν ἡ γραφή· ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ. Ἤγουν τὴν ὑψιλὴν ἔννοιαν τοῦ πνεύματος μόνος ἔχει ὁ κύριος καὶ δίδωσι τοῖς πατράσι. Διό φησιν· ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια.

Ἐκ τῆς εἰς τὴν τρίτην κυριακὴν τῶν νηστειῶν ὁμιλίας αὐτοῦ.

Ἐξεργαζόμενος γὰρ τὸ ῥηθὲν τό· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ· φησὶ μετὰ τὰ πολλά.

Τρίτον, τὴν ἐξουσίαν τῆς ἐκκλησίας. Διατὶ ὁ Θεὸς τῇ τρίτῃ ἡμέρᾳ ὅταν ἐχώρισε τὸ ὕδωρ ἀπὸ τὴν ξηρὰν, εἶπε· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν. Καὶ ὅταν ἔκαμε τὸν παράδεισον μέσα ἐπρόσταξεν ὁ Θεὸς, καὶ ἔγινε πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς γεῦσιν· ὅμως δὲν τὸν συμβουλεύει νὰ φάγῃ ἀπὸ τὰ ξύλα καὶ τὰ δένδρα τὰ ἔξω τοῦ παραδείσου, μόνον ἀπὸ τὰ ἔσω· ὅτι ἐτύπου, ὅτι εἶναι μέσα εἰς τὴν ἐκκλησίαν, ἥτις ἐστὶ παράδεισος, ἤγουν ὅτι σε προστάσσει ἡ ἐκκλησία νὰ μὴ τρώγῃς, νὰ μὴ χαλᾷς τὰς τεσσαρακοστὰς τὰς νηστείας. Οὕτω γὰρ ποιῶν παρακούεις, καὶ ἄξιος εἶ κολάσεως.

Ἐκ τοῦ εἰς τὸ περὶ νῦν ἐν τῇ θαλάσσῃ περιπάτου, Ματθαίου. Κυριακῇ ἐννάτῃ.

Καθὼς δὲν ἐμπορεῖ τινὰς νὰ περάσῃ τὴν θάλασσαν χωρὶς καράβι· ἔτζη καὶ τὸν κόσμον τοῦτον, καὶ τὰ κύματα τοῦ δὲν ἐμπορεῖς νὰ τὰ περάσῃς, καὶ νὰ τὰ γλίσῃς χωρὶς καράβι, ὁποῦ εἶναι ἡ ἐκκλησία τοῦ Χριστοῦ. Πασχίζουν πολλοὶ να περάσουν, σὰν εἶναι οἱ ἀσεβεῖς καὶ ἅπαντες οἱ αἱρετικοὶ, ὁποῦ δὲν εἶναι μέσα εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἀμῆ ὅλοι πνίγονται· ὅταν ἔκαμεν ὁ Θεὸς τὴν κιβωτὸν, ὅσοι ἦσαν μέσα, ἔγλυσαν· ὅσοι ἦσαν ἔξω, ἐσχάθησαν· ἡ ἐκκλησία τοῦ Θεοῦ εἶναι ἡ κιβωτὸς αὕτη.

Κατὰ τοῦ τρίτου κεφαλαίου.

Ἐκ τῆς εἰς τό· ἐποίησε δεῖπνον μέγαν ὁμιλίας.

Πῶς δὲ καλεῖ; ἔσω τοῦ θησαυροῦ τῆς σοφίας τοῦ Θεοῦ εὑρίσκονται ταῦτα· Πρόγνωσις, προόρισμος, κλῆσις, δικαίωσις, δόξα. Καὶ οὐδεὶς δύναται σωθῆναι, εἰ μὴ διέλθῃ διὰ τούτων παρὰ Θεῷ, κἂν ἅγιος καὶ δίκαιος, ἢ ὅ, τι ἂν καὶ εἴῃ. Ἕνα ὁποῦ θέλει νὰ σωθῇ, θέλει νὰ ἔχῃ καὶ ἀπὸ τὸν Θεὸν χάριν, καὶ ἀπὸ τοῦ λόγου του. Ὅτι δύναται ἀπὸ τὸν Θεὸν ἔχειν, ὅτι προγινώσκει ἵνα προορίσῃ, εἰ καὶ κακοὶ, ὅταν προγνώσει, προορίζει· ὅταν προορίσει, καλῇ. Καὶ ἐπειδή σε καλεῖ, θέλει καὶ σὺ νὰ κάμῃς ἀπὸ λόγου σου τὸ δύνασαι, ἵνα δικαιωθῇς καὶ δοξασθῇς. Ὁ Θεός ποτε κανόνα δὲν προορίζει εἰς κόλασιν, ὅτι θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Προορίζει δὲ τοὺς καλοὺς εἰς τὴν βασιλείαν, ὅτι προέγνω αὐτοὺς μέλλειν

σώζεσθαι. Τοὺς δὲ πονηροὺς, ἀφ' οὗ προέγνω μέλλειν ἔσεσθαι πονηροὺς, προορίζει, ἵνα καλέσῃ· προτέρα γὰρ ἐνέργεια ὁ προορισμὸς τῆς κλήσεως· καλεῖ δὲ αὐτοὺς, εἰ μόνον βουληθεῖεν μετανοῆσαι. Δύνανται γὰρ ἔχοντες τὴν ἐξουσίαν ἐλευθέραν. Καλεῖ τοιγαροῦν ὁ Θεὸς, ἀλλὰ καταφρονοῦσιν οἱ ἄνθρωποι τὴν τοιαύτην κλῆσιν· ὡς οὗτοι σήμερον, οὓς καλεῖ εἰς ἀνάπαυσιν, εἰς χαρὰν καὶ δεῖπνον, καὶ δὲν πείθονται.

Ἐκ τῆς μετὰ τὴν ὕψωσιν ὁμιλίας.

Πᾶν ὅ κτίζει ἡ ἄκρα ἀγαθότης, οὐ μόνον ἀγαθὸν κτίζει, ἀλλὰ καὶ βούλεται καὶ ἐπὶ τὸ ἀγαθὸν τείνει· εἰ δ' ἄλλως, ἐλάττωμα εἴη καὶ τοῦ κτίζοντος καὶ τοῦ κτιζομένου. Ἐπεὶ δὲ καὶ τὸν ἄνθρωπον καλὸν, παντῶς βούλεται, ἵν' ὁ σκοπὸς αὐτοῦ ἐπὶ τὸ καλόν. Καὶ διατὶ βούλεται εὐλογεῖσθαι παρ' ἡμῶν, ὡς θέλων ἡμῖν τὸ καλὸν, καὶ διὰ τοῦτο πάντας ἀνθρώπους σωθῆναι. Φερόμενον δὲ τὸν ἄνθρωπον ἐναντίως ὁρῶμεν, τοῦ Θεοῦ λέγοντος Γεν. η'· ἔγκειται ἡ διάνοια ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος· τὸ παρὰ φύσιν ὡς φυσικὸν λογιζόμενος. Ἐπειδ' ἔγκειται ἐπὶ τὰ πονηρὰ, τοῦτο δὲ οὐκ ἔχει παρὰ Θεοῦ· ὁ γὰρ Θεὸς, ὡς εἴρηται, ἄκρος ἀγαθὸς, ἄρα ἐκ παραβάσεως καὶ ἁμαρτίας αὐτῷ γίνεται.

Καὶ μετ' ὀλίγα·

Ὁ γὰρ Θεὸς δῆλον ὅτι πλάστης ἐπὶ τοῦ ἀνθρώπου, οὐκ ὀλετὴρ· τὸ γὰρ πλάσαι καὶ ἀπόλεσαι ἐναντία· ἃ ἀγγέλοις καὶ ἀνθρώποις ἐφαρμώσσει, ὡς φύσεως νόμοις ὑποκειμένοις, καὶ κατὰ τὴν ἐξουσίαν καὶ δύναμιν ἣν ἔχουσι δεδεμένοις, ἀλλ' οὐ Θεῷ.

Λέξεις·

Ἐγὼ σοι τοὐναντίον ἀποδείξω. Ἡ γὰρ γραφὴ λέγει· ἐγὼ ἀποκτενῶ καὶ ζῇν ποιήσω, πατάξω καὶ πάλιν ἰάσομαι. Ταῦτα δὲ ἐναντία, τὰ ἄρα ἐναντία παρὰ τῷ Θεῷ.

Ἀπόκρισις.

Τὸ ἐναντίον διχῶς, προαιρέσεως ἤτοι διαθέσεως, καὶ πράξεως. Τὸ τῆς πράξεως μόνον οὐδὲν κωλύει, οὔτε ἐλάττωμα προξενεῖ. Ὁ γὰρ ἀνακαινῶσαι βουλόμενος οἶκον, πρότερον καταβάλλει, ἔπειτα οἰκοδομεῖ· ταῦτα δ' ἐναντία πλὴν πράξεως καὶ ἐλαττώσεως ἄνευ· τοῦτο ἐπὶ Θεοῦ δι' οἰκοδομήν. Τὰ δὲ τῆς διαθέσεως, οἷον ἐστὶ, τήμερον ἕν διανοεῖν ἢ βούλεσθαι, καὶ ἕτερον αὔριον, τοῦτο ἐλάττωμα, ὅμως ἐπὶ Θεοῦ οὐκ ἔστιν. Εἰ γὰρ ἀποκτενεῖ καὶ ζωογονεῖ, οὐκ ὅτι βούλεται τὸν θάνατον, ὃν οὐκ ἐποίησε. Ποιητὴς γὰρ καὶ πλάστης ἐστὶ, μὴ γένοιτο δὲ τοῦ ἰδίου πλάσματος τὴν ἀπολείαν βούλεται. Ὁρῶμεν δὲ τὸν ἄνθρωπον θανάτῳ καθυποβάλλεσθαι. Ἆρα βιάζεται ὁ Θεὸς ἀναιτίως ἐπὶ τὴν τοιαυτὴν φθοράν; μὴ γένοιτο· ἡ γὰρ βουλὴ τοῦ Θεοῦ καλὴ πάντοτε ἦν.

Καὶ μετ' ὀλίγα·

Θέλεις ἐν ὀλίγοις ἀκοῦσαι, τί ἐστὶν ἆραι τὸν σταυρόν; νὰ μισῇς τὰ πονηρὰ καὶ νὰ ἀγαπᾷς τὸν Θεὸν, Ψαλμ. ϙ'· οἱ ἀγαπῶντες τὸν κύριον,

μισεῖτε πονηρά. Ὅτι γὰρ ἐν τῷ κόσμῳ τοῦτο πονηρὸν ἐστὶν, οὐκ ὅτι πονηρὸν παρὰ τοῦ κτίστου, ἀλλ' ὅτι ἡ χρῆσις ὡς ἡμετέρα.

Ἐκ τῆς εἰς τὸ· ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός.

Ὅσα γὰρ ποιεῖς εἰς ὑπηρεσίας τῷ διαβόλῳ, γλυκία καὶ εὐφραίνουσι, ταῦτα μελέτα καὶ φρόντιζε, τί ἐκατόρθωσας; τί ἐκέρδησας; Σκίαν, σκότος. Ἔσβεσας, ταλαίπωρε, τὸν ἔν σοι λύχνον. Οὐδείς ἐστιν, ὃς ἁμαρτίαν οὐχ ἔχει ἐν ἑαυτῷ· ἐὰν γὰρ εἴπωμεν ὅτι ἁμαρτίαν οὐχ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἀλλὰ ᾠκονόμησεν ὁ Θεὸς, καὶ ἕκαστον ἡμῶν ἔχειν τὶ ἀγαθὸν, καὶ οὐδὲν κρεῖττον ὡς τὸ ἔχειν τὸν λύχνον ἡμῶν καιόμενον, καὶ τὸν νοῦν ἀνεῳγμένον εἰς τὸ πιστεύειν καὶ μετανοεῖν ἐπὶ τοῖς ἐσφαλμένοις. Εἰ δὲ τὸ ἐν ἡμῖν ἀγαθὸν ἐσβέσθη ἑκουσίως ἀφ' ἡμῶν, τὸ ἐναπομεῖναν κακὸν πόσον; Ἂν εἰς βουτζὴ κρασὶ εἶναι καὶ λάσπη, τὸ δὲ κρασὶ ἐτράπη εἰς λάσπην, πόση λάσπη εἶναι; οὕτως ἐν τῷ ἀνθρώπῳ τοῦ καλοῦ τραπέντος εἰς σκότος, ὅλος ἔγινε σκότος, ὅλος σβεννύεται ὁ τῆς πίστεως λύχνος. Τοῦτο ἦν ὅ ἔλεγεν ὁ Ἰάκωβος, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά. Οὐκ ἔθηκας ἔλαιον ἐν τῷ λύχνῳ, τὸ φῶς ἀπῴχετο. Οὐκ ἔργα τῇ πίστει, ἐνεκρώθη.

Ἐκ τῆς εἰς τὴν Χανάναιαν ὁμιλίας.

Ἡ γυνὴ αὐτὴ σημαδεύει τὴν ἁρματωλὴν ψυχήν. Οὐκ ἀποκρίνεται αὐτῇ, ὅταν οὐδὲν καλὸν ἔχει ἐξ αὐτῆς· ὅτι μηδεὶς ἁμαρτωλὸς ἐλπιζέτω ἄνευ καλοῦ τινὸς ἔργου σωθῆναι. Διὸ κατώτερον ὅταν εἶπε· βοήθει μοι, τότε ἀπεκρίθη· ὅτι βοηθεῖσθαι λέγεται, ὁ ἔχων τὶ ἐξ ἑαυτοῦ, καὶ ἐφ' ᾧ ἔχει, δεῖται καὶ περισσότερον. Διὸ τότε ἀπεκρίθη.

Ἐκ τῆς εἰς τό· δοῦλε πονηρέ ὁμιλίας.

Εἰ μεταβολὴν ἐσκέπτουσουν ἐν τῷ Θεῷ, τὴν τῆς διαθέσεως μᾶλλον ἢ ἑτέραν, ἥτις ἐκ πάθους ὡς ἐξ αἰτίας γίνεται· ἐν δὲ τῷ Θεῷ πάθη οὐκ εἰσὶν, ὡς καὶ Θωμᾶς κατὰ ἐθνῶν βιβλίῳ πρώτῳ κεφ. ϛ'. Ἐκεῖνο δὲ ὅσον δοκεῖ εἶναι μεταβολὴν, τὸ διάφορόν ἐστι τῶν ἀποτελεσμάτων, τῶν ἠθικῶν ἀρετῶν τῶν ἐν τῷ Θεῷ. Οὐδ' ὁπωσοῦν τοιγαροῦν ὁ Θεὸς δεκτικὸς μεταβολῆς. Διὰ τοῦτο οὔτε ὅλως πρόφασιν ἔχει οὗτος, κατὰ τοῦ Θεοῦ λέγειν· ἀφῆκας, καὶ πάλιν αἰτεῖς· ἀλλὰ μᾶλλον ἀκούει· σὺ αἰτιός μοι, ἄλλως μὲν ἄρξασθαι μετά σου, ἄλλως δὲ ποιῆσαι, δοῦλε πονηρὲ, ὁ δεδουλωμένος προαιρέσει ἰδίᾳ.

Κατὰ τοῦ ἕκτου καὶ ὀγδόου κεφαλαίου.

Περὶ τῆς τῶν ἁγίων πρεσβείας.

Ἐκ τῆς εἰς τὴν κοίμησιν τῆς Θεοτόκου ὁμιλίας.

Ὅμοιόν τι θεωροῦμεν τὴν σήμερον, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συκώνεται ἀπὸ τὸν θρόνον του, ὁποῦ καθέζεται ἐκ δεξιῶν τῆς μεγαλοσύνης τοῦ πατρὸς, εὐγένει καὶ περνᾷ ὅλους τοὺς οὐρανοὺς, διὰ νὰ προϋπαντήσῃ τὸ μέγα πρόσωπον ἐκεῖνο τὴν μεγάλην βασίλισσαν, τὴν μεγάλην σουλτάναν, τὴν παναγίαν μας, τὴν κυρίαν μας, τὴν ἰδίαν του μητέρα. Διὰ τοῦτο καὶ αἱ ἀκολουθοῦσαι αὐτῷ οὐράνιαι δυνάμεις

ἐρωτῶσι καθὼς λέγει ὁ σοφὸς Σολομῶν, εἰς τὸ ᾄσμα τῶν ᾀσμάτων κεφ. η'· τίς αὐτὴ ἡ ἀναβαίνουσα ἀπὸ ἐρήμου λελευκανθισμένη, καὶ σηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς; τοῦτ' ἔστι· ποῖα εἶναι τούτη, ὁποῦ ἀναβαίνει ἀπὸ τὸν ὁρατὸν κόσμον, τόσον ὡραῖα καὶ εὐμόρφη, ἔχουσα τόσην ἐξουσίαν εἰς τὸν βασιλέα μας, ὁποῦ τῆς ὁμοιάζει ὡσὰν νὰ ἦτον ἀδελφιδός; καὶ τοῦτα τοῦτοι λέγοντες καὶ ἐρωτῶντες, καὶ τὸν βασιλέα καὶ τὴν βασίλισσαν προσκυνοῦσι.

Καὶ μετ' ὀλίγα·

Τέλος λοιπὸν εἶναι ὁ Θεὸς, εἰς τὸν ὁποῖον ὁποῖος σκοπεύει, σὰν πρέπει ἐκεῖνος εἶναι τέλειος. Διὰ τοῦτο ὅλους τοὺς ἁγίους καὶ δικαίους, τοὺς καλῶς πολιτευθέντας ἐν τῷ κόσμῳ λέγομεν τελείους· καὶ περισσότερον ἀπὸ ὅλους λέγομεν τὴν παναγίαν μας, ἡ ὁποία ὅλον τὸν της σκοπὸν καὶ ὅλην τὴν ἔννοιαν εἶχεν εἰς τὸ ἄκρον ἀγαθὸν, εἰς τὸν Θεὸν καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Καὶ μετ' ὀλίγα·

Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, Ῥωμ. ς'. κγ'. Ἡ παναγία παρθένος ἁμαρτίας δὲν εἶχεν, οὔτε ἔγνω. Τριχῶς ἁμαρτάνει ὁ ἄνθρωπος· τῇ διανοίᾳ, ἄφθορος καὶ ἀμίαντος· τὰ γὰρ τοῦ Θεοῦ ἐθεώρει. Τῷ ἔργῳ, λαμπροτέρα ἡλίου καὶ καθαρωτέρα. Μάλιστα καθὼς ἐν τῇ κιβωτῷ ἐσώθη ἡ φύσις ἡ ἀνθρωπίνη· οὕτως ὃς ἐπὶ τῇ παναγίᾳ ἐσκόπει, ἐσώζετο ἐκ τῶν κυμάτων τῶν παθῶν. Τῷ λόγῳ, καὶ τῷ λόγῳ ἀναμάρτητος.

Καὶ μετ' ὀλίγα·

Ἡ παναγία παρθένος ὁποῦ ἐκοιμήθη, ἡ αἰτία τῆς κοιμήσεως της δὲν ἦτον ἐξ ἁμαρτίας, μόνον ἀπὸ ταῖς ἄλλαις αἰτίαις ταῖς φυσικαῖς, ταῖς ὁποίαις καθὼς ὁ ἄνθρωπος ταῖς εἶχε καὶ πρὶν ἁμάρτῃ, καὶ ἦτον ὑποκείμενος τῇ φθορᾷ φυσικὰ, ἂν καλὰ. Καὶ ὁ Θεὸς τὴν εἶχε χάριν δοσμένην, νὰ μὴν ἐνεργῇ εἰς ἐκεῖνον ἡ φύσις, μόνον ἡ χάρις, καὶ δὲν ἐμπόρει νὰ ἀποθάνῃ. Οὕτω καὶ εἰς τὴν παναγίαν, ἥτις ἂν καλὰ καὶ ἁμαρτίαν δὲν εἶχε, πλὴν εἶχεν ἐν ἑαυτῇ τὰ φυσικὰ, καὶ ὡς ἄνθρωπος ὑπέκειτο τῷ θανάτῳ, ὅμως εἶχεν ἀπὸ τὸν Θεὸν τοιαύτην χάριν, ὁποῦ, ἂν εἶχε θέλῃ, δὲν ἀπέθανε, μόνον ἔτζη ζῶσα ἐπήγενεν εἰς τοὺς οὐρανοὺς, πλὴν οὐκ ἐβούλετο.

Καὶ μετ' ὀλίγα·

Τί πρᾶγμα εἶναι ἐκεῖνο, ὁποῦ νὰ ἐμπορῇ νὰ φαίνεται διὰ μεγάλον σημεῖον εἰς τὸν οὐρανὸν ὁποῦ κατοικεῖ ὁ Θεὸς, ἐπεῖ ὁποῦ παραστέκουνται αἱ ἅγιαι δυνάμεις; Ἄλλον δὲν εἶναι παρὰ ἡ παναγία ὁποῦ ἦτον μεγάλον σημεῖον εἰς τὴν γῆν, ἐπειδὴ ἐγέννησεν Θεὸν ἐνανθρωπήσαντα, καὶ γεννήσασα ἔμεινεν ἄφθορος καὶ παρθένος, καὶ ἔτζη λέγεται σημεῖον ἐν τῷ οὐρανῷ. Διατὶ μὲ τὸ σῶμα ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ ἂν καλὰ καὶ ἐμπῆκεν εἰς τὸ μνημεῖον τὸ ἄχραντόν της ἐκεῖνο σκῆνος, πλὴν εἰς τρεῖς ἡμέρας μετεστάθη εἰς οὐρανοὺς μετὰ σώματος, καθὰ καὶ ὁ Χριστὸς ἀνελήφθη. Διατί; Ὅτι μεγάλην ἐξουσίαν καὶ ἐπ' αὐταῖς ἔχει ταῖς

δυνάμεσι. Σημεῖον, διατὶ ἔχει τὴν σελήνην ὑπὸ πόδας, ἤγουν τῆς ἐκκλησίας οὐκ ἐπιλανθάνεται τῆς ἐν τῷ κόσμῳ, ἥτις τὸ φῶς ἐκ τοῦ ἡλίου ἔχει. Σημεῖον, διατὶ ἔχει τοὺς δώδεκα ἀστέρας στέφανον ἐπὶ τῆς κεφαλῆς, τοὺς δώδεκα ἀποστόλους. Τὸ μεῖζον, ὅτι περιβέβληται τὸν ἥλιον, διὰ νὰ σοῦ σημαδεύσῃ, ὅτι δὲν χωρεῖ ἀναμέσον ἐκείνης καὶ τοῦ Θεοῦ οὐδὲν, ὅτι ὁ Θεὸς τὴν ἔχει εἰς τὰς ἀγκάλας του.

Καὶ ἐν τῷ τέλει·

Οὕτω δεῖ καὶ ἡμᾶς ποιεῖν, ἵνα τύχωμεν ἀπαλλαγῆς· μάλιστα ὁποῦ γνωρίζωμεν, πῶς ἔχωμεν νὰ εὑροῦμεν παῤῥησίαν μεγάλην εἰς τὸν οὐρανὸν, ὅτι οἴδατε, καὶ ὁποῖος ἀρκᾷ τὴν σουλτάναν, εἰς τὴν βασίλειαν ἔχει παῤῥησίαν καὶ κάμνει, ὅτι θέλει. Ἐνδὰ, ὅτι θέλομεν, κάμνομεν καὶ ἡμεῖς ἔχοντες μεσίτρειαν, τὴν παναγίαν, βοηθὸν καὶ παράκλησιν παρὰ τῷ βασιλεῖ, ἥτις πρὸς αὐτὸν ὑπὲρ ἡμῶν πρεσβεύουσα λέγει ᾄσμα· ὁ καθήμενος ἐν κήποις ἀκούτισόν μοι, κεφ. ἡ'. Σὺ, ὃς ἐν τοῖς φωτεινοῖς καὶ χλωεροῖς τόποις κάθεσαι μετὰ τῶν ἁγίων πάντων, ἐπάκουσον καὶ συγχώρησον τούτους προσερχομένους, καὶ ἀξίωσον τῆς βασιλείας τῶν οὐρανῶν.

Ἐκ τοῦ εἰς τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον ἐγκωμίου.

Οὕτως ἐδόξασεν αὐτὸν ὁ Χριστὸς, καὶ μετέστησεν εἰς οὐρανοὺς, ὁποῦ δέεται τοῦ κυρίου διὰ τὸ γένος τὸ ἡμέτερον, ὅπως ἀξιώσῃ ἡμᾶς πάντας εἰσελθεῖν ἐκεῖ, ὁποῦ εἶναι ἐκεῖνος.

Ἐκ τοῦ εἰς τὸ· κύριε ἐλέησόν μου τὸν υἱὸν, ὅτι σεληνιάζεται.

Ὥδε καὶ τὴν ἐξουσίαν ἣν ἔχουσιν οἱ ἅγιοι ἄγγελοι ἀναφέρειν δυνάμεθα, καὶ διὰ τὴν φύλαξιν τὴν ἡμετέραν.

Ἐκ τοῦ εἰς τὰ ἅγια Θεοφάνια λόγου αὐτοῦ.

Ἐπεργαζόμενος γὰρ ποσαχῶς ὁ κόσμος, καὶ λέγων δεύτερον κόσμον τοὺς ἀγγέλους, καὶ συμπεραίνων, ὅτι πάντα διὰ τὸν ἄνθρωπον φησί. Δι' αὐτὸν ὁ δεύτερος διὰ τὴν διακονίαν. Ἀδύνατον γὰρ ἂν εἴη προσαγωγὴν ἡμᾶς ἔχειν εἰ μὴ δι' αὐτῆς, ὡς ὁ Ἰσραὴλ τῷ Μωϋσῇ, καὶ οὐκ ἐδύνατο λαλῆσαι, εἰ μὴ διὰ Μώσεως· οὕτως ἡμεῖς οὐ δυνάμεθα, εἰ μὴ δι' ἀγγέλων, καὶ ἐν ταῖς δεήσεσι καὶ προσευχαῖς.

Ἐκ τῆς εἰς τό· τί ποιήσει ὁ κύριος τῆς ἀμπέλου τοῖς γεωργοῖς;

Πρῶτον φραγμὸν. Οὕτω καὶ ὁ θεῖος Βασίλειος. Τὰς ἀνθρωπίνας ψυχὰς ἀμπελῶνα λέγει ὁ Χριστὸς, ἧς φραγμὸν περιέθηκεν τὴν ἐκ τῶν προσταγμάτων ἀρφάλειαν καὶ τὴν φυλακὴν τῶν ἀγγέλων· παρεμβαλεῖ γὰρ ἄγγελος κυρίου.

Κατὰ τοῦ δεκάτου κεφαλείου.

Ἐκ τῆς εἰς τὸν τελώνην καὶ Φαρισαῖον ὁμιλίας, ἐξ ἧς συνάγεται, ὅτι τῆς ἐκκλησίας προΐσταται ὁ ἀρχιερεὺς καὶ οὐχ ὁ ἱερεύς.

Ἐν τῷ παραδείσῳ ἦν ἄκρα εὐδαιμονία, πῶς λέγει ἐργάζεσθαι καὶ φυλάσσειν ἡ γραφή; Διὰ ταύτας τὰς αἰτίας· ὅτι καθὼς ἔθετο τὸν Ἀδὰμ

ἐκεῖ ἐργάζεσθαι καὶ φυλάσσειν, οὕτως ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ παράδεισος, τίθησι τὸν ἀρχιερέα καὶ τὴν ἐργάζεται τῷ θείῳ κηρύγματι καὶ φυλάσσει τὰς ψυχὰς τῶν Χριστιανῶν. Ὁρᾷς ἕνα παράδεισον, ἕνα περιβόλιον περιφραγμένον, ἔχον δένδρα εὔκαρπα καὶ δύσκαρπα καὶ ἄκαρπα. Καὶ ἔσωθεν ὁ περιβολάρις, καὶ ἐκ τῶν εὐκάρπων μαζώνει τὸν καρπὸν, τὰ δύσκαρπα τὰ κεντρίζει, τὰ ἄκαρπα ἄλλα καίει, ἄλλα κοπρίζει εἰς ἐλπίδα, καὶ οὕτως τὰ ἐργάζεται. Καὶ ἂν ἔλθῃ κλέπτης, ὑλάκτει ὁ κύων, καὶ ἀπὸ τὸν τράφον τὸν διώχνει. Οὕτως ὁ ποιμὴν τῆς ἐκκλησίας ἐν τῷ παραδείσῳ στέκεται, καὶ μὲ τὸν θεῖον λόγον σᾶς κυβερνᾷ. Ἂν εἶστε καλοὶ καὶ εὔκαρποι ἢ δύσκαρποι· κεντρίζεσθε μὲ τὴν διδασκαλίαν, ἢ ἄκαρποι κοπρίζεσθε μὲ καλὰ λόγια. Ἂν ἔλθῃ μέσα εἰς τὸν τράφον ὁ διάβολος, νὰ κλέψῃ, καὶ ῥίξῃ ἄλλον εἰς πορνείαν, ἢ εἰς ἀσωτείαν, δέεται λόγον τοῦ ποιμένος, νὰ τὸν διώχνῃ, ὅτι καὶ ὁ ποιμὴν ἄνθρωπος, καὶ δὲν ἔχει τόσα ὀμμάτια νὰ θεωρῇ πάντα τὸν τράφον, μόνον ἀναγένει τὴν φωνὴν σᾶς[1], νὰ τρέξῃ, νὰ σᾶς φυλάξῃ, μιμούμενος τὸν ποιμένα καὶ ἀρχιποιμένα τὸν καλὸν τὸν Χριστὸν ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντα· πάτερ, οὓς δέδωκάς μοι, ἐφύλαξα.

Κατὰ τοῦ δεκάτου τετάρτου κεφαλαίου.

Ἐκ τοῦ εἰς τὴν μετὰ τὴν ὕψωσιν κυριακὴν αὐτοῦ λόγου, ἐν ᾧ δέχεται καὶ ἀποδείκνυσι τὸ αὐτεξούσιον.

Ὁ κύριός μας σήμερον ἐν τῷ εὐαγγελίῳ λέγων· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν· σου κόπτει κάθε πρόφασιν, σημαδεύοντος τοῦ εἰς ταύτην ἅπασαν τὴν ὑπόθεσιν εἰς μίαν θέσιν, ἥτις ἐστὶν αὕτη· ὅτι ὁ ἄνθρωπος ἔχει ἐξουσίαν, νὰ νικήσῃ τὴν σάρκα, νὰ διαλέξῃ, καὶ νὰ κάμῃ τὸ καλόν. Καὶ ὅτι ὁ ἄνθρωπος ἔχει ἐξουσίαν, διδάσκει τοῦτο καὶ ἡ φύσις καὶ ὁ λογαριασμὸς καὶ ἡ θεία γραφή. Εἰ γὰρ ὁ ἄνθρωπος οὐκ εἶχεν ἐξουσίαν, ἦν ἂν δοῦλος, καὶ ἐδύνατο ἔχειν πρόφασιν εἰς τὸ κακὸν ὅτι ἂν κάμῃ τὸ κακὸν, ἀκών τοῦτο ἐργάζεται. Διὸ καὶ οὐδεῖ κολάζεσθαι, ἢ ἀδίκως· διὸ οἱ θεολόγοι οὕτως ἀποδεικνύουσι τὴν τοῦ ἀνθρώπου ἐξουσίαν.

Ὅ, τι γίνεται ἐν τῷ κόσμῳ, ἢ ὁ Θεὸς ἢ ἡ φύσις ἢ ἡ τύχη ἢ τὸ αὐτόματον. Ὁ Θεὸς πράττει ἐν τῷ κόσμῳ, ὡς πρώτη αἰτία πάσης κινήσεως, καὶ διατὶ δὲν παραδέχεται ὁ Θεὸς νὰ κάμῃ ὅσα γίνεται, διὸ παραχωρεῖ τῇ φύσει καὶ τῇ τύχῃ καὶ τῷ αὐτομάτῳ. Διὸ ταῦτα δοῦλα ὡς ὅτι κρέμανται παρὰ τῆς βουλήσεως τοῦ Θεοῦ. Ὁ δὲ Θεὸς ποιεῖ ἐλευθέρως καὶ θαυμαστῶς καὶ ἀκαταλήπτως. Καὶ εἰς τὰ ἔργα του φαίνεται τὸ ἐλεύθερον. Πάντων γὰρ κύριος οὐδένι λόγον δίδωσι· διὸ πάντα ὅσα ἠθέλησεν ἐποίησε, τὸ θαυμαστόν. Τίς γὰρ ὁρῶν τὸ μέγεθος τῆς κτίσεως, τὴν κίνησιν καὶ τὴν τάξιν οὐ θαυμάζει; τὸ ἀκατάληπτον.

---

[1]) Ita explicat Kimmelus hoc locum: *oculis quum gregem nequeat perlustrare totum; relinquit vocem vobis (σᾶς et genit. et dat. et accus.), ut haec currat et vos custodiat.*

Τίς γὰρ δύναται καταλαβεῖν τὸν τρόπον, ᾧ χρησάμενος ὁ Θεὸς ἐκ τοῦ μὴ ὄντος παρήγαγεν; εἰ γὰρ ηὐπόρει ὕλης, ἐδύνατο μαλάξαι καὶ πράξαι· ἄνευ δ' ὕλης καὶ ἑτέρου τινὸς πῶς ἐποίησεν; Ὁρᾷς ὅτι ἀκατάληπτος ὁ λόγος οὗτος· ὁ Θεὸς αἴτιος καὶ ποιητὴς τῆς κτίσεως, καὶ τῶν ἔργων αὐτοῦ.

Πράττει καὶ ἡ φύσις ὅσα πράγματα εὐδόκει ὁ Θεὸς, διὰ τοῦτο λέγεται κοινῶς δούλη τοῦ Θεοῦ, σὰν νὰ βλαστήσουν φυτὰ, νὰ φυτεύσουν δένδρα, νὰ γένῃ ψύχρα, ζέστη, χειμὼν, ἔαρ, τῆς φύσεως ἰδιώματα.

Πράττει ἡ τέχνη μιμουμένη τὴν φύσιν. Τόσον γὰρ ἠδυνήθη ὁ νοῦς ὁ ἀνθρώπινος νοῆσαι, ὅτι ἠθέλησεν εὑρεῖν τὸν τρόπον, ἵνα κἀκεῖνος αὐτουργὸς φαίνοιτο, καὶ φαίνεται τῇ τέχνῃ. Γίνεται δὲ καὶ παρὰ τῆς τύχης, ὡς ὁ ὀρύσσων εὑρίσκει θησαυρόν. Μηδὲν νομίσῃς πρώτως τι κρέμασθαι παρὰ τῆς τύχης. Οὐ γὰρ θεὰ ἐκείνη, ὡς οἱ Στωϊκοὶ, ἀλλὰ τὸ γενόμενον οὐ κατὰ πρόθεσιν, τύχη. Πλανοῦνται δ' οἱ λέγοντες ἀπὸ τῆς τύχης βοηθεῖσθαι· οὐ γὰρ οὕτως ἔχει.

Γίνεταί τι καὶ ὑπὸ τοῦ αὐτομάτου, ὡς ἡ τοῦ οἴκου πτῶσις.

Ὁ ἄνθρωπος τὸ κακὸν πράττων οὐκ ἐξ αὐτομάτου, ὅτι ἅπαξ ἐν δέκα ἢ εἴκοσι ἔτεσιν. Οὐκ ἐκ τύχης, ὅτι ἐκείνη οὐ κατὰ πρόθεσιν, ἡ δὲ ἁμαρτία κατὰ πρόθεσιν. Οὐκ ἐκ τέχνης, ὅτι ἡ τέχνη ἐγκαταλείπει ἔργον ὑπόπιπτον τῇ αἰσθήσει. Οὐκ ἐκ φύσεως, ὅτι ἡ φύσις καλὴ παρὰ Θεοῦ. Οὐκ ἀπὸ τοῦ Θεοῦ, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Ἐκ τῆς ἰδίας του προαιρέσεως ἄρα· ἡ δὲ προαίρεσις οὐκ ἂν κινηθείη, εἰ μὴ ἐξουσία παρῇ· ἔχει λοιπὸν τὴν ἐξουσίαν ὁ ἄνθρωπος. Πλὴν, τοῦτο καὶ ἐκ τῆς θείας γραφῆς γνώσῃ. Φησὶ γὰρ· οὐ καλὸν, τὸν ἄνθρωπον εἶναι μόνον· ποιήσωμεν δ' αὐτῷ βοηθόν. Τοῦτο διχῶς νοεῖται· πρῶτον, ὅτι λέγεται περὶ τῆς γυναικός· δεύτερον, τοῦτο τὸ ῥητὸν εἴρηται, ὅταν εὐδαιμόνως ἔζει ὁ Ἀδὰμ, ἐν ᾗ εὐδαιμονίᾳ οὐδένος ἐδεῖτο. Ὁ δὲ Θεὸς λέγει· ποιήσωμεν αὐτῷ βοηθόν. Εἰ μή τις λέξῃ ταύτην καὶ μόνην, ἵνα φυλάττῃ ἑαυτὸν τοῦ πειρασμοῦ. Ἐν ᾧ τόσον ἡ γυνὴ ἐβοήθη αὐτῷ, ὅτι καὶ αὐτὴ ἦν αἰτία τῆς πτώσεως. Τί λοιπὸν ἕτερον, ἢ τὸ αὐτεξούσιον ἐκεῖνο ἦν; ἀπορήσειε δέ τις ἄρα ὕστερον, ἀφ' οὗ τὸν ἔπλασε, τὸν ἔκαμεν αὐτεξούσιον, καὶ οὐχὶ ὅταν τὸν ἔπλασεν;

Ἀπόκρισις.

Τότε τὸν ἔκαμεν, ὅταν τὸν ἔπλασε. Πλὴν τὸ ῥητὸν τοῦτο ὕστερον τὸ λέγει ὁ Θεὸς· ἵνα ὁ ἄνθρωπος βεβαιωθῇ διὰ τὸ τόσον χάρισμα, ὁποῦ ἔχει παρὰ Θεοῦ. Διὸ λέγει· ποιήσωμεν, ἀντὶ τοῦ, ἐποιήσαμεν βοηθόν· καὶ εὐθὺς ἔπλασε τὴν γυναῖκα, ἐξ ἧς ἔγνω ὁ Θεὸς, ὅτι ἔμελλε πειράζεσθαι, ἐκ τῆς πλευρᾶς αὐτοῦ. Σὰν νὰ εἶχε λέγῃ ὁ Θεὸς· βοηθὸν ἔχει τὴν ἐξουσίαν, καὶ ὅταν θέλει, δὲν φοβεῖται, νὰ τὸν βλάψῃ ὁ πειρασμὸς τῆς γυναικός. Ἐκ ὧν ἁπάντων συνάγεις τὴν ἐξουσίαν, τὴν ὁποῖαν δὲν ἀποδείκνω μὲ ἀπείρους τόπους τῆς γραφῆς· ἵνα μὴ μακρολογῶ, μόνον ἐκ τοῦ σημερινοῦ. Λέγει γὰρ ὁ κύριος· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν. Καὶ ὃς ἂν θέλει σῶσαι τὴν ψυχήν. Ἐπειδὴ ἔχεις

τὴν ἐξουσίαν, νὰ κάμῃς τὸ κακὸν καὶ τὸ καλὸν, θελῆσαι κρεῖττον τὸ καλόν. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Καὶ ἂν θέλῃς τὸ καλὸν, ἅπαντά σου τὸν σκοπὸν θὲς εἰς τὸ καλὸν, καὶ ἂν θέσῃς ὅλον σου τὸν σκοπὸν ἐκεῖ, τοῦ λόγου σου ἀρνάσαι. Διὸ φησίν· ἀπαρνησάσθω ἑαυτόν. Καὶ ἂν θέλῃς τὸ καλὸν κοπιάσαι· κοπιάζει γὰρ ὁ θέλων καλὸν τοῦτο ἐστὶν ἡ ἄρσις τοῦ σταυροῦ.

Καὶ μετ' ὀλίγα·

Τῶρα εἰς ἐσένα στέκει, νὰ κάμῃς τὴν παραγγελίαν τοῦ Θεοῦ.

Καὶ μετ' ὀλίγα·

Οὕτω καὶ ὁ φοβούμενος τὴν ψυχὴν αὐτοῦ τοῖς κινδύνοις τῶν καλῶν ἔργων, νηστείας, ἀγρυπνίας, ὅταν τὴν δώσῃ, προσδοκᾷ τὸν μισθόν.

Κατὰ τοῦ δεκάτου ἕκτοῦ κεφαλαίου.

Ἐκ τῆς εἰς τὸ ἅγιον βάπτισμα ὁμιλίας.

Ὅτι τὸ βάπτισμα δεῖται τῶν καλῶν ἔργων.

Ὁ Βαπτιστὴς μαρτυρᾷ Ματθ. γ'.· πᾶν δένδρον μὴ ποιοῦν κάρπον, τέμνεται. Οὐαί σοι ἀμελοῦντι τῶν καλῶν· μὴ θαῤῥῇς τὰ φύλλα ἃ ἔχεις. Τὰ μικρὰ καὶ οὐτιδανὰ καλὰ ὅποῦ θαῤῥεῖς· πῶς κάμνεις, νὰ εἶναι εἰς τὴν ψυχήν σοι τόσον χρήσιμα, ὅποῦ νὰ σὲ εὐγάνουσιν ἀπὸ τὴν κόλασιν. Ὄχι καρπὸν θέλει ὁ Θεὸς; Καὶ ἂν δὲν κάμῃς, ἤδη ἡ ἀξίνη πρὸς τὴν ῥίζαν κεῖται· ἡ ἀξίνη τοῦ τέκτονος τοῦ Θεοῦ.

Καὶ μετ' ὀλίγα·

Τὸ βάπτισμα τοῦ κυρίου ἀναγκαῖον, Ἰωάννου γ'.· Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Διὸ Ἰωάννης, ὡς ἀναγκαῖον, ἔλεγεν· Ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι, ἐκεῖνος δὲ βαπτίζει ἐν πνεύματι ἁγίῳ. Ἰωάννου γ'· Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. Ὅταν γεννᾶται ὁ ἄνθρωπος ἐν ἀνομίαις καὶ ἁμαρτίαις, αὗται δ' ἀφαιροῦνται ἐν τῷ βαπτίσματι· καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι.

Καὶ μετ' ὀλίγα·

Τὸ βάπτισμα τριχῶς, σκιῶδες, νομικὸν, εὐαγγελικόν. Σκιῶδες καὶ νομικὸν, ὁ τύπος ἐν τῇ γραφῇ, προπαρασκευαστικὸν, οἷον ἦν τοῦ προδρόμου, τὸ ἀναμέσον νόμου καὶ χάριτος· ἐγὼ γάρ, φησι, βαπτίζω ὑμᾶς ἐν ὕδατι, ἐκεῖνος δὲ βαπτίζει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. Διὸ Παῦλος Πρᾶξ. ιθ'. γ'. ἐκέλευσε βαπτίζεσθαι. Καὶ Πέτρος Πρᾶξ. β'. κη'.· μετανοεῖτε, καὶ βαπτιζέσθω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ. Διατί οὕτως; ἀλλὰ ἢ ὅτι ἐκεῖνο προπαρασκευαστικὸν ἦν, εὐαγγελικὸν τὸ τοῦ κυρίου, δι' οὗ ἀφαιρεῖται ἡ προπατορικὴ ἁμαρτία.

Καὶ μετ' ὀλίγα·

Τὸ βάπτισμα τοῦτό ἐστι τὸ ἀληθὲς ἡ ἀναγέννησις, ἡ ἀνάκτισις· σημεῖον γὰρ καὶ σφραγὶς τοῦ Χριστοῦ. Ὅσοι δ' αὐτὸ οὐκ ἔχουσι τοῦτο τὸ σημεῖον, γνωστοί εἰσι μὴ εἶναι τοῦ κυρίου, καθ' ὧν πάνυ ἔχει νὰ καυχᾶται ὁ κοινὸς τῆς σωτηρίας ἐχθρὸς, καθὼς ἔχει καυχᾶσθαι καὶ δι' ἡμᾶς αὐτοὺς, ὅταν οὐχ ὁρᾷ ἡμᾶς ἔχοντας τὰ σημεῖα, ἃ ἐπακολουθεῖ τῷ βαπτίσματι.

Καὶ μετ' ὀλίγα·

Καὶ ἡμεῖς ὁποῦ γινόμεσεν ἁμαρτωλοὶ ἐκ κοιλίας μητρός μας, καὶ πρὸ τοῦ γνῶναι ἁμαρτίαν, ἐσμὲν καταδεδικασμένοι διὰ τὴν προπατορικὴν ἁμαρτίαν, ἀπὸ τὴν ὁποῖαν τὸ βάπτισμα μᾶς ἐλευθερώνει.

Κατὰ τοῦ δεκάτου ἑβδόμου κεφαλαίου.

Ἐκ τῆς εἰς τὸ· πλοῖον βασανιζόμενον ἐν μέσῳ τῶν κυμάτων.

Ὅταν μεταλαμβάνεις, τί ὁρᾷς; ἄρτον καὶ οἶνον; οὐ διακρίνεις; φάντασμα ὁρᾷς, ἂν θεωρῇς ὡς τόσον· ἂν ἀνοίξῃς τοὺς ἐσωτερικοὺς ὀφθαλμοὺς καὶ ἴδῃς τὸν κύριον, ἐκεῖ τὴν σάρκα τοῦ κυρίου ἐγνώρισας. Ἴδοις ὡς οἱ μαθηταὶ σήμερον καὶ ὡς φάντασμα ὁρῶσι καὶ κατὰ ἀλήθειαν. Ὅταν ὡς φάντασμα, ἐταράχθησαν. Ὅταν κατὰ ἀλήθειαν ἐγνώρισαν, ἐπαρηγορήθησαν, ὅτι ἀπηλλάχθησαν ἀπὸ τοῦ κλύδωνος, ὅτι ἐσώθη ἡ ναῦς, καὶ αὐτοὶ σὺν τῇ νηΐ.

Ἐκ τοῦ εἰς τὸ περὶ τῶν ε' ἄρτων ῥητοῦ.

Τρὶς ἔκλασε τὸν ἄρτον ὁ κύριος· πρῶτον, ἐν τῷ μυστικῷ δείπνῳ, Λουκ. κβ', ὅπη ἡμᾶς ἔπεισε καταλαβεῖν τὴν ἄπειρον δύναμιν τῆς θεότητος ἐν τῇ μετουσιώσει τοῦ ἄρτου.

Κατὰ τὴν δευτέραν τῶν ἐρωτήσεων.

Ἐκ τῆς εἰς τὴν πρώτην τῶν νηστειῶν κυριακὴν ὁμιλίας.

Τριχῶς λέγεται ἡ εἰκὼν, πρῶτον .... δεύτερον .... τρίτον δὲ εἰκὼν ἐν πράγματι ἑτέρας φύσεως, ἄψυχος. Ἥτις ἐστὶν ἡ τιμωμένη εἰκὼν παρ' ἡμῶν τοῦ κυρίου καὶ τῶν ἁγίων, ἃς σεβόμεθα καὶ προσκυνοῦμεν διὰ τὴν πρὸς πρωτότυπα εὐλάβειαν, καὶ διὰ τὴν σχέσιν ὅλη ἡ τιμὴ ἀναφέρεται πρὸς τὸ πρωτότυπον. Δεῦρό μοι· Φιλεῖς τὸν Χριστόν; ναί. Τὴν παναγίαν καὶ τοὺς ἁγίους; ναί. Τίμησον αὐτούς. Λέξεις· οὐχ ὁρῶ, οὐ γινώσκω αὐτούς, πῶς τιμήσω; Διὸ ἡ ἐκκλησία σοι ἀποκρίνεται· τίμησον τὰς εἰκόνας τους, καὶ ἡ τιμὴ ἅπασα ἀναφέρεται πρὸς ἐκείνους, τοιαύτην χάριν σοι ἔχουσιν, ὡς ἂν τοὺς ἰδίους αὐτοὺς ἐτίμησας. Οἱ ἄθλιοι καὶ ταλαίπωροι εἰκονομάχοι καταφρονοῦντες τὸν Θεὸν καὶ τοὺς ἁγίους, κατεφρόνουν καὶ τῶν εἰκόνων τους· καὶ καταφρονοῦντες τὰς εἰκόνας, καὶ τοῦ Θεοῦ. Διὸ ἀναθεματίζει αὐτοὺς ἡ ἐκκλησία. Ἕνας σοφὸς ἔλεγεν, ὅτι τρεῖς ἀνθρώπους δὲν πρέπει νὰ τιμήσῃ. Τίνας; τὸν βάρβαρον καὶ μὴ εἰδότα τιμήν· ὅτι ὅσην τιμὴν τοῦ κάμνῃς, σὰν δὲν τὴν ἐξεύρῃ, σὰν νὰ τὴν ἔῤῥιψες. Νὰ μὴ τιμήσῃς τὸν ἀχάριστον, ὅτι

δὲν ἐξεύρει, ἀπὸ που τοῦ ἦλθε μόνον, σὰν τὸν τιμήσῃς, λέγει· πρέπει μὲ, διὰ τ᾽ ἐκεῖνο μὲ τιμᾷ, καὶ δὲν τοῦ ἔχω χάριν. Νὰ μὴ τιμήσῃς τὸν ἄνθρωπον, ὁποῦ καταχρᾶται τὴν τιμὴν, ἢ μὲ κενοδοξίαν, ἢ μὲ ἄλλον κακόν. Ὅμως ἂν καλὰ καὶ οὕτω σὲ διδάσκει ὁ σοφὸς, πλὴν ἐσὺ ἐκεῖνον τὸν βάρβαρον, ἐκεῖνον τὸν ἀχάριστον, ἐκεῖνον τὸν καταχρώμενον τὴν τιμὴν σὰν εἶσαι πεπαιδευμένος τὸν τιμᾷς· καὶ τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ τῆς παναγίας καὶ τῶν ἁγίων θέλεις καταφρονεῖν; οὐαὶ ὑμῖν, εἰκονομάχοι.

Καὶ μετὰ πολλά·

Τὸν οἶνον τῆς πίστεως, τὸν κάμνει ὁ Χριστὸς, ὅστις ἐστὶν ἄμπελος ἀληθινὴ, μὴ τὸν βάλῃ εἰς τὸ παλαιὸν ἀσκὶ, τοῦτ᾽ ἔστιν· ἂν δὲν ἔχῃς τὸ κορμί σου καινουργώμενον καὶ καθαρισμένον· δὲν ἐμπορεῖ, νὰ κρατήσῃ, καθαρισμένον καὶ καινουργώμενον καὶ ἀπὸ ταῖς αἱρέσαις καὶ ἀπὸ ταῖς ἁμαρτίαις. Παλαιὸν καὶ διαβολικὸν ἀσκὶ ἦτον ὁ Ἀρεῖος, ὁποῦ ἐδογμάτιζε τὸν υἱὸν καὶ λόγον τοῦ Θεοῦ κτίσμα, καὶ ὁ Μακεδόνιος, ὁποῦ ἐβλασφήμα εἰς τὸ πνεῦμα τὸ ἅγιον, Παῦλος ὁ Σαμοσατεὺς καὶ Εὐτυχὴς, οἱ Μονοθελῖται, Σέργιος καὶ Διόσκορος οἱ Μονοφυσῖται. Ἀλλ᾽ ἔσκασαν δὲν ἐγκράτησαν τὸ κρασὶ τὸ καλὸν μεσά τους. Καὶ ἵνα ἐάσω τοὺς λοιποὺς αἱρετικοὺς, παλαιὰ καὶ σαπία ἀσκία ἦταν οἱ Εἰκονομάχοι, ἀλλὰ καὶ ἐκεῖνοι κακὸν θάνατον ἔδωσαν.

Κατὰ τὴν τρίτην τῶν ἐρωτήσεων.

Ἐκ τῆς εἰς τὴν δευτέραν κυριακὴν τῶν νηστειῶν ὁμιλίας, ἔνθα δέχεται τὸ βίβλιον τοῦ Τωβίου καὶ ἀδιωρίστως γραφὴν ὀνομάζει, κατὰ τρίτης ἐρωτήσεως.

Τετραχὶς ἐν τῇ γραφῇ φαίνεται, ὅτι ἐπολέμησαν οἱ δαίμονες μετὰ τῶν ἀγγέλων. Ἅπαξ ἐν τῷ οὐρανῷ, Ἀποκάλ. ιβ΄. Δανιήλ. ι΄. Δεύτερον· ὅταν μετὰ τοῦ ἄρχοντος τῶν Περσῶν ἐπολέμησεν ὁ Μιχαὴλ, εἰ καὶ τοῦτο δύναται, ὅτι ἄγγελοι ἦσαν οἱ πολεμήσαντες. Τρίτον· διὰ τὸ σῶμα τοῦ Μωϋσέως, ὅταν ἐπολέμησε με τὸν Μιχαήλ. Τέταρτον· ἐν τῷ οἴκῳ τοῦ Ραγουὴλ, ὅταν ὁ Ἀσμοδαῖος ἐνικήθη ὑπὲρ Ῥαφαήλ.

Ἐκ τῶν θεολογικῶν αὐτοῦ σημειώσεων, φύλλῳ τπζ΄, ἐν ᾧ δέχεται τὸ βίβλιον τῆς Σοφίας.

Καὶ γὰρ ὁ διάβολος, εἰς τὸ ἐργᾶσαι τὸν διπλοῦν θάνατον τὸν ἡμέτερον, ἕνα θάνατον ἑαυτοῦ ἁπλοῦν ἐκομίσατο. Τέθνηκε γὰρ πνευματικῶς διὰ τὴν ἀσέβειαν, εἰς ἣν παίσας ἡμᾶς, ὑπακούσαντες δὲ ἡμεῖς κατεκρίθημεν. Ὅθεν δικαίως γέγραπται Σοφ. α΄. ιγ΄.· ὁ Θεὸς τὸν θάνατον οὐκ ἐποίησεν. Οὐ γὰρ ἦν αἴτιος θανάτου. Οὐ γὰρ ἡ τοῦ κριτοῦ δικαιωσύνη αἰτία τῆς τιμωρίας, ἀλλ᾽ ἡ κακουργὸς αὐτοῦ πρᾶξις.

Ἐκ τῆς εἰς τὸν ἄσωτον, ἐν ᾧ δέχεται τὸ βίβλιον τῆς Σωσάννης.

Καὶ δὲν λέγω διὰ τοῦτο, ὅτι δὲν σφάλει ὁ γέρων ἄνθρωπος, ὄχι μόνον ὅτι ἀκωλύτως ὁ νεός. Καλᾷ καὶ νὰ εὑρίσκονται καὶ νέοι τινὲς, ὁποῦ ἔχουσι χάριν ἐκ Θεοῦ, ὡς ὁ Ἰωσὴφ, ὃν ἠγάπα ὑπὲρ τοὺς λοιποὺς

υἱοὺς ὁ Ἰακώβ, ὁποῦ, διὰ νὰ ἔχῃ πολλὴν γνῶσιν, ἐβασίλευσεν ἐν Αἰγύπτῳ. Καὶ ὁ νεὸς Δανιὴλ ὁ προφήτης τόσον ἦτον γνωστικὸς, ὁποῦ μεσὰ εἰς τὴν Βαβυλῶνα ἦτον ἀκουστὸς, καὶ γέροντας κριτὰς ἤλεγξεν, οὕτως ὡς ἦν νέος. Πλὴν οὗτοι ἔχουσι χάριν ἐκ Θεοῦ, καὶ καλοὶ ἐξ ἑαυτῶν.

Ταῦτα ἐκ τῶν πολλῶν ὧν ἔχομεν Κυρίλλου ὁμιλιῶν, ἅτινα κατὰ διάμετρον ἀντίκειται τοῖς κεφαλαίοις ἐκείνοις καὶ ἐρωτήσεσιν, ὅπερ φανερόν ἐστιν, ἑκάστῳ κεφαλαίῳ καὶ ἑκάστῃ ἐρωτήσει ἑκάστην ἐκλογὴν παραβάλλουσι, καὶ αὖθις ἑκάστην πᾶσι κεφαλαίοις καὶ ἐρωτήσεσι, καὶ πάσας ἐκλογὰς πρὸς ἕκαστον τῶν τε κεφαλαίων καὶ ἐρωτήσεων. Καὶ οὕτως ὁ τῆς χαλάνης τῶν ἀνόμων σεσοφισμένος πύργος καταπεσὼν, φροῦδα πάντα τὰ κατὰ τῆς ἀνατολικῆς ἐκκλησίας αὐτῶν ματαιολογήματα ἔσονται· καὶ πᾶς τις οὐ μόνον τῶν ὀρθοδόξων, ἀλλὰ καὶ τῶν ὁπωσδήποτε τῇ Χριστιανοῦ προσηγορίᾳ καλυνομένων, γνοὺς τῶν πονηρευομένων αἱρετικῶν τὰς σκευωρίας, αἰώνιον κατ᾽ αὐτῶν ψῆφον ψεύδους καὶ ἀδικίας ἐξενέγκοι.

Κεφαλ. 2.

Ὅτι δὲ εἰ καὶ καθ᾽ ὑπόθεσιν Κύριλλος ἦν ὁ τῶν κεφαλαίων ἐκείνων πατὴρ, λαθραιῶς ταῦτα ἐξέδωκε, μηδενὸς εἰδότος τῶν ἀνατολικῶν, φανερὸν ἐκ τῶν ἤδη εἰρημένων ἐν τῷ πρώτῳ κεφαλαίῳ καὶ ἀναμφίβολον. Ἔστι δὲ καὶ τοῦτο καὶ ἐξ ἄλλων τινῶν ἀναντιῤῥήτων μαθεῖν. Εἰ γὰρ, φέρε εἰπεῖν, δημοσίως ἐξέδωκε, τρία τινὰ μάλιστα ἀναγκαίως ἠκολούθησαν ἄν.

Πρῶτον, ἵνα ὑπογράψωσιν ἐκεῖνα οἱ παρευρεθέντες ἐκείνῳ τότε θεοφιλέστατοι ἀρχιερεῖς καὶ οἱ ἀδιαλείπτως περὶ τὸν Πατριάρχην προσκαρτεροῦντες λογιώτατοι κληρικοὶ, (Καρδηναλίους δὲ αὐτοὺς ἡ παλαιὰ καλεῖ Ῥώμη) οἳ καὶ ἐν ἅπασι τῷ Πατριάρχῃ συμπράττουσιν· ἀλλὰ οὐ δύνανται πώποτε τοιοῦτόν τι δεῖξαι οἱ κατήγοροι· οὔτε γὰρ ἀρχιερεὺς οὔτε κληρικὸς ἀπὸ τῶν πολλῶν καὶ μέχρι τοῦ ἑνὸς οἴδασιν ἢ ὑπέγραψαν τὰ λεγόμενα κεφάλαια, οὔτε μὴν Κυρίλλου περὶ αὐτοῦ καταφάσκοντος ἤκουσαν πώποτε.

Δεύτερον, ἵνα μεταγραφῶσιν ἐν τοῖς κώδιξι τῆς μεγάλης ἐκκλησίας, καὶ μεταγραφέντα αὖθις ὑπὸ τῶν ὑπογραψάντων τὰ πρωτότυπα ὑπογραφῶσι. Πᾶν γὰρ περὶ πίστεως ἢ ἄλλης τινὸς ἐκκλησιαστικῆς ἀναγκαίας ὑποθέσεως διδόμενον πατριαρχικὸν γράμμα συνοδικὸν εἶναι βούλεται, ὡς συνοδικῇ σκέψει γραφόμενον καὶ συνοδικῶς ἐξεταζόμενον καὶ ὑπογραφόμενον· τὸ δὲ τοιοῦτον ἐν τοῖς κώδιξι μεταγράφεται. Τοιοῦτον δὲ οὐκ ἦν τὰ λεγόμενα Κυρίλλου κεφάλαια· ἐπειδὴ οὐ μόνον τῆς ἐν τοῖς κώδιξι μεταγραφῆς ὑστέρηται, ἀλλ᾽ οὐδὲ ἴσασι ταῦτα ἕως τῆς σήμερον, πλὴν ὀλιγίστων, οἵ τε ἀρχιερεῖς καὶ κληρικοὶ, μὴ ὅτιγε ὁ κοινὸς τῆς εὐσεβείας λαός. Καὶ τοῦτο ὑπὸ τῆς πολλῆς τῶν ἐναντίων διακωδωνήσεως, ἣν καυχώμενοι ποιοῦσι πανταχοῦ, σείοντες τοῖς πᾶσι τὰ θρυλλούμενα κεφάλαια ὡς τυχὸν τὴν ἐκκλησίαν ἀνατολικὴν ἴσα ἐκείνοις φρονεῖν· κἂν τούτου καρποῦσθαι τὸ ἐν ἀρχῇ εἰρημένον, (οὐ παύσομαι γὰρ τοῦτο πολλάκις λέγειν) ἵνα δηλαδὴ ἀπατῶσι τοὺς ἁπλουστέρους.

Τρίτον, ἵνα ἐν τῷ κώδικι γραφῶσιν ὑπό τινος τῶν κληρικῶν, καὶ μὴ ὑπ' ἄλλου τινός. Ἀλλὰ τὰ λεγόμενα Κυρίλλου κεφάλαια, οὐχ ὅτι μηδεὶς τῶν κληρικῶν μετέγραψεν ἔν τινι τῶν κωδίκων τῆς μεγάλης ἐκκλησίας, ἀλλ' οὔτε ἄλλος τις· ὡς φαίνεται σεσημειωμένα τὰ περὶ πίστεως καὶ διαταγῶν συνοδικά, καὶ μάλιστα τὰ τοῦ κὺρ Ἱερεμίου πρὸς τοὺς ἀπὸ Λουθήρου, ἃ κεῖνται ἐν τῷ μεγάλῳ κώδικι· καὶ ἐκεῖνα συγγράψας καὶ μεταγράψας κληρικὸς γνώριμος, Θεοδόσιος μέγας ῥήτωρ ὁ Ζυγομαλᾶς, ὁ ἀπὸ Ναυπλείου τοῦ κατὰ Πελοπόννησον ὁρμώμενος.

Καὶ ἐντεῦθεν δὲ δίκην ἡλίου δῆλον λάμπειν τὴν ἡμετέραν ἀλήθειαν. Εἰ γὰρ ὁ κὺρ Ἱερεμίας μόνος γράφων πρὸς τοὺς ἀπὸ Λουθήρου, οὐ συνοδικῶς δηλαδὴ ἀλλὰ μονώτατος, ἵν' ὦσιν ἀξιόπιστα καὶ μέμψεως χωρὶς τὰ γραφόμενα, ἠξίωσεν ἐκεῖνα τῆς ἐν τῷ κώδικι μεταγραφῆς, καὶ τοὐλάχιστον τῆς ὑπογραφῆς τοῦ μεγάλου ῥήτορος· πῶς ὁ Κύριλλος ὁμολογῶν καὶ διοριζόμενος, ὡς ἐκ προσώπου τῆς ἀνατολικῆς ἐκκλησίας, οὔτε τῆς ἐν τῷ κώδικι, οὔτε τῆς ἀπὸ τῶν ἀρχιερέων ἢ κληρικῶν ἠξίωσεν ὑπογραφῆς; Ὥστε τὰ εἰρημένα κεφάλαια, ἐπειδὴ οὐ μόνον τῶν εἰρημένων τριῶν ὑστέρηται, ἀλλὰ μήτε ἑνὸς ἠξιώθη τῶν τριῶν, εἰπὲρ ὑπὸ Κυρίλλου ἐξεδόθη, λαθραίως καὶ δολίως ἐξεδόθη.

Κεφαλ. 3.

Ὅτι δὲ καὶ τοῦτο ἀδύνατον, τὴν Κυρίλλου δηλαδὴ ὁμολογίαν τῆς ἀνατολικῆς ἐκκλησίας εἶναι ἢ ὅλως λέγεσθαι ὁμολογίαν, δῆλον, εἰ μή πού τις μαίνοιτο, καὶ τοῖς φανερωτάτοις ἐναντιοῦσθαι πειρῷτο. Εἰ γὰρ, ὡς εἴρηται, Κύριλλος οὗτος ὁ ποτὲ οἰκουμενικὸς Πατριάρχης, βεβαίως καὶ ἀληθῶς αἱρετικὸς ἦν, κἀκεῖνος συνέγραψε τὰ θρυλλούμενα κεφάλαια, καὶ ἄλλα μὲν ἐδίδασκε δημοσίως, ἄλλα δὲ ἐπίστευε τῇ καρδίᾳ, κατὰ τῆς ἰδίας συνειδήσεως ἔγραψε καὶ ἐπίστευσεν, οὐ κατὰ τῆς ἀνατολικῆς ἐκκλησίας, ἣν περιέποι τὸ πνεῦμα τὸ ἅγιον. Καὶ μὴ τυφούσθωσαν οἱ ἀντίδικοι, δολίῳ καὶ ὅλως ἀθέῳ (εἴπερ ἄθεος ὡς θεοπαίκτης, ὁ ἄλλα μὲν ἔχων ἐν τῇ καρδίᾳ, ἄλλα δὲ ὁμολογῶν διὰ στόματος, παίζων ἐν οὐ παικτοῖς) ἀνδρὶ ἐγκαυχώμενοι· εἰ δὲ καὶ ὡς ἀπὸ μέρους τῆς ἀνατολικῆς ἐκκλησίας ἔγραψε, τί πρὸς ἡμᾶς; Αἰσχυνάσθω ὁ καταψευδόμενος, καὶ οἱ τῷ ψευδομένῳ προφανῶς ὡς ἀληθεῖ προσέχοντες.

Ἔτι εἰ ἀναντιῤῥήτως ἔγνωσται, τὴν ὁμολογίαν Κυρίλλου ἀδύνατον εἶναι Κωνσταντινουπόλεως Πατριάρχου ὁμολογίαν, (ὡς ὑστερημένην τῶν προσηκόντων ἰδιωμάτων τοῖς πατριαρχικοῖς γράμμασιν) ἀλλὰ τυχὸν Κυρίλλου τινὸς δολίου ἐν παραβύστῳ φλυαρήσαντος· ἀδυνατώτερον ἢ μᾶλλον εἰπεῖν πάντῃ ἀδύνατον, ὁμολογίαν εἶναι ἢ λέγεσθαι τῆς ἀνατολικῆς ἐκκλησίας, ἐν ᾗ μάλιστα πρὸς τοῖς εἰρημένοις τρισὶν ἰδιώμασιν τῶν συνοδικῶν ἑνὸς ὁτοῦν Πατριάρχου γραμμάτων δεῖται ἀναγκαίως ἥ τε γνώμη καὶ αἱ ὑπογραφαὶ τῶν λοιπῶν ἁγιωτάτων Πατριαρχῶν, καὶ ἡ κοινωτάτη πάντων τῶν Ἐκκλησιαστικῶν καὶ λοιπῶν ἁγιότητι καὶ σοφίᾳ διαφερόντων ὡς ἐπὶ τὸ πολὺ σύμπνοια, ὥστε σχεδὸν μηδένα τῶν τοιούτων εἶναι τὸν ἀντιλέγοντα.

Ἐπειδὴ ἡ ἀνατολικὴ ἐκκλησία οὐ προσέχει οὔτε θαῤῥεῖ ἑνί τινι ἢ δυσὶν ἢ καὶ πλείοσι λόγον μέρους ἔχουσι καὶ μὴ καθόλου, ἵν' οὕτω διεξάγηται ὡς ἐκεῖνοι ἐθέλουσιν ὁποῖοι ποτ' ἂν ὦσι, κἂν θεολογικώτατοι δηλαδὴ τυγχάνωσιν ὄντες, κἂν ἁγιότητι διαφέρωσιν, ὥστε καὶ νεκροὺς ἀνιστᾷν, μὴ ὅτιγε φιλάρχοις καὶ δολίοις, καὶ λαθραιὰν μορμολύκειά τινα ὡς ἱστὸν ἀράχνης εὐχείρωτα καταπεφλυαρηκόσιν, ἀλλ' ἐν πᾶσι τοῖς εἰρημένοις ἐπὶ τὸ αὐτὸ ἄκρως συμφωνοῦσιν. Οὕτω γὰρ διεξαγομένη διδάσκαλον γνωρίζει τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν συμφωνίαν οἶδε μηδόλως τῷ θείῳ ῥήματι, ἢ ταῖς ἀποστολικαῖς καὶ πατριαρχικαῖς παραδόσεσιν ἀντιπίπτουσαν.

Δῆλον ἄρα, τὴν Κυρίλλου ὁμολογίαν ἀδύνατον εἶναι τῆς ἀνατολικῆς ἐκκλησίας ὁμολογίαν, μάλιστα ὥσπερ τὸ μέλαν ἐναντίον τῷ λεύκῳ, ἢ τὸ σκότος στέρησις τοῦ φωτὸς, οὕτως ἥ λεγομένη αὕτη Κυρίλλου ὁμολογία ἐναντία, καὶ στέρησις τῆς ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ θεοπνεύστου καὶ εὐαγγελικῆς ἀληθείας.

Κεφαλ. 4.

Ἐκ τῶν ἤδη εἰρημένων τοῖς πᾶσιν ἐγένετο προφανὲς, ὅτι ἡ ἀνατολικὴ ἐκκλησία ἀνωτέρα τυγχάνει τῶν κατηγορημάτων, ἃ κατ' αὐτῆς ἐφεῦρον οἱ ἐναντίοι, καὶ ἥκιστα οἶδεν ἢ ἐξέδωκεν ἢ ἐπίστευσεν ἢ τὰ διαληφθέντα Κυρίλλου κεφάλαια ἢ τὴν ἐν ἐκείνοις περιεχομένην ἀσέβειαν. Ἀνοίκειον γὰρ αὐτῇ τὸ μὴ ἵστασθαι ἑδραίως τῇ πίστει τῶν ἀποστόλων καὶ προφητῶν, καὶ τὸ περιφέρεσθαι, ὡς νεφέλαι ἄνυδροι περιφερομέναι ὑπ' ἀγρίων ἀνέμων, ἐπειδὴ πλουτεῖ διδάσκαλον καὶ ὁδηγὸν τὸ πνεῦμα τὸ ἅγιον. Ἀλλὰ ἐπειδὴ ἐν ἀρχῇ συγκεχώρηται πολλάκις λέγειν περὶ τοῦ αὐτοῦ, καὶ τρόποις παντοίοις φιλοπονεῖν, γυμνὸν ἐπιδεικνύειν τὸ ἐν σχήματι εὐσεβείας σόφισμα, καὶ τερέτισμα τῶν κατηγόρων, εἰς καθαίρεσιν μὲν πάσης τῆς τῶν εἰρημένων ἐπινοίας, κατάληψιν δὲ πρόχειρον τοῖς ἐντευξομένοις εὐσεβέσι, φαμὲν ὅτι δεῖ καὶ τοῦτο εἰδέναι, ὅτι ἢ ἀδύνατον τῇ ἀνατολικῇ ἐκκλησίᾳ πεπιστευκέναι, ὡς τὰ τοῦ Κυρίλλου κεφάλαια βούλεται, ἢ πεπιστευκυῖαν πάντῃ ἀδύνατον αὐτὴν μετὰ Χριστοῦ ἔχειν μερίδα.

Ὅτι δὲ τὸ πρῶτον ἀληθὲς, φανερόν. Ἔδει γὰρ αὐτοὺς (τοὺς ἀνατολικοὺς), εἴ ποτε ὠλίσθησαν εἰς τὴν τοιαύτην τῶν ἐναντίων ἀπόνοιαν, μὴ ψιλοῖς λόγοις, ἀλλὰ αὐτοῖς πράγμασι πιστεῦσαι. Καὶ πρῶτον, μεταδώσειν αὐτοὺς τὴν ὁμολογίαν ἔγγραφον, καὶ κατησφαλισμένην τοῖς ἐν τῷ τρίτῳ κεφαλαίῳ λεγομένοις ἰδιώμασιν. Δεύτερον δὲ, διασείσειν πάντας τοὺς τῆς ἱερωσύνης βαθμοὺς, καὶ μάλιστα τὰς τῆς ἐπισκοπικῆς πρὸς τοὺς ἄλλους βαθμοὺς διαφορὰς, ὡς εἶναι τοὺς ἐπισκόπους ἀδιαφόρως πρεσβυτέρους, καθὼς ἡ Κυρίλλου μανία ὑπαινίττεται. Ἀλλὰ τοῦτο οὐδέποτε τοῖς ἀνατολικοῖς συμβέβηκεν, (οὔτε μὴν συμβήσεται σὺν Θεῷ σωτῆρι) ἐπειδὴ ἕως ἄρτι παρ' αὐτοῖς πραγματικῶς διαφέρουσιν οἱ τῆς ἱερωσύνης βαθμοί. Ἄρα μηδέποτε οἱ ἀνατολικοὶ τῇ Κυρίλλου μανίᾳ ἐπίστευσαν.

Ἔτι ἵνα μὴ ἔχωσιν ἑπτὰ τὰ μυστήρια, καὶ τῶν εὐκτηρίων οἴκων ἐκβάλλωσι τὰς ἁγίας εἰκόνας, καὶ τῷ σημείῳ τοῦ τιμίου σταυροῦ μὴ

κατασφραγίζεσθαι, τὰ τῶν ἁγίων λείψανα μὴ τιμᾷν, μήτε μὴν τούτους ὕμνοις καὶ ἑορταῖς δημοσίαις γεγαίρειν. Τῶν περὶ τῶν κεκοιμημένων μνημοσύνων καὶ εὐποιῶν ἀπέχεσθαι, καὶ τὴν ἁγίαν μυσταγωγίαν, ὡς αὐτοὶ οἱ ἀντίδικοι βούλονται, ἐπιτελεῖν.

Ἀλλ' οὕτω τὰ τοιαῦτα παρὰ τοῖς ἀνατολικοῖς ἐνηργήθη πώποτε· ὥστε οὐ μόνον ἁπλῶς ἑπτὰ εἶναι τὰ μυστήρια ὁμολογοῦσιν, ἀλλὰ καὶ δι' αὐτῶν καθαγιάζονται ὁσημέραι. Καὶ οὐ μόνον εὐκτήριος οἶκος, ἀλλ' οὐδὲ οἶκος τῶν τινὸς Χριστιανῶν ἐστιν ἄμοιρος εἰκόνων ἁγίων καὶ σημείων τοῦ ζωοποιοῦ σταυροῦ, ὃν καὶ κατὰ δαιμόνων ἔχουσιν ἀεὶ ὅπλον ἀκαταμάχητον. Καὶ οὕτω τιμῶνται παρ' αὐτοῖς τὰ ἅγια λείψανα, ὥστε καὶ ἐν πάσαις ταῖς ἀσθενείαις, ὡς ἐπὶ τὸ πολὺ τούτοις ἰατροῖς χρῶνται, καὶ τιμῶσιν αὐτοὺς ὡς θεράποντας τοῦ Θεοῦ· ὡς μαρτυρεῖ ἡ παρ' αὐτοῖς ὁσημέραι ᾀδομένη παρακλητικὴ, τὸ τριῴδιον καὶ τὰ δώδεκα μηναῖα. Ἀλλὰ καὶ περὶ μνημοσύνων οὕτω φιλοσοφοῦσιν, ὥστε πάντοτε καὶ κατ' ἐξοχὴν κατὰ πᾶν σάββατον καὶ ἡμέραν ἑορτάσιμον προσφέρουσι τῷ Θεῷ τὴν ἀναίμακτον θυσίαν ὑπὲρ πάσης ψυχῆς τῶν Χριστιανῶν εὐσεβῶν ζώντων καὶ τεθνεώτων, ἐλεημοσύναις τε καὶ θείοις ἀναθήμασιν ἐξιλεοῦνται τὸ θεῖον. Καὶ τέως εἰπεῖν οὕτω προσέχουσιν οἱ ἀνατολικοὶ τῇ πίστει τῶν λεγομένων κεφαλαίων, ὥστε, ὡς εἴρηται ἀνωτέρω, κατὰ διάμετρον ἐκείνῃ ἀντίκεινται, μηδαμῶς τῶν ἀποστολικῶν καὶ πατριαρχικῶν παραδώσεων ἀφιστάμενοι, ἄχρι καὶ τῶν ἐλαχίστων. Ἀδύνατον ἄρα τοὺς ἀνατολικοὺς εἰδέναι τὴν Κυρίλλου ὁμολογίαν.

Ἐχόμενον δ' ἐστὶν εἰπεῖν, καὶ περὶ τοῦ ἑτέρου μέρους, ὅτι εἰ τυχὸν δοτέον τοὺς ἀνατολικοὺς πεπιστευκέναι ποτὲ, ὡς οἱ ἀντικείμενοι βούλονται, ἀδύνατον αὐτοὺς εἶναι Χριστιανούς. Τῷ γὰρ πιστεύοντι τρία τινὰ μάλιστα ἀναγκαίως συμβαίνει· καρδίας πίστις ἀναμφίβολος εἰς δικαιοσύνην, στόματος ὁμολογία εἰς σωτηρίαν, καὶ ὁ καρπὸς τῆς πίστεως καὶ τῆς ὁμολογίας· ἅτινά ἐστι τὰ θεάρεστα ἔργα τοῦ κατὰ Χριστὸν βίου.

Οἱ οὖν ἀνατολικοὶ πιστεύοντες, ὡς ἡ Κυρίλλου βούλεται ὁμολογία, λόγοις μὲν οὐκ ἐπίστευσαν, ἐπειδὴ καὶ ἕως τῆς ὥρας ταύτης πᾶν τοὐναντίον τῇ ἐν τοῖς κεφαλαίοις πίστει ὁμολογοῦσιν.

Ἀλλ' οὐδὲ ἔργοις αὐτοῖς πώποτε Καλουΐνοις ἐοίκασιν οἱ ἀνατολικοὶ, ὡς εἴρηται ἀνωτέρω· ἄρα καρδίᾳ μόνῃ (ῥητέον γάρ τι νεανικώτερον πρὸς τοὺς ταῖς φρεσὶ νηπιάζοντας Καλουΐνους) τοῖς αἱρετικοῖς συνεφώνησαν, καὶ τὴν τῶν κεφαλαίων πίστιν ἐκδεδώκασιν. Εἰ δὲ ἀληθὲς τοῦτο, ἀδύνατον αὐτοὺς εἶναι Χριστιανοὺς, ἐπειδὴ ὁ ἄλλα μὲν πιστεύων τῇ καρδίᾳ, ἄλλα καὶ ὁμολογῶν τῷ στόματι, καὶ τοῖς ἔργοις, (οἷον συμβέβηκε γεγονέναι, ὡς ὑπετέθη, τὸν Κύριλλον) ἀναποδείκτως ἀνάξιος καὶ αὐτῆς τῆς Χριστιανοῦ προσηγορίας, μὴ ὅτιγε τῆς τοῦ Χριστοῦ μερίδος. Τούτῳ γὰρ τῷ προσώπῳ καὶ Ἰούδας πιστεύσας, καὶ προφανῶς μὲν ὢν μαθητὴς, κρυφίως δὲ προδότης, τῷ αἰωνίῳ παρεπέμφθη πυρί.

Ἀλλὰ καὶ τοῦτο ἀδύνατον. Ἀνθρώπους γὰρ ὄντας ἡμᾶς, πῶς ἂν ἄλλως τὰ ἐν τῇ ψυχῇ κοινωνήσαμεν ἀλλήλοις, εἰ μὴ διὰ φωνῶν ἐσθ' ὅτε καὶ σημείων· ἀλλὰ τοῦτο προαποδέδεικται τοὺς ἀνατολικοὺς πάντοτε

πιστεύειν καὶ ὁμολογεῖν, τῇ τε φωνῇ καὶ τοῖς σημείοις ἐνάντια τῇ Κυρίλλου ὁμολογίᾳ ἄρα καὶ τῇ καρδίᾳ.

Ἔτι οἱ ἀνατολικοὶ εἴπερ τῇ καρδίᾳ ἐνέδωκαν Καλουΐνοις, ἔδει αὐτοὺς, εἰ μὴ καὶ τῷ στόματι καὶ τοῖς ἔργοις, διατὶ ἐμπόδιον, μὴ συμφωνεῖν ἐκείνοις, κἂν μὴ κατ' ἐκείνων φέρεσθαι ἀσυμπαθῶς. Ἀλλ' οὕτω κατ' ἐκείνων φέρονται, ὥστε καὶ τῇ μετὰ τὴν ἐνδεκάτην τοῦ Ὀκτωμβρίου μηνὸς κυριακῇ, καὶ ἐν ἑκάστῃ τῆς μεγάλης τεσσαρακοστῆς κυριακῇ πρώτῃ, (ἣν καὶ Ὀρθοδοξίαν ἐπωνύμως τῇ σημασίᾳ καλοῦσι) ἀναθέματι τοὺς εἰκονομάχους καὶ τοὺς εἰκονικῶς, ἢ ὁμοιοματικῶς, ἢ τροπικῶς, καὶ μεταφορικῶς, καὶ μὴ πραγματικῶς καὶ ἀληθῶς μεταβάλλεσθαι τὸν τῆς εὐχαριστίας ἄρτον καὶ οἶνον μετὰ τὸν ἁγιασμὸν, εἰς τὸ ἀληθὲς τοῦ κυρίου σῶμα καὶ αἷμα ἀποφαινομένους καθυποβάλλουσι.

Εἰ δὲ δοκεῖ κείσθωσαν κἂν ταῦτά τινα τῶν ἐν ταῖς εἰρημέναις ἑορταῖς λεγομένων.

Κυριακῇ μετὰ τὴν ἑνδεκάτην τοῦ παρόντος (δηλαδὴ τοῦ Ὀκτωμβρίου) μηνὸς μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῆς ἑβδόμης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, ἐπὶ καθαιρέσει καὶ ἀνατροπῇ τῶν ἀθέων δογμάτων, τῶν μισοχριστῶν, καὶ χριστιανοκατηγόρων, εἰκονομάχων, τοῦ τε Κοπρωνύμου καὶ τῶν αὐτῷ συμφρονούντων ἐπισκόπων, καὶ ἀνιέρων ἀρχιερέων, καὶ τοῦ αὐτοῦ ἀθέσμου καὶ ἐξαγίστου συνεδρίου. Καὶ τὰ μὲν τῆς ἑορτῆς ταύτης ἀρκεῖ ἡ ἐπιγραφὴ καὶ μόνη δηλῶσαι, ὁποῖα ἐν ταύτῃ τὰ κατὰ τῶν αἱρετικῶν φιλοσοφούμενα τῇ ἐκκλησίᾳ.

Ἐκ δὲ τῆς Ὀρθοδοξίας ὀλίγα τινὰ μετὰ τὴν ἐπιγραφὴν ἐκτιθέσθω· (Ἔστι δὲ τοῖς βουλομένοις τὰ λεγόμενα πάντα ἐν ταύτῃ τῷ Τριῳδίῳ ἐντυχοῦσιν εἰδέναι.)

Τοῖς τὴν καθ' ἑκάστην προσαγομένην θυσίαν, ὑπὸ τῶν παραλαβόντων ἀπὸ Χριστοῦ τὴν τῶν θείων μυστηρίων ἱερουργίαν, μὴ δεχομένοις τῇ ἁγίᾳ τριάδι προσάγεσθαι, ὡς ἀντιφθεγγομένοις ἐντεῦθεν τοῖς ἱεροῖς καὶ θείοις πατράσιν,

Ἀνάθεμα τρίς.

Τοῖς ἀκούουσι μὲν τοῦ σωτῆρος περὶ τῆς παρ' αὐτοῦ παραδοθείσης τῶν θείων μυστηρίων ἱερουργίας λέγοντος· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· μὴ ἐκλαμβανομένοις δὲ ὀρθῶς τὴν ἀνάμνησιν, καὶ διὰ τοῦτο ἄλλην εἶναι ταύτην παρὰ τὴν ἐξ ἀρχῆς τῷ σωτῆρι τετελεσμένην εἰσάγουσι, καὶ πρὸς ἐκείνην φανταστικῶς καὶ εἰκονικῶς ἀναφερομένοις, ὡς κενοῦσι τὸ τῆς φρικτῆς καὶ θείας ἱερουργίας μυστήριον, δι' οὗ τὸν τῆς μελλούσης ζωῆς ἀῤῥαβῶνα λαμβάνομεν· καὶ ταῦτα τοῦ θείου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσορῥήμονος διατρανοῦντος τῆς θυσίας τὸ ἀπαράλλακτον, καὶ μίαν καὶ τὴν αὐτὴν εἶναι φάσκοντος ἐν πολλαῖς τῶν τοῦ μεγάλου Παύλου ῥητῶν ἐξηγήσεων,

Ἀνάθεμα τρίς.

Τῷ φρυαξαμένῳ συνεδρίῳ κατὰ τῶν σεπτῶν εἰκόνων,

Ἀνάθεμα τρίς.

Τοῖς ἐκλαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις κατὰ τῶν εἰδώλων εἰς τὰς σεπτὰς εἰκόνας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῶν ἁγίων αὐτοῦ,

Ἀνάθεμα τρίς.

Τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας,

Ἀνάθεμα τρίς.

Τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ Χριστιανοὶ ταῖς εἴκοσι προσῆλθον,

Ἀνάθεμα τρίς.

Τοῖς τολμῶσι λέγειν, τὴν καθολικὴν ἐκκλησίαν εἰδωλά ποτε δεδέχθαι, ὡς ὅλον τὸ μυστήριον ἀνατρέπουσι, καὶ τὴν Χριστιανῶν ἐνυβρίζουσι πίστιν,

Ἀνάθεμα τρίς.

Εἴ τις τῆς χριστιανοκατηγορικῆς αἱρέσεως ὄντα τινὰ, ἢ ἐν αὐτῇ τὸν βίον ἀποῤῥήξαντα διεκδικεῖ,

Ἀνάθεμα τρίς.

Εἴ τις οὐ προσκυνεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν εἰκόνι περιγραπτὸν κατὰ τὸ ἀνθρώπινον ἦθος,

Ἀνάθεμα τρίς.“ —

Εἰ οὖν ταῦτα καὶ τὰ τοιαῦτα παρὰ τῶν Γραικῶν φιλεῖται, στέργεται, ὁμολογεῖται, καὶ ὁσημέραι δημοσίως ᾄδεται· μηδενί ποτε τρόπῳ Καλουΐνοις, ἐν οἷς ἐκεῖνοι ἐγκαυχώμενοι λέγουσιν, ἐκοινώνησαν.

Ἔτι εἰ τοιοῦτόν τι συμβέβηκε τῇ ἀνατολικῇ ἐκκλησίᾳ, τὸ ἐμπόδιον οὐδὲν ἕτερον ἂν ἦν, εἰ μή τις φόβος· ὄντος δὲ σχεδὸν τοῦ φόβου διττοῦ, ἢ πνευματικοῦ δηλονότι, ἢ σωματικοῦ. Εἰ μὲν ὁ φόβος τῶν ἀνατολικῶν ἦν θεῖος καὶ πνευματικὸς, ἀδύνατον αὐτοὺς ὀρθῶς ἐν ἅπασι μὴ ὡμολογηκέναι. Ὅποῦ γὰρ θεῖος φόβος, οὐ δεῖ ἕτερα μὲν πιστεύειν, ἕτερα δὲ ὁμολογεῖν. Ἄθλιον γάρ. Εἰ δὲ ὁ φόβος ἦν ἀνθρώπινος, καὶ διά τινα δηλαδὴ φόβον ἀνθρώπων, τὰ ἐν τῇ καρδίᾳ μὴ δύνασθαι παῤῥησίᾳ κηρύττειν, ὡς ξυμβαίνει τοῖς καταράτοις καὶ ἀλιτηρίοις ἐν Ἱσπανίαις εὑρισκομένοις Ἰουδαίοις, ἀλλὰ καὶ τοῦτο τῇ ὀρθοδόξῳ τῶν Χριστιανῶν πίστει ἀνοίκειον. Ὁ γὰρ προκρίνων τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον τῆς δόξης τοῦ Θεοῦ, οὐδ' ὅλως δύναται εἶναι Χριστιανός. Ἀλλὰ οὔτε ἴδιον τουτὶ τὸ πλημμέλημα τοῖς ἀνατολικοῖς. Ἐπειδὴ εἰ ἦν τοῦτο δύνατον παρ' αὐτοῖς, ἦν ἂν δύνατον καὶ τῇ καρδίᾳ μὲν εἶναι Χριστιανοὺς, τῷ στόματι δὲ καὶ τοῖς σημείοις ἓν εἶναι αὐτοὺς ἐν τῇ πίστει μετὰ τῶν κρατούντων. Οὕτω γὰρ ἂν καὶ τῶν δεινῶν ἃ ὑποφέρουσιν ἦσαν ἀπηλλαγμένοι. Ἀλλὰ τοῦτο ἀδύνατον τοὺς ἀνατολικοὺς οὐδ' εἰς ἔννοιαν λαβεῖν, ἄρα κἀκεῖνο ἀδυνατώτερον. Ἀσέβεια γὰρ

ἀσεβείας εἰ καὶ δοκεῖ διαφέρειν, ἀλλ᾽ εἰς ἓν τέλος ἄγουσιν ἀμφότεραι τοὺς οἰκείους, εἰς τὴν αἰώνιον κόλασιν δηλαδή, καὶ διὰ τοῦτο πᾶσαν ὀπωσοῦν ἀσέβειαν, ὡς πρόξενον τιμωρίας ἀτελευτήτου, φευκτέον τὸν θέλοντα σωτηρίας τυχεῖν.

Ἔπειτα τίς φόβος παρὰ τῶν κρατούντων τοῖς τε ἐγγὺς τοῦ Εὐξείνου Πόντου, καὶ τοῖς παρὰ τῇ Κασπίᾳ Ἰβηρσὶ καὶ τοῖς Κολχοῖς; τίς φόβος τοῖς οἰκοῦσι τὸν Καύκασον Λέκοις, καὶ τοῖς Ζηνύχοις, καὶ κοινῶς λεγομένοις Ἀπχάζοις, ὧν οἱ μὲν παντάπασιν οἷον Ἴβηρες καὶ Κολχοὶ, οἱ δὲ πλείους οἷον οἱ ἀριθμηθέντες λοιποὶ ὀρθοδοξοῦσι; τίς φόβος τοῖς τὴν μεγάλην καὶ μικρὰν καὶ λευκὴν Ῥωσίαν, καὶ τὴν πανευδαίμονα βασιλείαν Μοσχοβίας οἰκοῦσιν, ἀπὸ Πολωνίας ἕως τῶν ἀνατολικωτάτων ἐθνῶν, καὶ ἀπὸ Γοτθίας εἴτουν Σφετζίας ἕως Οὔνων καὶ Κασπίας οἰκούντων, καὶ ἀπὸ Τύρβα, ὃν καὶ Νίστρον καλοῦσι κοινῶς, καὶ τῆς Ταυρονήσου ἢ Χερσῶνος ἕως ὠκεανοῦ; Τίς φόβος τοῖς ἐν τῇ Πολωνίᾳ, καὶ τοῖς οὖσιν ἐν ταῖς νήσοις, Ἐνετίῃσι, Λιβύῃ καὶ Περσίδι τέκνοις τῆς ἀνατολικῆς ἐκκλησίας, οἳ πάντες καὶ τοῖς κρατοῦσι τῶν ἀνατολικῶν ἀνυπότακτοι, καὶ ἡμῖν σύμφωνοι ἐν τοῖς περὶ πίστεως, ἵνα εἰ τὴν τῆς ἀπωλείας ταύτην τῶν ἀντικειμένων δόξαν εὐσεβῆ ᾔδεσαν, μὴ πιστεῦσαι; Ἢ τάχα οἱ καλοὶ οὗτοι ἄνδρες νομίζουσιν, ἡμᾶς ἐν τοῖς περὶ πίστεως οὕτως ἀδεῶς βιάζεσθαι παρά τινων, ὡς αὐτοὶ οὗτοι ποιοῦσι τοῖς ἐν Οὐγκαρίᾳ ἀδελφοῖς ἡμῶν, οὓς ὁσημέραι ταλαιπωροῦσι τρόποις παντοίοις, ἵν᾽ ἐκείνοις προστεθῶσι· καὶ ποτὲ μὲν ὁρίζονται τὸν προορισμὸν εἶναι προαιώνιον τοῦ Θεοῦ βούλησιν, ἵν᾽ οὗτος μὲν δικαιωθῇ, οὗτος δὲ ἀναιτίως κατακριθῇ· ποτὲ δὲ ὡς τύραννοι καὶ τοῦ εὐαγγελίου ἀντίδοξοι τυραννοῦσι τοὺς εὐσεβεῖς προστεθῆναι τῇ ἐκείνων ἀπονοίᾳ, μηδενὶ θεμελίῳ ἱστάμενοι, ἀλλ᾽ ὡς νεφέλαι ἄνυδροι συμπεριφερόμενοι τῷ ἰδίῳ αὐτῶν προστάτῃ, ἵνα μὴ λέγωμεν τῷ σατανᾷ. Εἰ οὖν οἱ τῶν ἀνατολικῶν κρατοῦντες οὐ βιάζουσιν οὕτως ἀδεῶς τοὺς ἀνατολικοὺς ἐξομιώσασθαι τὴν εὐσέβειαν, οἱ δὲ κατήγοροι βιάζουσι, πολλῷ φιλανθρωπότεροι ἐκείνων οὗτοι. Καὶ οὐδεὶς φόβος ἡμῖν μὴ ὁμολογεῖν ὃ βουλόμεθα.

Ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ἀφ᾽ ἑξακοσίων ἐτῶν τῆς σωτηρίας ἕως χιλίων τετρακοσίων καὶ τριάκοντα ἐπορθεῖτο κατὰ μέρος ἡ Ῥωμαίων γῆ παρὰ τῶν κρατούντων, καὶ νῦν εἰσέτι κρατεῖται καὶ ταλαιπωρεῖται σύμπασα, ὡς μηδέποτε τεταλαιπώρηται παρά τινος ἀρχῆς ἐν τοῖς ἐξωτερικοῖς πράγμασι μηδὲν γένος ὑπήκοον. Ἀλλ᾽ οὕτως εἰσὶν ἀνώτεροι τοῦ φόβου καὶ τῶν ἀπειλῶν, ὥστε συμβέβηκεν αὐτοὺς λάμπειν ὡς μάρτυρας, οὐ καθ᾽ ἡμέραν, ἀλλὰ καὶ καθ᾽ ὥραν καὶ στιγμὴν, καὶ οὕτω προσπαίζουσι τῇ καταίγιδι ταύτῃ, ἣν οἱ ἀντίδικοι μόνῃ ἀκοῇ καὶ φρίττουσι καὶ θαυμάζουσιν· ὥστε καὶ χαρὰν ἡγοῦνται τὸ θλίβεσθαι ὑπὲρ Χριστοῦ, φιλοσοφοῦντες ἐν τοῖς παθήμασι τοῦ Χριστοῦ καὶ κοινωνοὶ γινόμενοι διὰ τῆς ὑπομονῆς τοῖς τε ἀποστόλοις, προφήταις καὶ μάρτυσι, ἐν οἷς καὶ τὸ τοῦ Δαβὶδ πληροῦται· Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· καὶ· Ἐξήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Ἐπειδὴ τοίνυν οὐδὲν τὸ κωλύον τοὺς ἀνατολικοὺς πιστεύειν καὶ ὁμολογεῖν, ὡς βούλονται, ἀδύνατον καὶ τὸ προβληθὲν, ὅτι ἄλλα μὲν ὡμολογήκεισαν διὰ στόματος καὶ σημείων, ἄλλα δὲ ἐπίστευσαν τῇ καρδίᾳ· ἀλλὰ καρδίᾳ καὶ στόματι καὶ σημείοις μόνην τὴν ἀρχῆθεν τῆς καθολικῆς ἐκκλησίας δόξαν ἐπίστευσαν, πιστεύουσι καὶ ὁμολογοῦσι, δι' ἧς καὶ θάνατον χαίρουσιν ὑπομένειν, καὶ ἀνώτεροί εἰσι τῆς κατηγορίας τῶν ἐναντίων.

Κεφάλ. 5.

Οὐ μόνον δὲ τοῦτο ἀδύνατον, ὅτι συνεφώνησαν Καλουΐνοις οἱ ἀνατολικοὶ ὁποίῳ δήποτε τρόπῳ πώποτε, ἀλλὰ πρὸς τῇ κατ' ἔτος ἀποποιήσει τῶν εἰκονομάχων καὶ ἀρνησομυστηρίων καὶ τὴν πίστιν ἐπὶ ψιλοῖς ῥήμασιν ἔχουσι, καὶ κατὰ Κυρίλλου δὶς συνοδικῶς ἐζήλωσαν ζῆλον κυρίῳ παντοκράτορι. Κύριλλον γὰρ ἐπιβιώσαντα μετὰ τὸν τύπον τῶν κεφαλαίων χρήματι ἐτῶν ἓξ, καὶ ἀποφαινόμενον μεθ' ὅρκου μὴ εἶναι ἐκεῖνον τὸν τῶν κεφαλαίων πατέρα, μήτε μὴν τὴν ἐν τοῖς κεφαλαίοις πίστιν πρεσβεύειν, καὶ τέως τἀναντία τοῖς κεφαλαίοις διδάσκοντα ἐπ' ἐκκλησίας, μόνον ὅτι οὐ συνέγραψε κατ' αὐτῶν, προφασιζόμενος, ὅπερ ἴσως ἀληθὲς μὲν ἦν, οὐκ ἀνύποπτον δὲ καὶ ἀνάξιον ὀρθῆς ὑπολήψεως ἀληθοῦς ποιμένος· ὅτι δηλαδὴ τὰ κεφάλαια ἐκεῖνα πάσης συστάσεως, τοῦ εἶναι Κυρίλλου ἔκθεσιν ἢ τῆς ἀνατολικῆς ἐκκλησίας ὁμολογίαν, ὑστέρηνται· ἐν οἷς δὲ οὐ χρεία κατεπείγουσα καθοπλίζεσθαι, παρὰ τῶν πατέρων κεκώλυται. Ταῦτα μὲν ἴσως ὀρθῶς εἴρηκεν, ὀρθότερον δ' ἦν αὐτὸν μνησθῆναι, ὅτι καὶ μικρὸς σπινθὴρ ἀνάπτει πολλὴν φλόγα.

Ἐπειδὴ ἐν τῇ θεολογίᾳ μάλιστα μικρὰς μετακινουμένης ἀρχῆς πολλὰ εἴωθε συμμεταβάλλειν τῶν μετὰ τὴν ἀρχήν· ἔδει λοιπὸν αὐτὸν τὸν σκοπὸν τῶν πατέρων εἰδέναι κωλύοντα ἔκθεσιν πίστεως συνεχῶς ἐκτίθεσθαι, καὶ τὸν βουλόμενον συγγράφειν περὶ ὁτουοῦν τῶν τῆς πίστεως ἀκαίρως, ἐξ ὧν πολλὰ τὰ ἄτοπα ἕπεται, ὡς ἔστιν καὶ ἡ ἔκθεσις τῶν κεφαλαίων αὐτοῦ τοῦ Κυρίλλου, (ὡς ὑπετέθη) μὴ ἐμποδὸν δὲ εἶναι τοῦ, ἐπειδὰν χρεία ἑτοίμους ἡμᾶς δεῖν εἶναι, σάλπιγγος ἠχούσης τρανώτερον φθέγγεσθαι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. Καὶ εἴ που αὐτῷ Κυρίλλῳ δυσειδὲς ἦν τὸ κοπιάσαι ὑπὲρ Χριστοῦ, ἀλλὰ κἂν ἐν ὀλιγίστοις συγγράψαι κατὰ τῶν ἐχθρῶν ἐχρῆν· ὥς που καὶ Βασίλειος ὁ μέγας συκοφαντηθεὶς, εἰ καὶ μὴ κατὰ τῶν κατηγόρων συνέγραψεν ἐν πολλοῖς, ἀλλ' οὖν ἐν μιᾷ πρὸς ὀρθόδοξον ἀδελφὸν ἐπιστολῇ ἀπελογήσατο. Σύνηθες γὰρ τοῖς ἀνθρώποις, σχεδὸν μὴ οὕτω προσέχειν τοῖς λεγομένοις ὡς παναλήθεσιν, ὡς τὰ γραφόμενα δέχεσθαι πρὸς μαρτυρίαν ἐν τοῖς τοιούτοις τοῦ, ὁποῖος ὁ κατηγορούμενος. Καίτοι λοιπὸν ἀποφαινόμενον Κύριλλον, ὃν τρόπον εἴρηται, μηδεμίαν ὅλως ἔχειν εἴδησιν τῶν κεφαλαίων, μόνον διὰ τὸ μὴ κατ' ἐκείνων συγγράφειν ἐθελῆσαι, ὁ τῶν ἀνατολικῶν ζῆλος προδότην ἡγησάμενος, δὶς ὑπὸ συνόδων πληρεστάτων ἀνεθεμάτισε σὺν τοῖς κεφαλαίοις, ἐφ' οἷς καὶ εἴ τι ἐδόκει εὐσεβὲς εἶναι, πρὸς ἀπάτην ἦν, καὶ ὕπουλον πρὸς ἁρπαγὴν τῶν ἁπλουστέρων, ὃν τρόπον φασὶ ποιεῖν ταῖς ναῦσιν αἱ ὕφαλοι τῶν πετρῶν.

Μηδὲ γὰρ ὡς ἐφ' ἁγίῳ ἐγκαυχάσθωσαν Κυρίλλῳ οἱ ἀντίδικοι, ὅτι οὐ πεφόνευται ἀδίκως, ὡς οὗτοι χαίρουσι λέγειν, ἢ ἕνεκα τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἵνα καὶ τοιοῦτος νομισθείη, ἀλλ' ἀμέτρως κεκτημένος τῆς φιλαρχίας τὸ ἔγκλημα, ὃ καὶ νόσον τοῦ Ἑωσφόρου ὁ μέγας οἶδε Βασίλειος, τοὺς παρανόμως, ἐπὶ τῇ πρώτῃ τῇ δοκούσῃ νομίμῳ, καταδυναστεύσας τοῦ θρόνου Κωνσταντινουπόλεως, μετὰ μυρίων ἐξόδων καὶ ταλαιπωριῶν τῶν ἐκκλησιαστικῶν (τῇ τῶν ἔξω ἀπληστίᾳ καὶ τῇ τοῦ Φιλάντρας πρεσβέως συμμαχίᾳ χρώμενος, δι' ὃν καὶ ἐν ὑποψίᾳ μᾶλλον ἐγένετο τῇ ἐκκλησίᾳ) τὸν ἐπονείδιστον ἐκεῖνον εἵληφε θάνατον. Ὃν τοιαῦτα περὶ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ πεπραχότα, εἰ καὶ εὐσεβῆ συμβέβηκεν εἶναι, ὡς ἁμαρτωλὸν εἴχομεν, καὶ ἁμαρτωλὸν τοιοῦτον, ὃς δίκας τίσειν ἔμελλεν παρὰ τῷ Θεῷ ἕνεκα τῶν κακῶν, ἃ τῇ ἐκκλησίᾳ εἰργάσατο ἀδεῶς· νῦν δὲ καὶ ἀσεβείας γενόμενον πατέρα, ὡς οἱ ἐναντίοι διϊσχυρίζονται, οὐχ ἅγιον, ἀλλ' ἄθλιον, καὶ ὡς μὴ ἔχοντα ὅλως μετὰ Χριστοῦ μερίδα γινώσκομεν.

Ἐκτίθεται δὲ κἀνταῦθα καὶ τὰ τῶν συνόδων πρακτικὰ μεταγραφέντα ἐκ τοῦ καθ' ἡμᾶς κώδικος εἰς πίστωσιν τῶν εἰρημένων, αἷς καὶ αὐτοὶ συμφωνοῦμεν ἐν ἅπασι.

ΨΗΦΟΣ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΥΝΟΔΟΥ ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΤΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΛΟΥΚΑΡΕΩΣ ΤΟΥ ΠΑΡΑΧΩΡΗΣΕΙ ΘΕΟΥ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΟΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

Πάντων μὲν τῶν κοινῇ συντελούντων τοὺς πεπιστευμένους τοῦ πῶς δεῖ φέρεσθαι οἴακας φροντίδα ποιεῖν, διαφερόντως δὲ τῶν εἰς εὐσέβειαν ἡκόντων θεσμὸς πατρῷος· μᾶλλον δὲ Θεοῦ, τοῦ ἐν προφήταις τὸ τοῦ ποιμνίου δεινὸν ὑπ' ἀμελείας γεγονὸς ἀπειλοῦντος ἐκ τῶν ποιμένων ἐκζητῆσαι χειρῶν πρόσταγμα. Ἐλέγχειν τοίνυν καὶ στηλιτεύειν εἰκὸς τὸ κακὸν, ἵνα μὴ ὑπ' ἀπειρίας ὡς ἀγαθοῦ, τούτου ἀντέχωνται οἱ ἁπλούστεροι· καὶ ταῦτα ὁ τόδε προστιθέμενος οὐ γυμνὸν, ἀλλ' ὡς ἀγαθὸν, κουφολογίαις τισὶ καὶ δολίοις προστίθεται παραπετάσμασι. Τοιαῦτα γὰρ τοῦ ἀρχεκάκου ἐχθροῦ ἀρχῆθεν ἦν, καὶ τῶν αὐτοῦ ὀπαδῶν τὰ μηχανήματα. Ἐπειδὴ οὖν τοιοῦτος ἦν ἐν τοῖς δόγμασιν ὁ θανατηφόρου ἰοῦ μεμεστωμένος ὁ περὶ τὰ καίρια ἀνιάτως νοσήσας, καὶ ἀθέως τε καὶ ἀθέσμως πατριαρχεύσας πρὸ ὀλίγου ἐν Κωνσταντινουπόλει Λούκαρις Κύριλλος· (οὐ μόνον γὰρ ξένα τοῦ ὀρθοῦ ἐφρόνει λόγου τῆς πίστεως, ἀλλὰ καὶ κακούργως ὑπεκρίνετο πρὸς τοὺς μὴ ἀρτίους τὴν φρένα, καὶ βεβηκότας τὸν νοῦν, ὁμολογεῖν τὰ ἔκπαλαι ὀρθὰ τῆς ἀμώμου ἀνατολικῆς ἐκκλησίας διδάγματα· ὥστε ἐκ τοιαύτης συνέβαινεν ὑπουλότητος προστρίβεσθαι τὸ αἶσχος τῆς οἰκείας ἀπάτης τῷ ὀρθῷ λόγῳ τῆς πίστεως·) κατεπειγούσῃ ἀνάγκῃ οἱ νῦν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων θείᾳ προνοίᾳ τυχόντες, ὡς περὶ τῶν τοιούτων δοῦναι λόγον μέλλοντες, Πατριάρχαι καὶ τῶν λοιπῶν Ἀρχιερέων χόρος, δεῖν ᾠήθημεν κατὰ τὸν τῶν ἱερῶν καὶ πνευματεμφόρων πατέρων τῶν κατὰ καιροὺς

ἀναγκαίους ἐν συνόδοις διαπρεψάντων θεσμὸν καὶ τύπον, δημοσιεῦσαι τοῦτον τοῖς πᾶσι, καὶ ἀναθέματι καθυποβαλεῖν· καὶ ἔτι (ἵνα μὴ τὸ ἀκριβὲς τῆς ἀληθείας ὑπό τινων ἀτάκτως περιηχούντων διακρούηται) τῷ αὐτῷ δεσμῷ παραδοῦναι τοὺς ὡς εὐσεβεῖς ἀποδεχομένους τὰς αὐτοῦ εἰκαιολογίας.

Κυρίλλῳ τοὐπίκλην Λουκάρει τῷ πᾶσαν τὴν τοῦ Χριστοῦ ἀνατολικὴν ἐκκλησίαν ἐν τῇ τῶν παρανόμων αὐτοῦ κεφαλαίων ἐπιγραφῇ Καλβινοφρονοῦσαν συκοφαντήσαντι, Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι τὴν τοῦ Χριστοῦ ἁγίαν ἐκκλησίαν ἐνδεχόμενον εἶναι ψεύδεσθαι· — φησὶ γὰρ ἐν τῷ δευτέρῳ αὐτοῦ κεφαλαίῳ, ταύτην μὴ ὑπὸ τοῦ ἁγίου πνεύματος διδάσκεσθαι, ἀλλ' ὑπ' ἀνθρώπου· καὶ τὸν ἄνθρωπον ἐνδεχόμενον ἁμαρτῆσαι ἐξ ἀγνοίας καὶ ἀπατῆσαι καὶ ἀπατηθῆναι· ἐν δὲ τῷ δωδεκάτῳ τῶν αὐτῶν κεφαλαίων· ἀληθὲς καὶ βέβαιόν ἐστιν ἐν τῇ ὁδῷ δύνασθαι ἁμαρτῆσαι τὴν ἐκκλησίαν, καὶ ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος ἐκλέγεσθαι. Ἐπεὶ ἐκ τοιούτων ἐρεσχελιῶν, μᾶλλον δὲ ἐκ τοιαύτης σαφοῦς μανίας, ἀναγκαίως ἂν συμπεράνθείη, τὸν θεάνθρωπον Ἰησοῦν, τὴν αὐτοαλήθειαν, ψεύδεσθαι, καὶ μεθ' ἡμῶν, ἤτοι μετὰ τῆς ἐκκλησίας, ἕως τῆς συντελείας τοῦ αἰῶνος μὴ διατελεῖν, ὡς ὑπέσχετο· καὶ τὸ τοῦ Θεοῦ πνεῦμα μὴ λαλεῖν ἐν αὐτῇ, καὶ πύλας ᾅδου (δηλαδὴ αἱρέσεις ἀθέων)· κατισχύειν τῆς ἐκκλησίας· καὶ πρὸς τούτοις ἀμφιβάλλειν καὶ ἐνδοιάζειν ἕκαστον, εἰ ἀληθὲς τὸ ἀνὰ χεῖρας θεῖον εὐαγγέλιόν ἐστι τὸ ἐκ πνεύματος ἁγίου, ἅτε ὑπὸ τῆς ἐκκλησίας παραδοθέν, καὶ μὴ ἕτερον. Ἐνδεχόμενον γὰρ, φησὶν, ἀπατῆσαι καὶ ἀπατηθῆναι τὴν ἐκκλησίαν καὶ ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος ἐκλέγεσθαι. Τῷ τοιούτῳ, φαμέν, παγκακίστῳ αἱρετικῷ Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, τοὺς μὲν τὸν ἀγαθὸν Θεὸν πρὸ καταβολῆς κόσμου ἐκλέξαι εἰς δόξαν καὶ προορίσαι ἔργων χωρὶς, τοὺς δὲ πρὸ τοῦ τὸν αἰῶνα γενέσθαι ἀποβεβληκέναι αἰτίας χωρὶς, καὶ μηδαμῶς τὰ ἔργα ἀρκετὰ εἶναι ἀντιμισθίαν αἰτῆσαι ἐν τῷ τοῦ Χριστοῦ βήματι, ὡς ἀρίδηλον ἐν τῷ τρίτῳ καὶ τρισκαιδεκάτῳ αὐτοῦ κεφαλαίοις· ἐπεὶ συμβαίνει ἢ αἴτιον τὸν Θεὸν κακοῦ εἶναι καὶ ἄδικον, ἢ μὴ δύνασθαι πάντας τοὺς ἐπὶ τῷ αὐτῷ παραπτώματι τοῦ Ἀδὰμ ὑπευθύνους σῶσαι· καὶ πρὸς τούτοις ψεύδεσθαι τὰ εὐαγγέλια· ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· καὶ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, λέγοντα· καὶ τὸ τοῦ Χριστοῦ στόμα Παῦλον, καὶ τὸν τοῦ Χριστοῦ ἀδελφὸν Ἰάκωβον· τὸν μὲν μὴ τοὺς ἀκροατὰς τοῦ νόμου, ἀλλὰ τοὺς ποιητὰς δικαίους εἶναι νομοθετοῦντα· τὸν δὲ, τὴν πίστιν χωρὶς ἔργων εἶναι νεκράν· Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι ἐσκιασμένως ἄγαν καὶ δολίως ἐν τῷ ὀγδόῳ αὐτοῦ κεφαλαίῳ, μὴ τοὺς ἁγίους μεσίτας καὶ πρέσβεις ὑπὲρ ἡμῶν πρὸς Θεὸν εἶναι· τῷ λέγειν μεσίτην μόνον τὸν Ἰησοῦν, καὶ μόνον κήδεσθαι τῶν ἰδίων, ὡς ἀναιρέτῃ πολλῶν λογίων τοῦ πνεύματος (φησὶ γὰρ ὁ Θεός· ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ Δαβὶδ τὸν παῖδά μου. Καὶ οἱ ἐν καμίνῳ εὐαγεῖς παῖδες· μηδὲ παραδώῃς ἡμᾶς εἰς τέλος, δι' Ἀβραὰμ τὸν ἠγαπημένον ὑπό σου, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν

σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου. Καὶ Πέτρος δέ φησι· σπουδάσω δὲ καὶ ἑκάστοτε, ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνείαν ποιεῖσθαι. Πῶς γὰρ σπουδάσει μετὰ τὴν ἔξοδον, εἰ μὴ πρεσβεύων καὶ πρὸς Θεὸν δεόμενος; ἀλλὰ καὶ ὁ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενίκης ἑβδόμης συνόδου τῆς ἐν Νικαίᾳ ὅρος νομοθετεῖ, ἁπάσας τὰς ἐκκλησιαστικὰς ἐγγράφως καὶ ἀγράφως τεθεσπισμένας ἡμῖν παραδόσεις ἀκαινοτομήτως φυλάττειν ἐν ἐπιτιμίῳ ἀναθέματος, ὧν ἐστὶ μία καὶ ἡ τῶν ἁγίων ἐπίκλησις.) Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, μὴ πάντα ἄνθρωπον αὐτεξούσιον εἶναι, ὡς ἐναργὲς ἐν τῷ δεκάτῳ αὐτοῦ τετάρτῳ κεφαλαίῳ· ἀλλὰ ἐξουσίαν ἔχειν ἕκαστον ἁμαρτίαν ποιεῖν, ἀγαθὸν δὲ μηδαμῶς· ὡς ἀναιροῦντι τὰς προφητικὰς καὶ εὐαγγελικὰς θεσπεσίας φωνὰς τοῦ πνεύματος· Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου· καὶ· Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν· Λεῦτε πρός με πάντες, καὶ τὰ ὅμοια· πρὸς τούτοις τὰς πρὸς τὸ ἀγαθὸν ὁσημέραι παραινέσεις· Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, μὴ ἑπτὰ εἶναι τὰ τῆς ἐκκλησίας μυστήρια, ἤγουν βάπτισμα, χρίσμα, μετάνοιαν, εὐχαριστίαν, ἱερωσύνην, εὐχέλαιον, καὶ γάμον κατὰ τὴν τοῦ Χριστοῦ διάταξιν καὶ τὴν τῶν ἀποστόλων παράδοσιν, τήν τε τῆς ἐκκλησίας συνήθειαν· ἀλλὰ ψευδομένῳ μὴ παραδέδοσθαι ὑπὸ Χριστοῦ ἐν τῷ εὐαγγελίῳ εἰ μὴ δύο μόνον, τό τε βάπτισμα καὶ τὴν εὐχαριστίαν, ὡς ἔστιν ἰδεῖν ἐν τῷ δεκάτῳ πέμπτῳ αὐτοῦ κεφαλαίῳ· Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, μὴ μεταβάλλεσθαι τὸν ἐπὶ τῆς προθέσεως ἄρτον, καὶ ἔτι τὸν οἶνον διὰ τῆς τοῦ ἱερέως εὐλογίας, καὶ πνεύματος ἁγίου ἐπιφοιτήσεως εἰς ἀληθὲς σῶμα καὶ αἷμα Χριστοῦ, (γέγραπται γὰρ ἐν τῷ δεκάτῳ ἑβδόμῳ τῶν αἱρετικῶν κεφαλαίων· τὸ σῶμα τοῦ κυρίου οὐκ ἔστιν, ὅπερ ἐν τῷ μυστηρίῳ τοῖς ὀφθαλμοῖς ὁρᾶται καὶ λαμβάνεται·) ὡς παραβάτῃ τῶν σαφῶν τοῦ πνεύματος λογίων, καὶ ἐθελοκάκως τοῦ θεανθρώπου διδασκάλου μὴ ἀκούοντι· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν αὐτοῖς, καί· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· καί· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, καί· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, καὶ τοῦ μέχρι τρίτου οὐρανοῦ ἁρπαγέντος Παύλου, ἔλαβεν ἄρτον, λέγοντος, καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα· καὶ πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, καὶ ἔτι τῶν πνευματοφόρων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ ἐκκλησιαστικῶν διατυπώσεων θεσπιζομένων αὐταῖσι λέξεσι· πίστει νοήσωμεν, κεῖσθαι ἐπὶ τῆς ἱερᾶς ἐκείνης τραπέζης τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀθύτως ὑπὸ τῶν ἱερέων θυόμενον, καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἀληθῶς λαμβάνειν, καὶ πρὸς τούτοις παραβλέποντι τὴν σύμφωνον θεσμοθεσίαν τοῦ πνεύματος τὴν ὑπὸ τῆς μεγάλης ἑβδόμης συνόδου γεγενημένην (ὡς ἔστιν ἰδεῖν ἐν τῇ ἕκτῃ πράξει, τόμῳ τρίτῳ) ἀριδήλως λέγουσαν· μετὰ

τὸν ἁγιασμὸν σῶμα κυρίως καὶ αἷμα λέγονται, καὶ εἰσί καὶ πιστεύονται· Ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, κεκαλυμμένως πως ἐν τῷ δεκάτῳ ὀγδόῳ αὐτοῦ κεφαλαίῳ, μὴ μετὰ θάνατον τοῖς εὐσεβεῖ λήξει καὶ μετανοίᾳ κεκοιμημένοις ὠφελεῖν τὰς παρὰ τῶν οἰκείων γενομένας ἐλεημοσύνας καὶ τὰς τῆς ἐκκλησίας ὑπὲρ τούτων δεήσεις, ὡς δῆθεν τῶν μὲν δικαίων ἀπολαυόντων τελείαν ἀπόλαυσιν, τῶν δὲ ἁμαρτωλῶν τὴν παντελῆ κατάκρισιν, καὶ ἔτι τὴν κοινὴν μέλλουσαν ἐν τῇ ἐσχάτῃ φοβερᾷ ἡμέρᾳ κρίσιν καὶ ἀνταπόδοσιν ἀναιροῦντι, ὅπερ ξένον τῶν τε θεοπνεύστων γραφῶν καὶ τῆς πάνυ τῶν θεολόγων διδασκαλίας· Ἀνάθεμα.

Κυρίλλῳ, τῷ κακίστῳ νέῳ εἰκονομάχῳ, Ἀνάθεμα.

Κυρίλλῳ τῷ τὴν τῶν σεπτῶν εἰκόνων τιμὴν καὶ σχετικὴν προσκύνησιν ἀθετοῦντι, καὶ βουλομένῳ μὲν καθελεῖν αὐτὴν, μὴ δυναμένῳ δὲ, ὡς ἐν τῇ τετάρτῃ αὐτοῦ ἀποκρίσει ὁμολογεῖ, Ἀνάθεμα.

Κυρίλλῳ τῷ ἐν τῇ τετάρτῃ ἐρωτήσει ματαιολογίας καλοῦντι τὰ περὶ τῶν ἁγίων εἰκόνων τεθεσπισμένα ὑπὸ τῶν ἁγίων συνόδων, καὶ διὰ τοῦτο καταφρονοῦντι τῆς ἱερᾶς, ἁγίας τε καὶ θεοπνεύστου ἑβδόμης συνόδου τῆς ἐν Νικαίᾳ συναθροισθείσης τὸ δεύτερον, Ἀνάθεμα.

Τοῖς ἀναγινώσκουσι τὰ ψευδηγόρως γραφέντα κεφάλαια ἐπ' ὀνόματι τῆς ἀνατολικῆς ἐκκλησίας Κυρίλλου Λουκάρεως ὡς δή τι καὶ ὀρθὸν περιέχοντα, καὶ ἐξ αὐτῶν τὸν ἐγκεκρυμμένον αὐτοῖς ἰὸν ἐπιῤῥυομένοις· εἰ γὰρ καί τι ἐν τούτοις ἐπιπολαίως ἔοικεν εὐσεβὲς, ἀλλὰ ἔνδοθεν ἐξ ἀπροόπτου ἀναφύεται αἵρεσις· Ἀνάθεμα.

Τοῖς ἀπιστοῦσι τῇ τῆς μεγάλης ἐκκλησίας κατ' αὐτοῦ τοῦ Κυρίλλου νομίμῳ τε καὶ ἐνθέσμῳ ἀποφάσει, καὶ λέγουσιν ἢ φρονοῦσιν αὐτὸν εὐσεβῆ, τὴν δὲ τῆς ἐκκλησίας ταύτην σύνοδον ψεύδεσθαι κατ' αὐτοῦ, Ἀνάθεμα.

Ἐν ἔτει σωτηρίῳ αχλή', μηνὶ Σεπτεμβρίῳ εἰκοστῇ τετάρτῃ, ἰνδικτιῶνος ζ'.[1]

ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΕΝ ΓΙΑΣΙΩ ΣΥΝΟΔΟΥ ΔΕΥΤΕΡΑΣ ΟΥΣΗΣ ΚΑΤΑ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΚΥΡΙΛΛΟΥ.

Ἐπιστολὴ συνοδικὴ πρὸς τὴν ἐν Γιασίῳ τοπικὴν σύνοδον.

Παρθένιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν τῶν συλλειτουργῶν καὶ τῶν τιμιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας προήχθησαν εἰς μέσον κεφάλαιά τινα, ἐπιγραφὴν ἔχοντα τοῦ πρὸ ἡμῶν Πατριάρχου γέροντος κῦρ Κυρίλλου, περὶ ὧν ἐζητήθη, εἰ χρὴ ταῦτα ὡς εὐσεβῆ

[1]) *Brevitatis gratia omissa sunt eorum, qui subscripserunt nomina, trium Patriarcharum, Episcoporum XXI. et XXIII. aliorum.*

λογίζεσθαι καὶ κατέχειν, ἢ ὡς τῆς ἡμετέρας ἀνατολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀλλότρια ἀποκηρύττεσθαι. Διὸ πᾶσα ἡ ἱερὰ σύνοδος αὕτη, ἕκαστον αὐτῶν ἐπιμελῶς ἐπεξελθόντες, καὶ τὸν νοῦν τῶν γεγραμμένων ἀνακρίναντες, εὗρον αὐτὰ πάντα, τοῦ ἑβδόμου ἐκτὸς, τῆς Καλβινικῆς ἀντεχόμενα αἱρέσεως καὶ ὡς πορρωτάτω τῆς Χριστιανικῆς τῶν ἀνατολικῶν θρησκείας ἀπέχοντα.

1. Ἐν τῷ πρώτῳ γὰρ τὴν ἀΐδιον καὶ ὑπαρκτικὴν τοῦ ἁγίου πνεύματος πρόοδον ἐκ πατρὸς καὶ υἱοῦ ὑποτίθησι παρὰ γνώμην τῆς ἀνατολικῆς ἐκκλησίας.

2. Ἐν δὲ τῷ δευτέρῳ τὴν ἁγίαν γραφὴν γυμνὴν ἐξηγήσεων τῶν τῆς ἐκκλησίας ἁγίων πατέρων δεχόμενος τὰ ταῖς οἰκουμενικαῖς συνόδοις θεοπνεύστως ἐκφωνηθέντα διαβάλλει καὶ τὰς ἀρχῆθεν κατὰ διαδοχὴν κεκρατηκυίας ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀποπέμπεται παραδόσεις, ὧν ἐκτὸς εἰς ψιλὸν ὄνομα περισταίη τὸ κήρυγμα ἡμῶν, ᾗ φησι Βασίλειος.

3. Ἐν δὲ τῷ τρίτῳ τὸν Θεὸν ὑποτίθησιν ἀδικώτατον, τυραννικῇ χρώμενον ἐξουσίᾳ, μόνῃ λέγων τῇ θελήσει αὐτοῦ τοὺς μὲν εἰς δόξαν προορίσαι, τοὺς δὲ ἀποβάλλειν εἰς κόλασιν, μηδαμῶς τὰ ἔργα αὐτῶν σκοπούμενον· οὗ τί ἂν γένοιτο ἀσεβέστερον;

4. Τὸ δὲ τέταρτον τῷ πρὸ αὐτοῦ ὅλως ἀντίκειται. Εἰ γὰρ οὐκ αἴτιος τῶν κακῶν ὁ Θεὸς· πῶς τῷ οἰκείῳ θελήματι τοὺς ἀδοκίμους ἐπὶ τὸ κακοποιεῖν ἐξεπίτηδες προήγαγεν;

5. Ἐν δὲ τῷ πέμπτῳ τὴν θείαν παρεξηγεῖ πρόνοιαν, περιάπτων αὐτῇ κυρίως καὶ πρωτουργῶς τὰ κατὰ παραχώρησιν αὐτῆς ὑπὸ τῶν πονηρῶν ἀνθρώπων τε καὶ δαιμόνων γινόμενα, ὡς ἐξ ὧν παράγει μαρτυριῶν ἐπιστώθη. Τοῦτο δὲ πᾶσαν ὑπερβαίνει βλασφημίαν.

6. Τὸ δὲ ἕκτον· περικλείων πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὑπὸ τὴν ἁμαρτίαν, οὐ μόνον τὴν προπατορικὴν, ὡς καὶ ἡ ἐκκλησία ἡμῶν ὁμολογεῖ, ἀλλὰ καὶ τὴν ἐξ αὐτῆς ἀναβλύζουσαν προαιρετικὴν καὶ θανάσιμον, ἣν καρποὺς ἐκείνης ὀνομάζει καὶ μηδένα ἐξαιρῶν ταύτης (τῆς θανασίμου τῆς κατάκριτον ἐκτελούσης τὸν ταύτην ἐργαζόμενον) οὔτε τὸν ἐν γεννητοῖς γυναικῶν μείζονα οὔτε τὴν ἐν γυναιξὶν εὐλογημένην τὴν ἄμωμον καὶ ἀειπάρθενον Μαρίαν ἢ προπάτοράς τινας ἢ προφήτας καὶ ἀποστόλους ὡς ἀλλότριον τῆς πίστεως ἡμῶν κέκριται.

8. Ἐν δὲ τῷ ὀγδόῳ τὴν τῶν ἁγίων ἀναιρεῖ μεσιτείαν, τάς τε τῶν ἀγγέλων προστασίας, καὶ μὴν καὶ τὰς τῶν ἱερέων ὑπὲρ παντὸς τοῦ κόσμου ἐντεύξεις τε καὶ μεσιτείας, αἷς τὴν ἐκκλησίαν διατηρεῖσθαι πιστεύομεν.

9. Ἐν δὲ τῷ ἐννάτῳ τὴν πίστιν γυμνὴν τῶν ἔργων σώζειν ὑπολαμβάνει· εἶναι δὲ ταύτην οὐκ ἔργον ἡμέτερον ἀλλὰ τοῦ Χριστοῦ μονου ἔξωθεν δικαιοῦντος τὸν ἄνθρωπον διὰ τῆς ζωῆς καὶ τοῦ θανάτου αὐτοῦ, ἵνα μὴ δόξῃ καὶ ὁ ἄνθρωπος πρὸς τὴν ἑαυτοῦ τι συμβάλλεσθαι σωτηρίαν.

10. Ἐν δὲ τῷ δεκάτῳ τὴν ἐπίγειον καὶ τὴν ἐν οὐρανοῖς ἐκκλησίαν συγχέων τὴν ἀρχιερατικὴν ἀναιρεῖ ἐπιστασίαν καὶ δι' αὐτῆς ὅλον τὸ τῆς ἐκκλησίας πλήρωμα· οὗ τί ἂν εἴη ἀκοσμότερον;

11. *Ἐν δὲ τῷ ἑνδεκάτῳ μέλη τῆς ἐνταῦθα ἐκκλησίας μόνους τοὺς ἐκλεκτοὺς εἶναι βούλεται καὶ οὐ τοὺς ἁπλῶς κοινωνοῦντας καὶ μετέχοντας τῶν ἐκείνης μυστηρίων μετὰ πίστεως, ὡς καὶ τὸν Παῦλον, ὅτε τὴν ἐκκλησίαν ἐπόρθει μέλος ἐκείνης εἶναι, διὰ τὸ ἐκ κοιλίας αὐτὸν ἀφωρίσθαι, τὸν δὲ Ἰούδαν, ὁμοίως τοῖς λοιποῖς ἀποστόλοις δυνάμεις ἐκτελοῦντα, μὴ μέλος αὐτῆς τηνικαῦτα χρηματίσαι.*

12. *Ἐν δὲ τῷ δωδεκάτῳ ἀγωνιζόμενος ὁ συγγραφεὺς τὰς τῶν πατέρων διδασκαλίας ἐκ μέσου ἆραι τὴν ἐκκλησίαν φησὶν ὑπὸ τοῦ παναγίου πνεύματος διδάσκεσθαι· ὃ ἀληθὲς ὂν αὐτὸς κακοήθως εἰσάγει. Διδάσκεται μὲν γὰρ ὑπὸ τοῦ παναγίου πνεύματος ἡ ἐκκλησία ἡμῶν, ἀλλ' οὐκ ἀμέσως, γλώσσαις δὲ καὶ χέροιν ἀνθρωπίναις κεχρημένου τοῦ πνεύματος. Ἄνθρωποι γὰρ ἦσαν οἵ τε προφῆται καὶ οἱ ἀπόστολοι, οἱ τὸν λόγον τοῦ κυρίου κηρύξαντες καὶ γράψαντες· καίτοι τῶν λογίων ἐκείνων λεγομένων εἶναι τοῦ πνεύματος καὶ θείων, ὡς ἐκεῖθεν ἐμπνευσθέντων καὶ μηδὲν κεκτημένων ἀνθρωπίνου. Καὶ ἡ ἐκκλησία γοῦν ὑπὸ τῶν θεοπνεύστων λογίων τῶν πατέρων διδασκομένη, οὐ λέγεται ὑπ' ἀνθρώπων, ἀλλ' ὑπὸ τοῦ πνεύματος διδάσκεσθαι. Ἐκεῖνοι γὰρ πνεύματι θείῳ κινούμενοι διδάσκουσιν ἡμᾶς οὐ κατ' ἄνθρωπον ἀλλὰ καθ' ἣν ἀπὸ τοῦ πνεύματος ἔλαβον ἔμπνευσιν, ὃ δῆλον ἐξ ἧς πρὸς ἀλλήλους ἔχουσι συμφωνίας. Τὸ δὲ τὴν ἐκκλησίαν ἀποφαίνεσθαι ἐν τῷ αὐτῷ κεφαλαίῳ δυνατὸν εἶναι ἁμαρτάνειν, καὶ ταῦτα, τὸ πνεῦμα κεκτημένην διδάσκαλον καὶ τὸν Χριστὸν κεφαλὴν, περὶ ἧς εἴρηται ὅτι σπῖλον ἢ ῥυτίδα οὐκ ἔχει, ἀλλ' ὅλη ἐστὶ καλὴ καὶ τελεία, ὡς δυσσεβὲς ἀποκεκήρυκται.*

13. *Τὸ δὲ δέκατον τρίτον ἐκβάλλει τὰ καλὰ τῶν ἔργων, τῆς τῶν ἀνθρώπων σωτηρίας ἀναιροῦν διὰ τούτου, τὸ γ' ἐπ' αὐτῷ, οὐ μόνον ἀρετὴν πᾶσαν καὶ βίον ἔνθεον, ἀλλὰ καὶ πᾶσαν τὴν ἱερὰν γραφὴν ἐπὶ τὰς ἀγαθὰς τῶν πράξεων τοὺς πάντας προορμῶσαν, ἐφ' ᾧ σωτηρίας τύχοιεν.*

14. *Τὸ δὲ τέταρτον καὶ δέκατον κατὰ τοῦ αὐτεξουσίου στρατευόμενον τὴν ἀνθρωπίνην παρασαλεῦσαι φύσιν ἀποπειρᾶται, τὸ εἶναι αὐτῆς κεκτημένην ἐν τῷ λογικῷ τε καὶ αὐτεξουσίῳ.*

15. *Ἐν δὲ τῷ δεκάτῳ πέμπτῳ τὰ πέντε τῆς ἐκκλησίας ἀρνεῖται μυστήρια τὴν ἱερωσύνην, τὸ ἱερὸν μύρον, τὸ εὐχέλαιον, τὴν διὰ τῆς μετανοίας ἐξομολόγησιν καὶ τὸν τίμιον γάμον· ἃ πάντα ὡς ἱερὰ καὶ θείας χάριτος μεταδοτικὰ ἡμῖν ἡ ἀρχαία κατέλιπε παράδοσις.*

16. *Καὶ τὰ λοιπὰ δὲ δύο καθομολογῶν μυστήρια ἐν τοῖς δύσιν ἐφεξῆς κεφαλαίοις οὐχ ὑγιῶς τὴν δύναμιν αὐτῶν ἐκτίθησι. Τῷ μὲν γὰρ βαπτίσματι οὕτω δικαιοῦσθαι οἴεται τὸν βαπτιζόμενον, ὡς μὴ οἷόν τε εἶναι κατ' οὐδένα τρόπον ἀπολέσθαι, ἐπιλελησμένος τῶν μὴ τοῦτο φυλαξάντων ἀμόλυντον, μήτε τὴν πίστιν μέχρι τέλους τετηρηκότων, καὶ διὰ τοῦτο μηδὲν τῷ λουτρῷ ἀποναμένων, ἀλλὰ τῇ αἰωνίῳ κατακριθέντων κολάσει.*

17. *Τὴν θείαν δὲ εὐχαριστίαν οὕτω διαῤῥήγνυσιν, ὡς μηδὲν αὐτῇ ἕτερον εἰ μὴ τύπον ψίλον ἐγκαταλείπειν, ὥσανεὶ ἔτι τῇ σκιᾷ τοῦ παλαιοῦ νόμου ἐλατρεύομεν. Οὐ γάρ φησιν εἶναι σῶμα Χριστοῦ ἀληθινὸν τὸν ὁρώμενον καὶ ἐσθιόμενον ἄρτον, ἤδη ἁγιασθέντα, ἀλλὰ τὸν νοούμενον πνευματικῶς, ἢ μᾶλλον εἰπεῖν φανταζόμενον, ὃ πάσης ἀσεβείας ἀνάπλεων.*

Ὁ γὰρ Ἰησοῦς οὐκ ἔφησε· τοῦτό ἐστιν ὁ τύπος τοῦ σώματός μου· ἀλλὰ τοῦτό ἐστι τὸ σῶμα μου· καὶ· τοῦτό ἐστι τὸ αἷμά μου· τοῦτο δηλαδὴ τὸ ὁρώμενον καὶ λαμβανόμενον καὶ ἐσθιόμενον καὶ κλώμενον, ἁγιασθὲν ἤδη καὶ εὐλογηθέν.

18. Ἔσχατον δὲ πάντων, ἐπὶ προφάσει δῆθεν τοῦ καταβαλεῖν τὸ καθαρτήριον πῦρ, τὰς νενομισμένας ἡμῖν ἐπὶ τοῖς ἀποιχομένοις μνείας ἐκβαλεῖν κατεπείγεται, δι' ὧν ἐλπίζομεν ἄνεσιν αὐτοῖς καὶ ἀναψυχὴν παρὰ Θεοῦ καταπέμπεσθαι, τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν.

Πρὸς τούτοις ἐνεφανίσθησαν καὶ ἃς τοῖς κεφαλαίοις προσέθηκεν ἐρωτήσεις, καὶ ἐγνώσθησαν πάσῃ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ οὐδὲν ἄμεινον τῶν κεφαλαίων διακείμεναι. Οὐ μόνον γὰρ τῆς γραφῆς ἑρμηνείας, τὰς τοῖς πατράσιν ἡμῶν ἐκπονηθείσας, ὡς καὶ πρότερον παρακρούεται, ἀλλὰ καί τινα τῆς ἐκείνης ἀθετεῖ βιβλίων, ἅπερ αἱ ἅγιοι καὶ οἰκουμενικοὶ σύνοδοι ὡς κανονικὰ ἐδέξαντο. Καὶ ἐπὶ πᾶσι τὴν τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων σχετικὴν ἀποβάλλεται προσκύνησιν, ἣν ἡ ἑβδόμη ἐκύρωσεν οἰκουμενικὴ ἁγία σύνοδος.

Διὰ τοῦτο τά τε κεφάλαια ταῦτα καὶ τὰς ἐρωτήσεις κοινῇ ψήφῳ τελείως (φησὶν ἡ ἁγία σύνοδος αὕτη) ἀνατρέπομεν καὶ τῆς ἡμετέρας αὐλῆς ἀπελαύνομεν ὡς αἱρέσεων πεπληρωμένα, καὶ πάντῃ ἀλλότρια τῆς ὀρθοδόξου ἡμῶν πίστεως· τὸν τε συγγράψαντα ξένον τῆς ἡμῶν κρίνομεν θρησκείας, πᾶσι δηλοποιοῦντες, ὡς καταψεύδεται ἡμῶν ὁ τούτων συγγραφεὺς, λέγων, τὴν ἰδίαν αὐτοῦ πίστιν ἀνατολικὴν ὁμολογίαν εἶναι τῆς Χριστιανικῆς πίστεως τῶν Γραικῶν, Καλβινικὴν οὖσαν καὶ οὐν ἡμετέραν. Τοὺς δὲ ταῦτα τὰ κεφάλαια ὡς ἀληθῆ καὶ εὐσεβῆ δῆθεν ἀναγινώσκοντας καὶ διακρατοῦντας, ὑπερμαχοῦντας αὐτῶν εἴτε λόγοις εἴτε συγγράμμασιν, ὡς συμφρονοῦντας καὶ συγκοινωνοῦντας αὐτοῦ ταῖς αἱρέσεσι καὶ λυμεῶνας τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀποβάλλομεν τῆς τῶν πιστῶν ὁμηγύρεως καὶ ὡς ἐθνικοὺς καὶ τελώνας λογίζεσθαι διατατόμεθα· μηδεμίαν κοινωνίαν ἔχοντας μεθ' ἡμῶν, ὁποίας ἂν εἴησαν καταστάσεως. Καὶ ἔστωσαν τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι καὶ ἀφωρισμένοι παρὰ πατρὸς, υἱοῦ καὶ ἁγίου πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνον Θεοῦ, ἔν τε τῷ νῦν αἰῶνι καὶ τῷ μέλλοντι, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον καὶ μέτοχοι τῆς αἰωνίου κολάσεως. Οὔτε γάρ ποτε ἡ ἡμετέρα ἐκκλησία τοῖς τοιούτοις καθυπήχθη δόγμασι· μηδὲ μὴν εἰς τοὐπιὸν τοσοῦτον κατενεχθείη χάριτι τοῦ ὁδηγοῦντος αὐτὴν καὶ κυβερνῶντος πνεῦματος. Εἰς πίστωσιν δὲ τῆς παρούσης πράξεως καὶ ἀσφαλείαν κατεστρώθη τὸ παρὸν ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὑπογραφὲν ἰδίαις χερσὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ λογιωτάτων κληρικῶν.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, ἐν μηνὶ Μαΐῳ, Ἰνδικτιῶνος δεκάτης.[1]

---

[1]) Sequuntur subscriptiones Parthenii Patr. Const., Petri Mogilae Archiep. Ciobi, episcoporum octo, curatorum synodi triginta quinque, inter quos item multi episcopi, aliique magnae dignitatis viri.

Ἐπιστολὴ τῆς ἁγίας συνόδου.

Τῷ ἐκλαμπροτάτῳ καὶ μεγαλοπρεπεστάτῳ Δουκὶ, θεοσεβεστάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Μολδοβλαχίας, κυρίῳ κυρίῳ Ἰωάννῃ Βασιλείῳ Βοϊβόνδᾳ σωτηρίαν παρὰ Θεοῦ.

Σὸν ἦν ὡς ἀληθῶς, Δοὺξ μεγαλοπρεπέστατε, τύποις ἐκδοῦναι καὶ τὰ συνοδικὰ ταυτὶ γράμματα. Ἐπειδὴ γάρ σοι τὸ σύνθημα δέδωκεν ὁ κύριος, τοῦ εἶναι τῆς ἐκκλησίας αὐτοῦ πρόμαχον, καὶ τῶν αἱρέσεων γενναῖον καταλύτην σὲ μόνον ἐκ πάντων τῶν ἐπὶ γῆς ἡγεμόνων ὡς εὔχρηστον αὐτῷ ἐκλεξάμενος· τίνι ἂν ἄλλῳ ἐπέκειτο τὰς κενοδοξίας στηλιτεῦσαι, εἰ μὴ ἄρα τῇ σῇ θεοσεβεστάτῃ μεγαλονοίᾳ; Ὅς ἰδὼν τὰς τοῦ Χριστοῦ ἐκκλησίας ταραττομένας ἐπὶ τοῖς νεωστὶ ἀναφανεῖσι Καλουϊνικοῖς κεφαλαίοις, διατεινομένοις ἡμετέροις εἶναι, τῷ ἐπιγράφεσθαι· ἀνατολικὴ ὁμολογία τῆς Χριστιανικῆς πίστεως, οὐδ' ὁτιοῦν κατενάρκησας, ἀλλὰ πάντα καλῶς κινήσας οὐκ ἀπέστης ἕως οὗ μεταπεμψάμενος τοποτηρητὰς τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ θρόνου τοῦ οἰκουμενικοῦ καὶ πάσης τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου καὶ ἀπὸ Ῥωσίας Λεγάτους τῆς ἐκεῖθεν ἐκκλησίας, σὺν αὐτοῖς πάντα τὰ νενοθευμένα κατέῤῥαξας δόγματα, δημοσίοις βίβλοις ἐγκρίνας τε καὶ κυρώσας τὰ τῆς ἀνατολικῆς ἐκκλησίας γνήσια διδάγματα, καὶ νῦν πᾶσι τοῖς Χριστιανῶν παισὶν ὀρθοδόξοις ἐκκαλύπτων τὸν ἐγκεκρυμμένον ἰὸν τοῖς κεφαλαίοις ἐκείνοις κοινῶς προκεῖσθαι ἐθέσπισας, ἣν ἔχει δόξαν περὶ αὐτὰ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία, ἐφ' ᾧ ἔχει πανταχῆ τὰ τοῦ κυρίου πρόβατα διαγινώσκειν, ὁποίων βρωμάτων ἀπέχεσθαι χρὴ, καὶ ποίαις τισὶ νομαῖς ἀναμφιβόλως προσπελάζειν. Διὸ χάριτας τῷ Θεῷ ἀποδιδόντες ἐπὶ τοῖς διά σου παρ' αὐτοῦ οἰκονομηθεῖσιν ἡμῖν, ἐξ ὅλης ψυχῆς ἱκετεύομεν αὐτὸν, τὴν παροῦσαν ζωὴν μακραίωνά τε καὶ εἰρηνικήν σοι δωρήσασθαι, τὸν τῆς ἡγεμονίας θρόνον μέχρι τέλους κοσμοῦντα ἐν τῇ αὐτοῦ χάριτι· ἐν δὲ τῇ μελλούσῃ ἐκ τῶν ἐπὶ γῆς εἰς τὰ οὐράνια μεταθέσθαι σε βασίλεια.

Οἱ ἀπὸ Κωνσταντινουπόλεως Λεγάτοι καὶ Ἔξαρχοι πατριαρχικοί·

Ὁ πρώην Νικαίας Πορφύριος.

Μελέτιος Σύριγος ἱερομόναχος καὶ κήρυξ τοῦ εὐαγγελίου.

Καὶ οἱ ἀπὸ Ῥωσίας Λεγάτοι·

Ἡσαΐας Τρόφιμος ἡγούμενος τοῦ ἁγίου Νικολάου.

Ἰγνάτιος ὁ Ξενοβίκιος ὁ κήρυξ τοῦ εὐαγγελίου.

Ἰωσὴφ Κοινωνοβίκιος ἡγούμενος τῶν ἁγίων θεοφανίων..

Ταῦτα τὰ παρὰ τῶν δύο συνόδων κατὰ τοῦ Κυρίλλου ἐξενεχθέντα, ἅτινα σαφέστατα δείκνυσι τὴν τῆς ἀνατολικῆς ἐκκλησίας εὐσέβειαν. Ἐγένετο δὲ ἡ μὲν ὑστέρα ἐν Γιασίῳ τῆς Μολδαβίας ἐπὶ Βασιλείου Βοϊβόνδα καὶ ἡγεμόνος Μολδαβλαχίας, καὶ Παρθενίου Κωνσταντινουπόλεως τοῦ γέροντος πατριάρχου, ἀνδρὸς αἰδεσίμου, καὶ περὶ τὰ θεῖα

ἐκ βρέφους σχολάσαντος· ὃς μὲν τῇ ἐκεῖσε συνόδῳ πέμψας συνοδικὴν ἐπιστολήν, ἤρκεσεν ἐκείνῃ τῇ συνόδῳ, μόνην τὴν ἀπὸ Κωνσταντινουπόλεως συνοδικὴν ἐπιστολὴν ὑπογράψαι καὶ βεβαιῶσαι, καὶ οὕτω πληρῶσαι τὸ ζητούμενον· εἰ καὶ κατὰ Καλουΐνων καὶ ἄλλα τινὰ πλεῖστα ἐκείνη ἡ σύνοδος ἠγωνίσατο. Οὐκ ἀνεθεμάτισε δὲ τὸν Κύριλλον οὔτε ἡ τότε ἐν Κωνσταντινουπόλει διὰ τῆς ἐπιστολῆς σύνοδος οὔτε ἡ ἐν Γιασίῳ· οὐ χάριν ποιοῦντες Κυρίλλῳ· (οὐ μὲν γὰρ ἦσαν τοιοῦτοι οἱ θεοφόροι ἐκεῖνοι ἄνδρες, ὥστε φιλοπροσωπεῖν καὶ προστιμᾶν ἀνθρώπους ἢ ἄλλο τι τοῦ Θεοῦ) ἀλλὰ διὰ τὸ μηδέποτε Καλουϊνόφρονα τὸν Κύριλλον παρὰ τῇ ἀνατολικῇ ἐκκλησίᾳ γνωσθῆναι, ἢ ἄλλως πως φρονοῦντα ἢ ὡς ἡ ἀνατολικὴ ἐκκλησία, ὡς προαποδέδεικται. Ὅθεν οὐκ εὔλογον ᾠήθησαν εἶναι, ἀναθέματι καθυποβαλεῖν, ὃν οὐκ οἴδασι σαφῶς ὑπόδικον τῇ κατηγορίᾳ· καίτοι τὸν συγγραφέα τῶν κεφαλαίων ἀδιορίστως καὶ ἀναθέματι καὶ ἀφορισμῷ ἀλύτῳ καθυπέβαλον, ὄντινα καὶ αὐτοὶ ἀραῖς καθυποβάλλομεν αἰωνίοις καὶ ξένον γινώσκομεν τῆς βασιλείας.

Ἡ δὲ πρώτη ἐγένετο ἐπὶ Κυρίλλου τοῦ ἐκ Βερρόιας, Κωνσταντινουπόλεως Πατριάρχου, συμπαρόντων ὅσων λογίων καὶ ἐναρέτων ἀνδρῶν· ἀναθεμάτισε δ' αὕτη τὸν Κύριλλον ὀνομαστί· οὐχ ὅτι οἶδεν ἐκεῖνον ἤ ποτε ἐγνώρισεν αἱρετικὸν, ἀλλ' ὅτι οἶδεν ἐπιβιώσαντα μὲν αὐτὸν μετὰ τὸν κεφαλαίων τύπον ἐνιαυτοὺς ἕξ καὶ εἰδότα τὰς συγχύσεις, αἵτινες συνέβησαν τοῖς ἐν Πωλωνίᾳ καὶ Ῥωσίᾳ εὐσεβέσι, διὰ τὸ πολλοὺς λέγειν Καλουϊνῖσαι τὴν ἀνατολικὴν ἐκκλησίαν, ἐπειδὴ ὁ Κωνσταντινουπόλεως τοιαύτην τῆς ἀνατολικῆς ἐκκλησίας ἐξέδωκεν ὁμολογίαν, μὴ ἐθελῆσαι δὲ κατ' ἐκείνων, τῶν κεφαλαίων φημὶ, συγγράψαι, καίτοι παρὰ πολλῶν παροτρυνόμενός τε καὶ παρακαλούμενος, ὥσπερ προείπομεν ἐν τῷ πέμπτῳ κεφαλαίῳ. Ὅθεν ἐκ τούτου εἰκάσασα ἐκεῖνον μὴ καθαρεύειν τῆς κατὰ τῆς ὀρθοδόξου πίστεως δολιότητος, μήτε μὴν φροντίσαι περὶ τοῦ ποιμνίου, ὡς ἔδει, ὀνομαστὶ τῷ ἀναθέματι καθυπέβαλεν, ὃν εἰ καὶ μὴ τοιοῦτον συμβέβηκε γεγονέναι. Τὰς μὲν συνόδους κατ' ἐκείνου ψῆφον ἐξενεγκούσας δικαίαν οὐκ αἰτιώμεθα, μάλιστα δὲ καὶ μακαρίζομεν, ὡς κατὰ καιροὺς καλῶς ὑπὲρ τῆς εὐσεβοῦς ἀγωνισθείσας πίστεως, καὶ αἰτίαν εὔλογον ἐχούσας τὴν ἐκείνου μακρὰν σιωπὴν εἰς τὸ ἐκεῖνον ἐπιτιμῆσαι πρὸς καὶ ἄλλων σωφρονισμόν. Ἐκεῖνον δὲ εἰ καὶ μὴ ἀναθεματίζομεν, ἀλλὰ θρηνοῦμεν, ὅτι τῇ σιωπῇ τοσοῦτον κατὰ τῆς ἐκκλησίας ἐξήγειρε τῶν ἐχθρῶν πόλεμον. Εἰ δ' ἦν ἀληθῶς αἱρετικὸς Καλουϊνόφρων καὶ οὐ μετεμελήθη, (δέχεται γὰρ ὁ Θεὸς τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν, ὁποῖοι ἂν ὦσιν), ἀλλ' ἔμεινεν αἱρετικὰ καὶ πιστεύων καὶ φρονῶν· χωρὶς πάσης ἀντιλογίας τῷ αἰωνίῳ ἀναθέματι καὶ ἀφορισμῷ μετὰ τῶν συμμύστων αὐτῷ αἱρετικῶν καθυποβάλλομεν.

Κεφάλαιον 6.

Τοῖς μὲν οὖν εὐγνώμοσι καὶ φιλοῦσι τὸ ἀληθὲς ἱκανὰ τὰ ῥηθέντα, μᾶλλον δὲ εἰπεῖν, καὶ πολλὰ πρὸς τὸ μαθεῖν, οἵας δόξης ἐστὶν ἡ ἀνατολικὴ ἐκκλησία, καὶ οὔτε Καλουϊνόφροσι συνέθετο πώποτε ἐν οἷς κεκαινοτομήκασιν, (οὔτε μὴν ἄλλοις τισὶ πλὴν ἑαυτῆς), οὐθ' ὃν προβάλλονται

συμμύστην αὐτῶν γεγονέναι οἶδεν, οἷον ἐκεῖνοι διϊσχυρίζονται. Πρὸς τελειώτατον μέντοι ἀφανισμὸν καὶ καθαίρεσιν ἐννοιῶν ἐπινοηθέντων κατὰ τῆς δόξης τοῦ Θεοῦ, τῶν ἱερῶν τῆς ὀρθοδόξου ἡμῶν θρησκείας παραυλίων, καὶ ὡς εἰπεῖν, πρὸς παντελῆ ἀποποίησιν τῶν ἐν τοῖς θρυλλουμένοις κεφαλαίοις βλασφημιῶν δεῖν ᾠήθημεν ἐκθέσθαι ἐρωτήσεις καὶ κεφάλαιά τινα ἰσάριθμα τοῖς Κυρίλλῳ συγγραφεῖσι καὶ κατὰ διάμετρον ἀντικείμενα, ἐν οἷς ἐκεῖνος (ὡς ὑπετέθη πολλάκις) ἠκόνισε γλῶτταν κατὰ Θεοῦ, ὥστε δύνασθαι ταῦτα καλεῖσθαι ἔλεγχον καὶ διόρθωσιν τῶν λεγομένων Κυρίλλου κεφαλαίων. Φυλάττεται δέ πως ἡ τάξις ἐκείνων κἂν τοῖς παρ' ἡμῶν ἐκθησομένοις, ἵν' ἔχῃ ἕκαστος τῶν πιστῶν συγκρίνειν καὶ παραβάλλειν ἀμφότερα, καὶ γινώσκειν ῥᾳδίως τὴν εὐσέβειαν μὲν τῆς ἀνατολικῆς ἐκκλησίας, τὸ ψεῦδος δὲ τῶν αἱρετικῶν. Ἔστι δ' ὅπου τῆς χρείας ἀπαιτούσης ἢ ἀφαιρήσομεν ἢ προστεθησόμεθα ἕτερά τινα πρὸς ἀκριβῆ τοῦ προβλήματος γνῶσιν συντείνοντα. Χρησόμεθα δὲ καὶ λέξεσι καὶ ὅλαις ἐννοίαις καὶ περιόδοις κειμέναις ἐκεῖσε, ἵνα μὴ δόξωμεν ταῖς λέξεσι καὶ εὐσεβέσιν ἐννοίαις μάχεσθαι, ἀλλὰ μὴ ταῖς καινοτομίαις καὶ ἀσεβέσι δόγμασι.

Ὁμολογία Δοσιθέου.

Δοσίθεος ἐλέῳ Θεοῦ Πατριάρχης Ἱεροσολυμῶν τοῖς ἐρωτῶσι καὶ πυνθανομένοις περὶ τῆς πίστεως καὶ θρησκείας τῶν Γραικῶν ἤτοι τῆς ἀνατολικῆς ἐκκλησίας, πῶς δηλονότι περὶ τῆς ὀρθοδόξου πίστεως φρονεῖ, ἐν ὀνόματι κοινῶς τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἀποστολικῷ θρόνῳ Χριστιανῶν ἁπάντων καὶ τῶν ἐπιδημούντων τῇ ἁγίᾳ ταύτῃ καὶ μεγάλῃ πόλει Ἱερουσαλὴμ ὀρθοδόξων προσκυνητῶν (οἷς πᾶσα ἐν τοῖς περὶ πίστεως ἡ καθολικὴ ἐκκλησία συνᾴδει) ἐκδίδωσι σύντομον ὁμολογίαν ταύτην εἰς μαρτύριον πρὸς τε Θεοῦ πρὸς τε ἀνθρώπων εἰλικρινεῖ συνειδήσει, οὐδεμιᾶς ἄνευ προσποιήσεως.

Ὅρος 1: Πιστεύομεν εἰς ἕνα Θεὸν ἀληθῆ, παντοκράτορα καὶ ἀόριστον, πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, πατέρα ἀγέννητον· υἱὸν γεννητὸν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων, ὁμοούσιον αὐτῷ· πνεῦμα ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, πατρὶ καὶ υἱῷ ὁμοούσιον. Ταύτας τὰς τρεῖς ὑποστάσεις ἐν μιᾷ οὐσίᾳ παναγίαν τριάδα προσαγορεύομεν ὑπὸ πάσης κτίσεως ἀεὶ εὐλογουμένην, δοξαζομένην καὶ προσκυνουμένην.

Ὅ. 2: Πιστεύομεν τὴν θείαν καὶ ἱερὰν γραφὴν εἶναι θεοδίδακτον, καὶ διὰ τοῦτο ταύτῃ ἀδιστάκτως πιστεύειν ὀφείλομεν, οὐκ ἄλλως μέντοι ἀλλ' ἢ ὡς ἡ καθολικὴ ἐκκλησία ταύτην ἡρμήνευσε καὶ παρέδωκεν. Πᾶσα γὰρ αἱρετικῶν βδελυρία δέχεται μὲν τὴν θείαν γραφήν, παρεξηγεῖται δ' αὐτὴν μεταφοραῖς καὶ ὁμωνυμίαις καὶ σοφίσμασι σοφίας ἀνθρωπίνης χρωμένη, συγχέουσα τὰ ἀσύγχυτα καὶ παίζουσα ἐν οὐ παικτικοῖς. Ἄλλως γὰρ ἂν, ἄλλου ἄλλην ὁσημέραι περὶ αὐτῆς γνώμην

ἐσχηκότος, οὐκ ἂν εἴη ἡ καθολικὴ ἐκκλησία Χριστοῦ χάριτι ἕως τῆς σήμερον ἐκκλησία, μίαν γνώμην ἔχουσα περὶ πίστεως καὶ ἀεὶ ὡσαύτως καὶ ἀπαρασαλεύτως πιστεύουσα ἀλλ' ἐσχίσθη ἂν εἰς μύρια, καὶ αἱρέσεσιν ὑπέκειτο, καὶ μηδ' ἦν ἡ ἐκκλησία ἁγία στύλη καὶ ἑδραίωμα τῆς ἀληθείας, ἄσπιλός τε καὶ ῥυτίδος χωρὶς, ἀλλ' ἡ ἐκκλησία πονηρευομένων, ὡς φαίνεται γεγονυῖα ἀναμφιβόλως ἡ τῶν αἱρετικῶν καὶ μάλιστα τὴν ἀπὸ Καλουΐνου, οἳ οὐκ αἰσχύνονται παρὰ τῆς ἐκκλησίας μανθάνειν, ἔπειτα ταύτην πονηρῶς ἀποκρούεσθαι, ὅθεν καὶ τὴν τῆς καθολικῆς ἐκκλησίας μαρτυρίαν οὐχ ἧττον τῆς ἣν κέκτηται ἡ θεία γραφὴ εἶναι πιστεύομεν. Ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ ἁγίου πνεύματος ὄντος ἀμφοτέρων δημιουργοῦ, ἴσόν ἐστι πάντως ὑπὸ τῆς γραφῆς καὶ ὑπὸ τῆς καθολικῆς ἐκκλησίας διδάσκεσθαι. Ἔπειτα ἄνθρωπον μὲν ὄντινα οὖν λαλοῦντα ἀφ' ἑαυτοῦ ἐνδέχεται ἁμαρτῆσαι καὶ ἀπατῆσαι καὶ ἀπατηθῆναι· τὴν δὲ καθολικὴν ἐκκλησίαν ὡς μηδέποτε λαλήσασαν ἢ λαλοῦσαν ἀφ' ἑαυτῆς ἀλλ' ἐκ τοῦ πνεύματος τοῦ Θεοῦ, ὃ καὶ διδάσκαλον ἀδιαλείπτως πλουτεῖ εἰς τὸν αἰῶνα, ἀδύνατον πάντῃ ἁμαρτῆσαι ἢ ὅλως ἀπατῆσαι καὶ ἀπατηθῆναι· ἀλλ' ἔστιν ὡσαύτως τῇ θείᾳ γραφῇ ἀδιάπτωτος καὶ ἀένναον κῦρος ἔχουσα.

Ὅ. 3: *Πιστεύομεν τὸν ἄκρως ἀγαθὸν θεὸν ἐξ ἀϊδίου οὓς ἐξελέξατο εἰς δόξαν προορίσαι, οὓς δ' αὖ ἀπεδοκίμασεν εἰς κατάκρισιν παραχωρῆσαι· οὐχ ὅτι δὲ τούτους οὕτως ἠβουλήθη δικαιῶσαι, τούτους δ' ἀναιτίως παραχωρῆσαι καὶ κατακρῖναι. Ἀνοίκειον γὰρ τοῦτο τῷ πατρὶ τῶν ὅλων καὶ ἀπροσωπολείπτῃ καὶ θέλοντι πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, Θεῷ· ἀλλ' ὅτι τούτους μὲν προεῖδεν καλῶς τῷ αὐτεξουσίῳ χρησομένους, τούτους δὲ κακῶς, προορίσαι ἢ κατακρῖναι. Ἐννοοῦμεν δὲ τῆν χρῆσιν τοῦ αὐτεξουσίου οὕτως, ὥστε τῆς θείας καὶ φωτιστικῆς χάριτος, ἣν καὶ προκαταρκτικὴν προσαγορεύομεν, οἷον φῶς τοῖς ἐν σκότει παρὰ τῆς θείας ἀγαθότητος πᾶσι χορηγουμένης τοῖς βουλομένοις ὑπεῖξαι ταύτῃ, καὶ γὰρ οὐ τοὺς μὴ θέλοντας ἀλλὰ τοὺς θέλοντας ὠφελεῖ — καὶ συγκατατεθῆναι, ἐν οἷς ἐκείνῃ ἐντέλλεται, πρὸς σωτηρίαν οὖσιν ἀναγκαιοτάτοις, δωρεῖσθαι ἑπομένως καὶ ἰδικὴν χάριν, ἥτις συνεργοῦσα καὶ ἐνδυναμοῦσα καὶ ἐμμένουσα πρὸς τὴν τοῦ θεοῦ ἀγάπην, ταὐτὸν εἰπεῖν, πρὸς ἃ θεὸς θέλει ἡμᾶς ἐργάζεσθαι ἀγαθὰ, ἃ καὶ ἡ προκαταρκτικὴ χάρις προσενετείλατο, ἀποτελοῦσα, δικαιοῖ καὶ προωρισμένους ποιεῖ. Τοῖς δὲ μὴ θέλουσιν ὑπακοῦσαι καὶ συγκατατεθῆναι τῇ χάριτι, καὶ διὰ τοῦτο οὐδ' ἃ θεὸς βούλεται ἡμᾶς ἐργάζεσθαι τηροῦσι καὶ ἐν τοῖς τοῦ σατανᾶ ἐπιτηδεύμασι τὴν ἣν παρὰ θεοῦ εἰλήφασιν αὐτεξουσιότητα εἰς τὸ ἐργάζεσθαι ἑκουσίως τὸ ἀγαθὸν, καταχρωμένοις, γίνεσθαι τὴν παραχώρησιν εἰς ἄϊδιον κατάκρισιν.*

Τὸ δὲ λέγειν παμμιάρους αἱρετικοὺς — ὡς κεῖται ἐν τῷδε τῷ κεφαλαίῳ — τὸν θεὸν προορίζειν ἢ κατακρίνειν μηδαμῶς εἰς τὰ ἔργα ἀποβλέποντα τῶν προοριζομένων ἢ κατακρινομένων, βέβηλον καὶ ἀνόσιον οἴδαμεν. Ἐμάχετο γὰρ ἂν οὕτως ἡ γραφὴ πρὸς ἑαυτὴν, διὰ τῶν ἔργων τῷ πιστῷ διδάσκουσα τὴν σωτηρίαν καὶ τὸν θεὸν μόνον αἴτιον ὑποθεμένη κατὰ μόνην τὴν φωτιστικὴν χάριν, ἣν μὴ προηγησαμένων ἔργων

παρέχει, δεῖξαι τῷ ἀνθρώπῳ τὴν τῶν θείων πραγμάτων ἀλήθειαν, καὶ διδάξαι, ὅπως οὗτος ἐκείνῃ συγκατατεθῇ εἰ βούλοιτο, καὶ ποιήσει τὸ ἀγαθὸν καὶ εὐάρεστον, καὶ οὕτω σωτηρίας τυχεῖν. Οὐκ ἀναιρεῖ τὸ θέλειν, ἢ μὴν θέλειν ὑπακοῦσαι ἢ μὴ ὑπακοῦσαι αὐτῷ.

Ἀλλὰ καὶ τὸ τὴν θείαν θέλησιν αἰτίαν εἶναι τῶν κατακρινομένων οὕτως ἁπλῶς καὶ ἀναιτίως, ποίαν οὐκ ἐπιφέρει κατὰ τοῦ θεοῦ συκοφαντίαν; καὶ ποίαν εἰς τὸ ὕψος οὐ λαλεῖ ἀδικίαν καὶ βλασφημίαν; Ἀπείραστον μὲν γὰρ κακῶν τὸ θεῖον καὶ πάντων ἐξ ἴσου ἐθέλοντα σωτηρίαν, ὡς μὴ ἐχούσης χώραν τῆς προσωποληψίας παρ' αὐτῷ οἴδαμεν, καὶ τοῖς βεβήλοις γενομένοις σκεύεσι διὰ μοχθηρὰν αὐτῶν προαίρεσιν καὶ ἀμετανόητον καρδίαν, ὡς δίκαιον, παραχωρεῖν τὴν κατάκρισιν ὁμολογοῦμεν. Κολάσεως δ' αἰωνίου, ὠμότητός τε καὶ ἀσπλαγχνίας καὶ μισανθρωπίας αἴτιον οὔποτε, οὔποτέ φαμεν τὸν θεὸν, τὴν χαρὰν γίνεσθαι ἐν οὐρανῷ ἐπὶ ἑνὶ μετανοοῦντι ἁμαρτωλῷ ἀποφηνάμενον. Μὴ γένοιτο, ἡμᾶς οὕτως ἢ πιστεῦσαι ἢ ἐννοῆσαι, ἕως ἂν ἑαυτῶν ἐσμὲν, ἀναθέματι δὲ αἰωνίῳ καθυποβάλλομεν τοὺς τὰ τοιαῦτα καὶ λέγοντας καὶ φρονοῦντας καὶ χείρους πάντων ἀπίστων γινώσκομεν.

Ὅ. 4: Πιστεύομεν τὸν τρισυπόστατον θεὸν, τὸν πατέρα, τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ποιητὴν εἶναι ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ ἀόρατα μὲν τὰς ἀγγελικὰς δυνάμεις, ψυχάς τε λογικὰς καὶ δαίμονας, — εἰ καὶ μὴ τοιούτους τοὺς δαίμονας, ὡς αὐτοὶ προαιρέσει ἰδίᾳ ὕστερον ἐγένοντο, ὁ θεὸς πεποίηκεν — ὁρατὰ δ' οὐρανὸν καὶ τὰ ὑπ' οὐρανόν. Ὅτι δὲ φύσει ἀγαθὸς ὁ ποιητὴς, ἐποίησε καλὰ λίαν πάντα ὅσα ἐποίησεν[1], οὐδὲ δύναταί ποτε κακοῦ ποιητὴς εἶναι. Εἰ δέ τι κακὸν, ταὐτὸν εἰπεῖν, ἁμάρτημα, γινόμενον ἐναντίως τῇ θείᾳ θελήσει, ἐστὶν ἐν τῷ ἀνθρώπῳ ἢ τῷ δαίμονι — ἁπλῶς γὰρ ἐν τῇ φύσει κακὸν οὐκ οἴδαμεν — ἐκεῖνο ἢ τοῦ ἀνθρώπου ἢ τοῦ διαβόλου εἶναι. Κανὼν γάρ ἐστιν ἀληθὴς καὶ ἀδιάπτωτος, κακοῦ τὸν θεὸν μηδαμῶς εἶναι δημιουργὸν, μήδε μὴν ὅλως δικαίῳ λόγῳ τοῦ θεοῦ καταψηφίζεσθαι.

Ὅ. 5: Πιστεύομεν πάντα τὰ ὄντα, εἴτε ὁρατὰ εἴτε ἀόρατα ὑπὸ τῆς τοῦ Θεοῦ κυβερνᾶσθαι προνοίας, τὰ δὲ κακὰ, ᾗ κακὰ, προειδέναι μὲν τὸν Θεὸν καὶ παραχωρεῖν, οὐ μὴν καὶ προνοητὴν εἶναι τούτων, ἐπεὶ μηδὲ ποιητὴν. Ἤδη γεγενημένα δὲ ἐσθ' ὅτε ἐπευθύνεσθαι πρός τι χρήσιμον ὑπὸ τῆς ἄκρας ἀγαθότητος, οὐ ποιούσης μὲν, ἐγκεντριζούσης δὲ πρὸς τὸ κρεῖττον ὡς οἷοντε ἐκείνοις. Ἐκθειάζειν δὲ, ἀλλ' οὐκ ἐξετάζειν ὀφείλομεν τὴν θείαν πρόνοιαν ἐν τοῖς ἀποῤῥήτοις καὶ μηδ' ὅλως ἀποκαλυφθεῖσι κρίμασι. Τὰ μέντοι παρὰ τῇ θείᾳ γραφῇ παραδεδόμενα περὶ αὐτῆς, ὡς συντείνοντα πρὸς ζωὴν αἰώνιον, δεῖν ἡμᾶς εὐγνωμόνως ἀνερευνᾶν καὶ ἑπομένως ταῖς πρώταις περὶ Θεοῦ ἐννοίαις ἀνενδοιάστως ἐκλαμβάνειν.

Ὅ. 6: Πιστεύομεν τὸν πρῶτον ἄνθρωπον κτισθέντα παρὰ Θεοῦ ἐν παραδείσῳ πεπτωκέναι, ὅτε καὶ παριδὼν τὴν θείαν ἐντολὴν τῇ τοῦ ὄφεως ἀπατηλῇ συμβουλῇ ἐπειθάρχησε· κἀντεῦθεν ἀναβλύσαι τὴν προ-

[1]) Gen. I, 31.

πατορικὴν ἁμαρτίαν τῇ διαδοχῇ, ὥστε μηδένα κατὰ σάρκα γεννᾶσθαι, ὃς τὸ φορτίον οὐκ ἐπιφέρει τοῦτο καὶ τοὺς καρποὺς αὐτῆς οὐκ αἰσθάνεται ἐν τῷ νῦν αἰῶνι. Καρποὺς δέ φαμεν καὶ φορτίον οὐ τὴν ἁμαρτίαν, οἷον ἀσέβειαν, βλασφημίαν, φόνον, παιδεραστείαν, μοιχείαν, πορνείαν, ἔχθος, καὶ εἴ τι ἕτερον ὑπὸ μοχθηρᾶς προαιρέσεως ἐναντίον τῇ θείᾳ θελήσει γίνεται, οὐχ ὑπὸ φύσεως· πολλοὶ γὰρ τῶν τε προπατόρων καὶ προφητῶν καὶ ἕτεροι μυρίοι ὅσοι τῶν ἐν τῇ σκιᾷ καὶ τῇ ἀληθείᾳ, ὅ τε θεῖος πρόδρομος καὶ κατ' ἐξαίρετον λόγον ἡ τοῦ Θεοῦ Λόγου μητὴρ καὶ ἀειπάρθενος Μαρία τῶν τοιούτων καὶ τῶν ὁμοίων τούτοις πλημμελημάτων οὐκ ἐπειράθησαν· ἀλλ' ἅπερ ὡς ποινὴν τῷ ἀνθρώπῳ διὰ τὴν παράβασιν δέδωκεν ἡ θεία δικαιοσύνη, οἷον ἱδρῶτας τῶν πόνων, θλίψεις, σωματικὰς ἀσθενείας, ὠδῖνας τοῦ τίκτειν καὶ τέως τὸ ζῆν ἐν τῇ παροικίᾳ ἐπιπόνως, καὶ τελευταῖον τὸν σωματικὸν θάνατον.

Ὅ. 7: *Πιστεύομεν τὸν υἱὸν τοῦ Θεοῦ Ἰησοῦν Χριστὸν κένωσιν ὑποστῆναι, τοῦτ' ἔστιν, ἐν τῇ ἰδίᾳ ὑποστάσει τὴν ἀνθρωπίνην σάρκα προσειληφέναι ἐκ πνεύματος ἁγίου, ἐν τῇ γαστρὶ τῆς ἀειπαρθένου Μαρίας συλληφθέντα καὶ ἐνανθρωπήσαντα, γεννηθέντα χωρὶς τοῦ δοῦναι πόνον ἢ ὠδῖνας τῇ ἰδίᾳ κατὰ σάρκα μητρὶ ἢ τὴν παρθενίαν αὐτῆς διασεῖσαι, παθόντα, ταφέντα, ἀναστάντα ἐν δόξῃ τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς*[1], *ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς, ὃν καὶ προσδοκῶμεν ἐλευσόμενον κρῖναι ζῶντας καὶ νεκρούς.*

Ὅ. 8: *Πιστεύομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μόνον μεσίτην γεγονέναι, καὶ δόντα ἑαυτὸν λύτρον περὶ πάντων τὴν καταλλαγὴν διὰ τοῦ ἰδίου αἵματος πεπονηκέναι ἀνάμεσον Θεοῦ καὶ ἀνθρώπων, καὶ αὐτὸν κηδόμενον τῶν ἰδίων εἶναι παράκλητον καὶ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἐν ταῖς πρὸς αὐτὸν μέντοι ἐντεύξεσι καὶ αἰτήσεσιν εἶναι πρεσβευτὰς τοὺς ἁγίους φαμὲν καὶ πρὸ πάντων τὴν πανάχραντον μητέρα αὐτοῦ τοῦ Θεοῦ Λόγου, τοὺς τε ἁγίους ἀγγέλους, οὓς καὶ προστατοῦντας ἡμῶν οἴδαμεν, ἀποστόλους, προφήτας, μάρτυρας, ὁσίους καὶ πάντας, οὓς ἐκεῖνος ἐδόξασεν ὡς πιστοὺς αὐτοῦ θεράποντας, οἷς συναριθμοῦμεν καὶ τοὺς ἀρχιερεῖς καὶ ἱερεῖς ὡς περισταμένους τῷ θείῳ θυσιαστηρίῳ καὶ τοὺς ἀρετῇ διαφέροντας δικαίους ἄνδρας. Εὔχεσθαι γὰρ ὑπὲρ ἀλλήλων καὶ πολὺ ἰσχύειν τὴν δέησιν τοῦ δικαίου*[2], *καὶ μᾶλλον ἀκούειν τὸν Θεὸν τῶν ἁγίων ἢπερ τῶν ἐν ἁμαρτίαις ἐγκαλινδουμένων, ἐκ τῶν ἱερῶν διδασκόμεθα λογίων. Οὐ μόνον δὲ ἔτι ὄντας ἐν τῇ παροικίᾳ τοὺς ἁγίους μεσίτας καὶ πρεσβευτὰς ἡμῶν πρὸς Θεὸν ὁμολογοῦμεν, ἀλλὰ καὶ μετὰ θάνατον μάλιστα, ὅτε καὶ, τῶν ἐσόπτρων λυθέντων, καθαρῶς ἐποπτεύουσι τὴν ἁγίαν τριάδα τὸ ἄπειρον ἐκείνης φῶς τούτων ἐν τῷ νῷ τίθησι τὰ ἡμέτερα. Ὡς γὰρ τοὺς προφήτας ἐν τῷ αἰσθητῷ ὄντας σώματι οὐκ ἀμφιβάλλομεν εἰδέναι τὰ ἐν οὐρανῷ, δι' ὧν τὰ μέλλοντα ἐχρησμωδότουν· οὕτω καὶ τοὺς ἀγγέλους καὶ τοὺς ὡς ἀγγέλους γεγεννημένους ἁγίους εἰδέναι τὰ ἡμέτερα τῷ ἀπείρῳ τοῦ*

[1]) 1. Cor. XV, 3. 4. [2]) Iac. V, 16.

Θεοῦ φωτὶ οὐ διστάζομεν, ἀλλὰ μᾶλλον ἀνενδοιάστως πιστεύομεν καὶ ὁμολογοῦμεν.

Ὅ. 9: Πιστεύομεν μηδένα σώζεσθαι ἄνευ πίστεως. Καλοῦμεν δὲ πίστιν τὴν οὖσαν ἐν ἡμῖν ὀρθοτάτην ὑπόληψιν περὶ Θεοῦ καὶ τῶν θείων, ἥτις ἐνεργουμένη διὰ τῆς ἀγάπης, ταὐτὸν εἰπεῖν, διὰ τῶν θείων ἐντολῶν, δικαιοῖ ἡμᾶς παρὰ Χριστοῦ καὶ ταύτης ἄνευ τῷ θεῷ εὐαρεστῆσαι ἀδύνατον.

Ὅ. 10: Πιστεύομεν τὴν λεγομένην, μᾶλλον δὲ τὴν οὖσαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, εἰς ἣν καὶ πιστεύειν δεδιδάγμεθα, πάντας τοὺς ἐν Χριστῷ πιστοὺς καθόλου περιέχειν, οἵτινες δηλονότι εἰσέτι καὶ νῦν ἐν τῇ παροικίᾳ ὄντες οὐκ ἔφθασαν ἐν τῇ πατρίδι ἀποδημῆσαι. Μηδαμῶς δὲ συγχέομεν τὴν ἐν τῇ παροικίᾳ ταύτην ἐκκλησίαν τῇ ἐν τῇ πατρίδι, διὰ τὸ εἶναι τυχόν, ὥς φασί τινες τῶν αἱρετικῶν, καὶ τῶν δύο τὰ μέλη πρόβατα τοῦ ἀρχιποιμένος Θεοῦ καὶ καθαγιάζεσθαι ὑπὸ τοῦ αὐτοῦ ἁγίου πνεύματος· ἄτοπον γὰρ ἅμα καὶ ἀδύνατον, ἐπειδὴ ἡ μὲν ἔτι πυκτεύει καὶ ἐν τῇ ὁδῷ ἐστίν, ἡ δὲ τροπαιοφορεῖ καὶ ἐν τῇ πατρίδι ἀποκατέστη, καὶ τὸ βραβεῖον εἴληφεν. Ἥστινος καθολικῆς ἐκκλησίας ἐπειδὴ θνητὸς ἄνθρωπος καθόλου καὶ ἀΐδιος κεφαλὴ εἶναι οὐ δύνατον, αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστι κεφαλὴ καὶ αὐτὸς τοὺς οἴακας ἔχων ἐν τῇ τῆς ἐκκλησίας κυβερνήσει πηδαλιουχεῖ διὰ τῶν ἁγίων πατέρων. Καὶ διὰ τοῦτο ταῖς κατὰ μέρος ἐκκλησίαις, κυρίως οὔσαις ἐκκλησίαις, καὶ ὑπὸ κυρίως μελῶν συνισταμέναις, ἡγουμένους καὶ ποιμένας καὶ ὅλως οὐκ ἐν καταχρήσει ἀλλὰ κυρίως ἀρχὰς καὶ κεφαλὰς τοὺς ἐπισκόπους ἔθηκε τὸ πνεῦμα τὸ ἅγιον, εἰς τὸν τῆς σωτηρίας ἡμῶν ἀρχηγὸν καὶ τελειωτὴν ἀφορώσας, καὶ εἰς αὐτὸν τὴν ἐνέργειαν τῆς κατὰ τὴν κεφαλὴν χορηγίας ἀναβιβάζουσας δηλονότι.

Ἐπειδὴ δὲ μετὰ τῶν ἄλλων ἀσεβειῶν ἔδοξε καὶ τοῦτο τοῖς Καλουΐνοις, ὅτι τυχὸν ταὐτόν ἐστιν ἱερεὺς ἁπλῶς καὶ ἀρχιερεύς· καὶ δυνατὸν μὴ εἶναι ἀρχιερέα καὶ διά τινων ἱερέων τὴν ἐκκλησίαν κυβερνᾶσθαι, καὶ οὐκ ἀρχιερεὺς ἀλλὰ καὶ ἱερεὺς δύναται χειροτονεῖν ἱερέα, καὶ πλείονας ἱερεῖς χειροτονεῖν ἀρχιερέα· καὶ ταύτης τῆς κακεντρεχίας κοινωνὸν εἶναι μεγαλορρήμονοῦσι καὶ τὴν ἀνατολικὴν ἐκκλησίαν, οὗ ἕνεκα καὶ τὸ δέκατον κεφάλαιον συγγέγραπται Κυρίλλῳ, φαμὲν πλατύτερον κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν γνώμην τῇ ἀνατολικῇ ἐκκλησίᾳ·

Ὅτι τὸ τοῦ ἐπισκόπου ἀξίωμα οὕτως ἐστὶν ἐν τῇ ἐκκλησίᾳ ἀναγκαῖον, ὥστε χωρὶς αὐτοῦ μὴ δύνασθαι μήτε ἐκκλησίαν μήτε Χριστιανόν τινα ἢ εἶναι ἢ ὅλως λέγεσθαι. Αὐτὸς γὰρ ὡς ἀποστολικὸς διάδοχος τὴν χάριν τὴν δοθεῖσαν ἐκείνῳ παρὰ τοῦ κυρίου εἰς τὸ δεσμεῖν τε καὶ λύειν, χειρῶν ἐπιθέσει καὶ ἐπικλήσει τοῦ παναγίου πνεύματος ἀλληλοδιαδόχως λαβὼν, ζῶσά ἐστι εἰκὼν τοῦ Θεοῦ ἐπὶ τῆς γῆς καὶ μετέξει πληρεστάτῃ ἐνεργείας τοῦ τελεταρχικοῦ πνεύματος, πηγὴ πάντων τῶν μυστηρίων τῆς καθολικῆς ἐκκλησίας, δι' ὧν σωτηρίας ἐπιτυγχάνομεν.

Οὕτω δὲ αὐτοῦ τὸ ἀναγκαῖον ἐννοοῦμεν ἐν τῇ ἐκκλησίᾳ, ὡς ἐν τῷ ἀνθρώπῳ τὴν ἀναπνοὴν καὶ ἐν τῷ κόσμῳ τὸν ἥλιον. Ὅθεν καί τισι

κομψῶς πρὸς ἔπαινον τοῦ ἀρχιερατικοῦ ἀξιώματος εἴρηται· ὅ, τι Θεὸς ἐν τῇ οὐρανίῳ τῶν πρωτοτόκων ἐκκλησίᾳ, καὶ ἥλιος ἐν τῷ κόσμῳ, τοῦτο ἕκαστος ἀρχιερεὺς ἐν τῇ κατὰ μέρος ἐκκλησίᾳ, ὡς δι' οὗ τὸ ποίμνιον λαμπρύνεται, θάλπει καὶ ναὸς Θεοῦ γίνεται[1].

Ὅτι δὲ ἀλληλοδιαδόχως τὸ τῆς ἐπισκοπικῆς μέγα μυστήριον καὶ ἀξίωμα δίδοται μέχρις ἡμῶν, φανερὸν. Ὁ γὰρ κύριος εἰπών εἶναι μεθ' ἡμῶν εἰς τὸν αἰῶνα[2], εἰ καὶ κατ' ἄλλους τρόπους χάριτος καὶ θείων εὐεργετημάτων ἐστὶ μεθ' ἡμῶν, ἀλλ' οὖν κυριωτέρῳ τρόπῳ διὰ τῆς ἐπισκοπικῆς τελεταρχίας οἰκειοῦται ἡμᾶς καὶ σύνεστιν ἡμῖν, καὶ διὰ τῶν ἱερῶν μυστηρίων ἑνοῦται ἡμῖν, ὧν πρωτουργός ἐστι καὶ τελετάρχης διὰ τοῦ πνεύματος ὁ ἐπίσκοπος καὶ οὐκ ἐᾷ αἱρέσει ὑποπεσεῖν. Καὶ διὰ τοῦτο καὶ Δαμασκηνὸς τετάρτῃ ἐπιστολῇ πρὸς Ἀφρικανοὺς ἔλεγε, τὴν καθόλου ἐκκλησίαν τοῖς ἐπισκόποις γενικῶς ἐπιτετράφθαι, καὶ Κλήμης πρῶτος Ῥωμαίων ἐπίσκοπος καὶ Εὐόδιος ἐν Ἀντιοχείᾳ καὶ Μάρκος ἐν Ἀλεξανδρείᾳ Πέτρου διάδοχοι ὁμολογοῦνται. Καὶ Στάχυν ἐν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ ὁ θεῖος Ἀνδρέας ἀντ' ἐκείνου καθίστησι, καὶ ἐν τῇ μεγάλῃ ταύτῃ ἁγίᾳ πόλει Ἱερουσαλὴμ ὁ μὲν κύριος Ἰάκωβον ποιεῖ, μετὰ δὲ Ἰάκωβον ἕτερος ἐγένετο, καὶ μετ' ἐκεῖνον ἕτερος ἄχρις ἡμῶν, καὶ διὰ τοῦτο Τερτυλλιανὸς ἐν τῇ πρὸς Παπιανὸν ἐπιστολῇ πάντας τοὺς ἐπισκόπους ἀποστολικοὺς διαδόχους καλεῖ. Τούτων τὴν διαδοχὴν καὶ τὴν ἀποστολικὴν ἀξίαν καὶ ἐξουσίαν καὶ Εὐσέβιος ὁ Παμφίλου μαρτυρεῖ καὶ ἁπλῶς οἱ πατέρες μαρτυροῦσιν, οὓς περιττὸν ἐγκαταλέγειν, καὶ ἡ κοινὴ καὶ ἀρχαιοτάτη τῆς καθολικῆς ἐκκλησίας συνήθεια βεβαιοῖ.

Ὅτι δὲ διαφέρει τὸ ἐπισκοπικὸν ἀξίωμα τοῦ ἁπλῶς ἱερέως, δῆλον. Ὁ γὰρ ἱερεὺς χειροτονεῖται ὑπὸ τοῦ ἐπισκόπου, ἐπίσκοπος δὲ οὐ χειροτονεῖται ὑπὸ ἱερέως, ἀλλ' ὑπὸ δύο ἢ τριῶν ἀρχιερέων, ὡς ὁ ἀποστολικὸς βούλεται κανών. Καὶ ὁ μὲν ἱερεὺς ἐκλέγεται ὑπὸ τοῦ ἐπισκόπου, ὁ δὲ ἀρχιερεὺς οὐκ ἐκλέγεται ὑπὸ τῶν ἱερέων εἴτ' οὖν πρεσβυτέρων, οὔτ' ἐκλέγεται ὑπὸ πολιτικῶν ἀρχόντων, ἀλλ' ὑπὸ συνόδου τῆς ἀνωτάτω ἐκκλησίας τοῦ κλίματος ἐκείνου, ἐν ᾧ κεῖται ἡ πόλις ἡ δεξομένη τὸν χειροτονηθησόμενον, ἢ τοὐλάχιστον ὑπὸ τῆς συνόδου τῆς ἐπαρχίας ἐκείνης, ἐν ᾗ δεῖ γίνεσθαι τὸν ἐπίσκοπον. Εἰ δέ ποτε καὶ ἡ πόλις ἐκλέγοι, ἀλλ' οὐχ ἁπλῶς· ἡ γὰρ ἐκλογὴ τῇ συνόδῳ ἀναφέρεται, καὶ εἰ μὲν δόξοι ταύτην κατὰ κανόνας καλῶς ἔχειν, ὁ ἐκλεχθεὶς προβάλλεται διὰ τῆς χειροθεσίας μὲν τῶν ἐπισκόπων, τῇ ἐπικλήσει δὲ τοῦ παναγίου πνεύματος εἰ δὲ μή, ὃν βούλεται ἡ σύνοδος, ἐκεῖνος καὶ προβιβάζεται. Καὶ ὁ μὲν ἱερεὺς εἰς ἑαυτὸν σώζει τὴν, ἣν εἴληφεν, ἐξουσίαν καὶ χάριν τῆς ἱερωσύνης, ὁ ἐπίσκοπος δὲ καὶ ἑτέροις μεταδίδωσι. Καὶ ὁ μὲν ἤδη λαβὼν τὸ τῆς ἱερωσύνης ἀξίωμα ὑπὸ τοῦ ἐπισκόπου, βάπτισμα μόνον τελεῖ τὸ ἅγιον καὶ εὐχέλαιον, ἱερουργεῖ τὴν ἀναίμακτον θυσίαν καὶ μεταδίδωσι τῷ λαῷ τὸ πανάγιον σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χρίει τοὺς βαπτιζομένους τῷ ἁγίῳ

[1]) 2. Cor. VI, 16. [2]) Matth. XXVIII, 20.

μύρῳ, στεφανοῖ τοὺς κατὰ νόμον γαμοῦντας εὐσεβεῖς, εὔχεται ὑπὲρ τῶν ἀσθενῶν καὶ ὑπὲρ πάσης σωτηρίας καὶ ἀληθείας ἐπιγνώσεως πάντων ἀνθρώπων[1], ἐξαιρέτως δ' ὑπὲρ τῆς τῶν εὐσεβῶν ζώντων καὶ τεθνεώτων ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν. Εἰ δὲ καὶ δοκιμῇ καὶ ἀρετῇ διαφέροι, λαβὼν ἐξουσίαν παρὰ τοῦ ἐπισκόπου διορθοῖ τοὺς πρὸς αὐτὸν ἐρχομένους εὐσεβεῖς, καὶ εἰς τὴν πρὸς κτῆσιν τῆς οὐρανίου βασιλείας ὁδὸν ποδηγετεῖ, καὶ κήρυξ τοῦ ἱεροῦ προχειρίζεται εὐαγγελίου. Ὁ δὲ ἀρχιερεὺς καὶ τούτων ἁπάντων διάκονός ἐστιν, ἐπείδηπερ αὐτός ἐστιν, ὡς εἴρηται, πηγὴ τῶν θείων μυστηρίων καὶ χαρισμάτων διὰ τοῦ ἁγίου πνεύματος, καὶ τὸ ἅγιον μύρον μονώτατος ἐπιτελεῖ. Καὶ αἱ χειροτονίαι πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ τάξεων καὶ βαθμῶν τούτου εἰσὶν ἴδιαι· καὶ κατὰ πρῶτον καὶ ὑπέρτερον λόγον οὗτος δεσμεῖ καὶ λύει, καὶ Θεῷ ἡ κρίσις εὐαπόδεκτος, ὡς ὁ κύριος εἴρηκε.[2] Καὶ τὸ ἱερὸν εὐαγγέλιον διδάσκει καὶ τῆς εὐσεβοῦς ὑπερμαχεῖ πίστεως καὶ τοὺς παρακούοντας ὡς ἐθνικοὺς καὶ τελώνας τῆς ἐκκλησίας ἀποδιΐστησι, καὶ τοὺς αἱρετικοὺς ἀφορισμῷ καὶ ἀναθέματι καθυποβάλλει, καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ἐξ ὧν καταφανές ἐστιν, ἀναντιῤῥήτως διαφέρειν τὸν ἐπίσκοπον τοῦ ἁπλῶς ἱερέως καὶ πλὴν αὐτοῦ μὴ δυναμένους πάντας τοὺς ἐν τῷ κόσμῳ ἱερεῖς ἐκκλησίαν Θεοῦ ποιμάναι ἢ ὅλως κυβερνῆσαι.

Ἀλλὰ καλῶς λέγεταί τινι τῶν πατέρων, οὐ ῥᾴδιον, αἱρετικὸν ἄνδρα συνετὸν εὑρεῖν. Καταλιπόντες γὰρ οὗτοι τὴν ἐκκλησίαν, ἐγκατελείφθησαν ὑπὸ τοῦ ἁγίου πνεύματος καὶ οὐκ ἔμεινεν ἐν αὐτοῖς σύνεσις οὔτε φῶς ἀλλὰ σκότος καὶ πώρωσις. Εἰ γὰρ μὴ τοιαῦτα πεπόνθασιν, οὐκ ἂν πρὸς τὰ φανερώτατα ἀντιτείναιντο, ἐξ ὧν ἐστὶ καὶ τὸ τῆς ἐπισκοπικῆς μέγα ὄντως μυστήριον ὑπὸ τῆς γραφῆς διδασκόμενον, ὑπό τε πάσης ἐκκλησιαστικῆς ἱστορίας καὶ συγγραφῆς ἁγίων συγγραφόμενόν τε καὶ μαρτυρούμενον, καὶ ὑπὸ τῆς καθολικῆς ἐκκλησίας ἀεὶ γινόμενόν τε καὶ ὁμολογούμενον.

Ὅ. 11: *Πιστεύομεν μέλη τῆς καθολικῆς ἐκκλησίας εἶναι πάντας καὶ μόνους τοὺς πιστοὺς, τοὺς τὴν τοῦ σωτῆρος Χριστοῦ δηλαδὴ ἀμώμητον πίστιν ὑπό τε ἐκείνου τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων καὶ τῶν ἁγίων οἰκουμενικῶν συνόδων δειχθεῖσαν, ἀδιστάκτως πρεσβεύοντας, κἂν καί τινες ἐξ αὐτῶν ἁμαρτίαις παντοίαις ὑπεύθυνοι εἶεν. Εἰ γὰρ μὴ ἦν μέλη τῆς ἐκκλησίας οἱ πιστοὶ μὲν, ἁμαρτίαις δὲ συζῶντες, οὐκ ἂν ὑπὸ τῆς ἐκκλησίας ἐκρίνοντο. Νῦν δὲ κρινόμενοi ὑπ' αὐτῆς, εἴς τε μετάνοιαν προσκαλούμενοι καὶ εἰς τὸν τρίβον τῶν σωτηρίων ἐντολῶν ποδηγετούμενοι, κἂν καὶ ἔτι ἁμαρτίαις ῥυπαίνοιντο, μόνον δι' αὐτὸ τοῦτο, ὅτι οὐ πεπτώκασιν εἰς ἀπόγνωσιν καὶ ὅτι τῆς καθολικῆς καὶ εὐσεβοῦς ἀντέχοντες πίστεως μέλη τῆς καθολικῆς ἐκκλησίας εἰσὶ καὶ γινώσκονται.*

Ὅ. 12: *Πιστεύομεν ὑπὸ τοῦ ἁγίου πνεύματος διδάσκεσθαι τὴν καθολικὴν ἐκκλησίαν. Αὐτὸ γάρ ἐστιν ὁ ἀληθὴς παράκλητος, ὃν πέμ-*

[1]) 1. Tim. II, 4. [2]) Matth. XVI, 19.

πει παρὰ τοῦ πατρὸς ὁ Χριστὸς τοῦ διδάσκειν τὴν ἀλήθειαν καὶ τὸ σκότος ἀπὸ τῆς τῶν πιστῶν διανοίας ἀποδιώκειν. Ἡ τοῦ ἁγίου πνεύματος ὅμως διδαχὴ οὐκ ἀμέσως ἀλλὰ διὰ τῶν ἁγίων πατέρων καὶ καθηγεμόνων τῆς καθολικῆς ἐκκλησίας καταγλαΐζει τὴν ἐκκλησίαν. Ὡς γὰρ ἡ πᾶσα γραφὴ ἐστί τε καὶ λέγεται λόγος τοῦ ἁγίου πνεύματος, οὐχ ὅτι ἀμέσως ὑπ' αὐτοῦ ἐλαλήθη, ἀλλ' ὅτι ὑπ' αὐτοῦ διὰ τῶν ἀποστόλων καὶ προφητῶν· οὕτω καὶ ἡ ἐκκλησία διδάσκεται μὲν ὑπὸ τοῦ ζωαρχικοῦ πνεύματος ἀλλὰ διὰ μέσου τῶν ἁγίων πατέρων καὶ διδασκάλων (ὧν κανὼν αἱ οἰκουμενικαὶ καὶ ἅγιαι ὁμολόγηνται σύνοδοι· οὐ γὰρ τοῦτο παύσομαι μυριάκις λέγειν), καὶ διὰ τοῦτο οὐ μόνον πεπείσμεθα, ἀλλὰ καὶ ἀληθὲς καὶ βέβαιον ἀναμφιβόλως εἶναι ὁμολογοῦμεν, τὴν καθολικὴν ἐκκλησίαν ἀδύνατον ἁμαρτῆσαι ἢ ὅλως πλανηθῆναι ἤ ποτε τὸ ψεῦδος ἀντὶ τῆς ἀληθείας ἐκλέξαι. Τὸ γὰρ παν-άγιον πνεῦμα ἀείποτε ἐνεργοῦν διὰ τῶν πιστῶς διακονούντων ἁγίων πατέρων καὶ καθηγεμόνων πάσης ὁποιασοῦν πλάνης τὴν ἐκκλησίαν ἀπαλλάττει.

Ὅ. 13: Πιστεύομεν οὐ διὰ πίστεως ἁπλῶς μόνης δικαιοῦσθαι τὸν ἄνθρωπον ἀλλὰ διὰ πίστεως καὶ ἐνεργουμένης διὰ τῆς ἀγάπης, ταὐτὸν εἰπεῖν, διὰ τῆς πίστεως καὶ τῶν ἔργων. Τὸ δὲ τὴν πίστιν χειρὸς ἔργον ἀποπληροῦσαν ἀντιλαμβάνεσθαι τῆς ἐν Χριστῷ δικαιοσύνης καὶ προσάπτειν ἡμῖν εἰς σωτηρίαν, πόρρω πάσης εὐσεβείας γινώσκομεν. Οὕτω γὰρ ἐννοουμένη ἡ πίστις πᾶσιν ἐφαρμοσθείη καὶ οὐκ ἂν εἴη ὁ μὴ σωζόμενος, ὅπερ ἀντικρὺ ψεῦδός ἐστι. Τοὐναντίον δὲ μᾶλλον πιστεύομεν, ὅτι οὐ τῆς πίστεως ἀναφορικὸν ἀλλὰ τὴν οὖσαν ἐν ἡμῖν πίστιν διὰ τῶν ἔργων δικαιοῦν ἡμᾶς παρὰ Χριστοῦ. Ἐννοοῦμεν δὲ τὰ ἔργα οὐ μάρτυρας τήν ἡμετέραν κλῆσιν ἐπιβεβαιοῦντας, ἀλλὰ καρποὺς καθ' ἑαυτοὺς ὄντας, δι' ὧν ἡ πίστις λαμβάνει τὸ ἔμπρακτον καὶ καθ' ἑαυτὰ ἄξια διὰ τὰς θείας ἐπαγγελίας[1] τοῦ κομίσασθαι ἕκαστον τῶν πιστῶν τὰ διὰ τοῦ σώματος αὐτῷ πεπραγμένα, εἴτ' ἀγαθὸν εἴτε κακὸν δηλονότι.

Ὅ. 14: Πιστεύομεν τὸν ἄνθρωπον κατολισθήσαντα τῇ παραβάσει παρασυμβληθῆναι καὶ ὁμοιωθῆναι τοῖς κτήνεσι, τοῦτ' ἔστιν, ἀμαυρωθῆναι καὶ τῆς τελειότητος καὶ ἀπαθείας ἐκπεσεῖν, οὐ μὴν καὶ τῆς ἧς ἔτυχε παρὰ τοῦ ἄκρως ἀγαθοῦ Θεοῦ φύσεως καὶ ἐνεργείας ἐξεστηκέναι. Οὕτω γὰρ οὐκ ἂν ἦν λογικὸς καὶ ἑπομένως οὐδ' ἄνθρωπος· ἀλλ' ἔχειν τὴν φύσιν αὐτὴν, ᾗ ἔκτισται καὶ τὴν τῆς φύσεως ἐνέργειαν, ἥτις ἐστὶ τὸ αὐτεξούσιον, ζῶσαν καὶ ἐνεργὸν· ὥστε κατὰ φύσιν δύνασθαι αἱρεῖσθαι μὲν καὶ ἐργάζεσθαι τὸ καλὸν, φεύγειν δὲ καὶ μυσάττεσθαι τὸ κακὸν. Ἄτοπον γὰρ τὸ τὴν καλὴν παρὰ τοῦ ἄκρως ἀγαθοῦ δημιουργηθεῖσαν φύσιν ἄμοιρον ἀγαθῆς ἐνεργείας ὁμολογεῖν. Τοῦτο γὰρ κακὴν εἶναι τὴν φύσιν λέγειν ἐστίν· οὗ τί ἀσεβέστερον; Ἡ γὰρ ἐνέργεια τῆς φύσεως ἧρτηται, ἡ φύσις δὲ τοῦ δημιουργοῦ· εἰ καὶ ὁ τρόπος διαφέρει. Ὅτι δὲ δύναται ὁ ἄνθρωπος φύσει ἐργάζεσθαι τὸ ἀγαθὸν, ὑπαινίττεται μὲν

[1]) 2. Cor. V, 10.

καὶ ὁ κύριος λέγων[1], καὶ τοὺς ἐθνικοὺς ἀγαπᾶν τοὺς ἀγαπῶντας αὐτούς. Διδάσκεται δὲ σαφέστατα καὶ ὑπὸ τοῦ Παύλου Ῥωμ. πρώτ. κεφ. ιθ'. καὶ ἀλλαχοῦ[2] ῥητῶς, ἐν οἷς φησὶ, τὰ μὴ νόμον ἔχοντα ἔθνη φύσει τὰ τοῦ νόμου ποιεῖν. Ἐξ ὧν φανερὸν καὶ τοῦτο, ὅτι δηλαδὴ ἀδύνατον, ὅτι ποιήσει ὁ ἄνθρωπος ἀγαθὸν, ἁμαρτίαν εἶναι. Τὸ γὰρ καλὸν ἀδύνατον κακὸν εἶναι. Γινόμενον μέντοι φύσει μόνῃ καὶ ψυχικὸν, οὐχὶ δὲ καὶ πνευματικὸν ποιοῦν τὸν μετερχόμενον, οὐ συμβάλλεται πρὸς σωτηρίαν ἁπλῶς ἄνευ πίστεως, ἀλλ' οὐδὲ μὴν πρὸς κατάκρισιν· οὐδὲ γὰρ ἐνδέχεται, τὸ καλὸν, ᾗ τοιοῦτον, κακοῦ γενέσθαι αἰτίαν. Ἐν τοῖς ἀναγεννηθεῖσι δὲ, ὑπὸ τῆς χάριτος καὶ μετὰ τῆς χάριτος ἐνεργούμενον τέλειον ἀπεργάζεται καὶ σωτηρίας ἄξιον ποιεῖται τὸν ἐνεργοῦντα.

Ὁ ἄνθρωπος τοιγαροῦν πρὸ τῆς ἀναγεννήσεως δύναται φύσει κλίνειν πρὸς τὸ καλὸν καὶ αἱρεῖσθαι καὶ ἐργάζεσθαι τὸ ἠθικὸν καλόν. Ἀναγεννηθεὶς δὲ ἵνα ποιῇ τὸ πνευματικὸν καλὸν — σωτηρίας γὰρ ὄντα παραίτια τοῦ πιστοῦ τὰ ἔργα καὶ ὑπὸ χάριτος ὑπερφυοῦς ἐνεργούμενα καὶ πνευματικὰ εἰκότως ὀνομάζεται — ἀνάγκη προηγεῖσθαι καὶ προφθάνειν τὴν χάριν, ὃν τρόπον εἴρηται ἐν τοῖς περὶ προορισμοῦ· ὥστε μηδὲν δύνασθαι ἐξ ἑαυτοῦ τῆς κατὰ Χριστὸν ζωῆς ἄξιον ἔργον ἐκτελέσαι, ἐξ ἑαυτοῦ μέντοι ἔχειν τὸ θελῆσαι ἢ μὴ θελῆσαι τῇ χάριτι συγκατατεθῆναι.

Ὄ. 15: Πιστεύομεν τὰ εὐαγγελικὰ μυστήρια ἐν τῇ ἐκκλησίᾳ εἶναι, κἀκεῖνα εἶναι ἑπτά. Ἐλάττονα γὰρ ἢ μείζονα ἀριθμὸν μυστηρίων ἐν τῇ ἐκκλησίᾳ οὐκ ἔχομεν· ἐπειδὴ ὁ παρὰ τὸν ἑπτὰ τῶν μυστηρίων ἀριθμὸς αἱρετικῆς φρενοβλαβείας ἐστὶν ἀποκύημα. Ὁ δὲ τῶν ἑπτὰ παρὰ τοῦ ἱεροῦ εὐαγγελίου νομοθετεῖται καὶ συνάγεται, ὡς καὶ τὰ λοιπὰ τῆς καθολικῆς πίστεως δόγματα. Αὐτίκα γὰρ ὁ κύριος τὸ μὲν ἅγιον βάπτισμα διὰ τοῦ· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ ἁγίου πνεύματος[3], καὶ τοῦ· ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται[4], παραδέδωκε.

Τὸ δὲ τῆς βεβαιώσεως, ταὐτὸν εἰπεῖν, τοῦ ἁγίου μύρου καὶ ἁγίου χρίσματος, διὰ τοῦ· ὑμεῖς δὲ καθήσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους[5]. Ἦν ἐνεδύσαντο τῇ ἐπιδημίᾳ τοῦ ἁγίου πνεύματος, καὶ ταύτην δηλοῖ τὸ τῆς βεβαιώσεως μυστήριον, περὶ οὗ καὶ Παῦλος δευτέρας πρὸς Κορινθίους κεφαλαίῳ πρώτῳ, καὶ τρανώτερον διὰ τοῦ Ἀρεοπαγίτου Διονυσίου διαλέγεται.[6]

---

[1]) Matth. V, 47. [2]) Rom. II, 14. [3]) Matth. XXVIII, 19.
[4]) Marc. XVI, 16. [5]) Luc. XXIV, 49.
[6]) Dicit Eccles. Hierarch. IV. cap. inscripto: *περὶ τῶν ἐν τῷ Μύρῳ τελουμένων καὶ τῶν ἐν αὐτῷ τελειουμένων.* Qui pater, fere junior habitus, quam vere vixit, nuncupavit hoc sacra mentum *Μύρου τελετὴν*, quod nomen a praeceptoribus se accepisse testatur. Fuit vero in ecclesia triplex oleum, catechumenorum, chrismatis et infirmorum; patetque hoc loco, quod altero loco est, significari. Hoc quidem in sacramento confirmationis pro materia necessaria habebatur. Cfr. Conf. Orth. p. 71. —

Τὴν δὲ ἱερωσύνην διὰ τοῦ· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν[1], *καὶ διὰ τοῦ· ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ λελυμένα ἐν τοῖς οὐρανοῖς.*[2]

Τὴν δὲ ἀναίμακτον θυσίαν διὰ τοῦ· λάβετε, φάγετε. τοῦτό ἐστι τὸ σῶμά μου, καὶ· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης[3], *καὶ τοῦ· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.*[4]

Τὸν δὲ γάμον μετὰ τὸ εἰπεῖν τὰ ἐν τῇ παλαιᾷ περὶ αὐτοῦ εἰρημένα διὰ τῆς οἷον ἐπισφραγίσεως τοῦ· οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω[5], *ὃν καὶ ὁ θεῖος ἀπόστολος μέγα ἐπικαλεῖ μυστήριον.*[6]

Τὴν δὲ μετάνοιαν, ἥτινί ἐστι σύμμικτος ἡ μυστηριακὴ ἐξομολόγησις, διὰ τοῦ· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται[7], *καὶ τοῦ· ἐὰν μὴ μετανοήσητε, ὡσαύτως ἀπολεῖσθε.*[8]

Τὸ δὲ ἅγιον ἔλαιον εἴτ' οὖν εὐχέλαιον λέγεται παρὰ τῷ Μάρκῳ[9], *μαρτυρεῖται δὲ ῥητῶς ὑπὸ τοῦ ἀδελφοθέου.*[10]

Σύγκειται δὲ τὰ μυστήρια ἐκ τοῦ φυσικοῦ καὶ ὑπερφυοῦς· οὐκ εἰσὶ δὲ ψιλὰ σημεῖα τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. Οὕτω γὰρ οὐκ ἂν διενήνοχε τῆς περιτομῆς, οὗ τί ἀθλιώτερον; Ὁμολογοῦμεν δ' αὐτὰ εἶναι ὄργανα δραστικὰ τοῖς μυουμένοις χάριτος ἐξ ἀνάγκης. Ἀποπτύομεν δὲ ὡς ἀλλότριον τῆς Χριστιανικῆς διδασκαλίας τὸ τὴν ἀκεραιότητα τῶν μυστηρίων ἀπαιτεῖν τὴν χρῆσιν τοῦ γηΐνου πράγματος· ἀντίκειται γὰρ τῷ μυστηρίῳ τῆς προσφορᾶς, ὃ ῥήματι ὑπαρκτικῷ νομοθετηθὲν καὶ τῇ ἐπικλήσει τοῦ ἁγίου πνεύματος ἁγιασθὲν τελειοῦται τῇ ὑπάρξει τοῦ σημαινομένου, τοῦ σώματος δηλαδὴ καὶ αἵματος τοῦ Χριστοῦ. Καὶ προηγεῖται ἡ τούτου τελείωσις ἀναγκαίως τῆς χρήσεως. Εἰ γὰρ πρὸ τῆς χρήσεως μὴ ἦν τέλειον, οὐκ ἂν ὁ κακῶς χρώμενος κρῖμα ἑαυτῷ ἤσθιε καὶ ἔπινεν· ἐπεὶ ψιλοῦ ἄρτου καὶ οἴνου ἦν μετεσχηκώς. Νῦν δ' ἀναξίως μετέχων κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει· ὥστε οὐκ ἐν τῇ χρήσει ἀλλὰ καὶ πρὸ τῆς χρήσεως ἔχει τὸ τῆς εὐχαριστίας μυστήριον τὴν τελείωσιν. Ἔτι ἀποῤῥίπτομεν ὡς κάθαρμά τι καὶ μίασμα τὸ· ἐλλιπῶς γὰρ ἐχούσης τῆς πίστεως ζημιοῦται ἡ ὁλοκληρία τοῦ μυστηρίου. Οἱ γὰρ αἱρετικοί, οὓς τὴν αἵρεσιν ἀποσεισαμένους καὶ προστεθέντας τῇ καθολικῇ ἐκκλησίᾳ, δέχεται ἡ ἐκκλησία· καίτοι ἐλλιπῆ ἐσχηκότες τὴν πίστιν τέλειον ἔλαβον τὸ βάπτισμα· ὅθεν τελείαν ὕστερον τὴν πίστιν κεκτημένοι οὐκ ἀναβαπτίζονται.

Ὅ. 16: *Πιστεύομεν τὸ ἅγιον βάπτισμα, τὸ διαταγὲν μὲν παρὰ τοῦ κυρίου, γινόμενον δὲ ἐν ὀνόματι τῆς ἁγίας τριάδος, εἶναι τῶν ἀναγκαιοτάτων. Χωρὶς γὰρ αὐτοῦ οὐδεὶς δύναται σωθῆναι, ὡς ὁ κύριός φησιν*[11]· *ὅστις οὐ μὴ γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Καὶ διὰ τοῦτό ἐστιν ἀναγκαῖον καὶ τοῖς νη-*

---

[1]) Luc. XXII, 19. [2]) Matth. XVIII, 18. [3]) Matth. XXVI, 26 et parall.
[4]) Ioann. VI, 54. [5]) Matth. XIX, 6. [6]) Ephes. V, 32. [7]) Ioann. XX, 23.
[8]) Luc. XIII, 3. 5. [9]) Marc. VI, 13. [10]) Iac. V, 14. [11]) Ioann. III, 5.

πίοις, ἐπειδὴ κἀκεῖνα ὑπόκεινται τῇ ἀρχεγόνῳ ἁμαρτίᾳ καὶ χωρὶς τοῦ βαπτίσματος οὐ δύναται τυχεῖν τῆς ἀφέσεως· ὅπερ ὁ κύριος δεικνύων οὐκ ἔφη μερικῶς ἀλλ' ἁπλῶς καὶ καθόλου· ὅστις οὐ μὴ γεννηθῇ, ὃ ταὐτόν ἐστι τῷ· πάντας τοὺς μετὰ τὴν ἔλευσιν τοῦ σωτῆρος Χριστοῦ εἰσελευσομένους ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν δεῖ ἀναγεννηθῆναι. Εἰ δὲ τὰ νήπια ἄνθρωποι, εἴπερ καὶ ταῦτα δεῖται σωτηρίας· δεῖται σωτηρίας, δεῖται καὶ τοῦ βαπτίσματος. Καὶ τὰ μὴ ἀναγεννηθέντα, ὡς μὴ τὴν ἄφεσιν τῆς προπατορικῆς ἁμαρτίας λαβόντα, ὑπόκειται τῇ ἀϊδίῳ τῆς ἁμαρτίας ἀνάγκης ποινῇ, καὶ ἑπομένως οὐ σώζεται χωρὶς τοῦ βαπτίσματος· ὥστε δεῖ ἀναγκαίως καὶ τὰ νήπια βαπτίζεσθαι. Ἔτι τὰ νήπια σώζεται, ὡς λέγεται παρὰ τῷ Ματθαίῳ[1]· ὁ δὲ μὴ βαπτισθεὶς οὐ σώζεται· καὶ τὰ νήπια ἄρα ἀναγκαίως βαπτισθήσονται. Καὶ ἐν ταῖς Πράξεσι[2] λέγεται, ὅτι πᾶσαι αἱ οἰκίαι ἐβαπτίζοντο, ἄρα καὶ τὰ νήπια. Τοῦτο καὶ οἱ πάλαι πατέρες μαρτυροῦσι σαφῶς, ἐν οἷς καὶ Διονύσιος ἐν τῷ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας[3]. Καὶ Ἰουστῖνος πεντεκοστῷ ἕκτῳ ζητήματι, ὃς λέγει ῥητῶς· ἀξιοῦνται δὲ τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν τῇ πίστει τῶν προσφερόντων αὐτὰ τῷ βαπτίσματι. Καὶ Αὐγουστῖνος παράδοσιν εἶναί φησιν[4] ἀποστολικὴν, τὰ παιδία διὰ τοῦ βαπτίσματος σώζεσθαι· καὶ ἀλλαχοῦσε· ἡ ἐκκλησία τοῖς βρέφεσιν ἑτέρων πόδας ἐντίθησιν, ὅπως ἔρχωνται· ἑτέρων καρδίας, ὅπως πιστεύωσιν· ἑτέρων γλῶσσαν, ὅπως ἐπαγγέλλωνται. Καὶ ἀλλαχοῦ· ἡ μήτηρ ἐκκλησία μερικὴν καρδίαν ἐκείνοις χαρίζεται.

Γίνεται δὲ τὸ βάπτισμα δι' ὕλης μὲν ὕδατος καθαροῦ καὶ οὐδένος ἑτέρου ὑγροῦ. Ἀποτελεῖται δὲ διὰ μόνου τοῦ ἱερέως, καὶ κατ' ἀνάγκην ἀπροφάσιστον ἔχει γίνεσθαι καὶ δι' ἑτέρου ἀνθρώπου, πλὴν ὀρθοδόξου καὶ σκοπὸν ἔχοντος τὸν ἁρμόδιον τῷ θείῳ βαπτίσματι. Ἀποτελέσματα δὲ τοῦ βαπτίσματος, συνελόντι φάναι, πρῶτον ἡ ἄφεσις τοῦ προπατορικοῦ πλημμελήματος καὶ ὅσων ἄλλων ἁμαρτιῶν πεπραχὼς ἦν ὁ βαπτισθείς. Δεύτερον ῥύεται ἐκεῖνον τῆς ἀϊδίου ποινῆς, ἥτινι ὑπέκειτο, εἴτε διὰ τὸ ἀρχέγονον ἁμάρτημα εἴτε δι' ἃ ἰδικῶς ἔπραξε θανασίμως. Τρίτον δίδωσιν αὐτοῖς τὴν ἀθανασίαν· δικαιοῦν γὰρ αὐτοὺς τῶν προημαρτημένων ναοὺς Θεοῦ ἀποκαθίστησιν. Οὐκ ἔστι δ' εἰπεῖν, μὴ λύεσθαι διὰ τοῦ βαπτίσματος πάσας τὰς ὁπωσοῦν πρὸ τούτου ἁμαρτίας, ἀλλὰ μένειν μὲν, οὐκ ἰσχύειν δέ. Τοῦτο γὰρ ἀσεβείας τῆς ἐσχάτης ἐστὶ γέμον καὶ ἄρνησις μᾶλλον ἢ ὅλως ὁμολογία εὐσεβείας· ἀλλ' ὅτι πᾶσα ἁμαρτία

---

[1]) Matth. XIX, 12. [2]) Act. VIII, 12. XVI, 33.

[3]) Darüber spricht Dionysius im siebenten Kapitel, überschrieben: *De iis quae fiunt circa defunctos;* wo die Kindertaufe gegen ihre Gegner und Spötter fast durch dieselben Beweise widerlegt wird, wie man auch heutzutage zu tun pflegt. Außerdem beruft er sich auch auf die Überlieferung.

[4]) Veluti de Pecc. Mer. I, 39: Quia parvulos baptizandos esse concedunt, qui contra auctoritatem universae ecclesiae, *procul dubio per Dominum et Apostolos traditam*, venire non possunt etc. Augustinus wollte nämlich aus der Kindertaufe die Wahrheit der Erbsünde herausdemonstrieren.

πρὸ τοῦ βαπτίσματος οὖσα, ἢ γεγονυῖα ἀφανίζεται, καὶ ὡς μὴ οὖσά ποτε ἢ γεγονυῖα λογίζεται. Οἱ γὰρ τύποι τοῦ βαπτίσματος, πᾶσαι ἑκάτερον καὶ αἱ προμηνύουσαι καὶ τελειοῦσαι ῥήσεις τὸ βάπτισμα τὴν τελείαν ὑπαινίττουσι κάθαρσιν. Τοῦτο αὐτὸ καὶ αὐτὰ τὰ τοῦ βαπτίσματος ὀνόματα περιστῶσιν. Εἰ γὰρ βάπτισμα διὰ πνεύματος καὶ πυρὸς[1], δῆλον ὅτι καὶ τελεία πᾶσιν ἡ κάθαρσις· τὸ γὰρ πνεῦμα τελείως καθαίρει. Εἰ φῶς[2], τὸ σκότος ἔλυσεν· εἰ ἀναγέννησις[3], παρῆλθε τὰ ἀρχαῖα. Τίνα δὲ ταῦτα, εἰ μὴ τὰ ἁμαρτήματα; Εἰ ἀπεκδύεται ὁ βαπτιζόμενος τὸν παλαιὸν ἄνθρωπον, ἄρα καὶ τὴν ἁμαρτίαν. Εἰ ἐνδύεται τὸν Χριστὸν[4], ἄρα ἀναμαρτητὸς γίνεται ἐνεργείᾳ διὰ τοῦ βαπτίσματος. Μακρὰν γὰρ ἀπὸ ἁμαρτωλῶν ὁ Θεός. Τοῦτο καὶ Παῦλος διδάσκει τρανώτερον λέγων[5]· ὥσπερ διὰ τοῦ ἑνὸς ἁμάρτωλοι κατεστάθημεν οἱ πολλοί, οὕτω διὰ τοῦ ἑνὸς δίκαιοι. Εἰ δὲ δίκαιοι, ἄρα ἁμαρτίας ἐλεύθεροι. Οὐ γὰρ δύναται, ἐν ταὐτῷ εἶναι τὴν ζωὴν καὶ τὸν θάνατον. Εἰ ἀληθῶς ἀπέθανεν ὁ Χριστὸς, ἄρα καὶ ἀληθὴς ἡ διὰ τοῦ πνεύματος ἄφεσις.

Ἐντεῦθεν δὲ δῆλον, πάντα τὰ βαπτισθέντα καὶ κοιμηθέντα βρέφη ἀναμφιβόλως σώζεσθαι, προορισθέντα διὰ τοῦ θανάτου τοῦ Χριστοῦ. Εἰ γὰρ ἐκτὸς πάσης ἦσαν ἁμαρτίας· κοινῆς μὲν, ὅτι ἐλυτρώθησαν τῷ θείῳ λουτρῷ, ἰδικῆς δὲ, ὅτι τὰ βρέφη μὴ ἔχοντα ἐνεργείᾳ προαίρεσιν οὐχ ἁμαρτάνει· ἄρα καὶ σώζεται. Ἐντίθησι δὲ τὸ βάπτισμα καὶ χαρακτῆρα ἀνεξάλειπτον, ὥσπερ καὶ ἡ ἱερωσύνη. Καθὼς γὰρ ἀδύνατον, τὸν αὐτὸν δὶς ἱερωσύνης τυχεῖν τῆς αὐτῆς· οὕτως ἀδύνατον ἀναβαπτισθῆναι τὸν ἅπερ ὀρθῶς βαπτισθέντα, κἂν καὶ μυρίαις συμβέβηκεν αὐτὸν ὑποπεσεῖν ἁμαρτίαις, ἢ καὶ αὐτῇ ἐξομοιώσει τῆς πίστεως. Θέλων γὰρ ἐπιστρέψαι πρὸς κύριον ἀναλαμβάνει τὴν ἣν ἀπώλεσεν υἱοθεσίαν διὰ τοῦ μυστηρίου τῆς μετανοίας.

Ὅ. 17: *Πιστεύομεν τὸ πανάγιον μυστήριον τῆς ἱερᾶς εὐχαριστίας, ὅπερ ἀνωτέρω κατὰ τάξιν τέταρτον ἐθέμεθα, ἐκεῖνο εἶναι, ὅπερ ὁ κύριος παρέδωκε τῇ νυκτὶ, ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Λαβὼν γὰρ ἄρτον καὶ εὐλογήσας ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμα μου*[6]. *Καὶ λαβὼν τὸ ποτήριον εὐχαριστήσας εἴρηκε· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν*[7].

Τούτου ἐν τῇ ἱερουργίᾳ πιστεύομεν παρεῖναι τὸν κύριον Ἰησοῦν Χριστὸν οὐ τυπικῶς, οὐδ' εἰκονικῶς, οὐδὲ χάριτι ὑπερβαλλούσῃ, ὡς ἐν τοῖς λοιποῖς μυστηρίοις, οὐδὲ κατὰ μόνην παρουσίαν, καθώς τινες τῶν πατέρων εἰρήκασι περὶ τοῦ βαπτίσματος, οὐδὲ κατ' ἀναρτισμὸν, ὥστε ἑνοῦσθαι τὴν θεότητα τοῦ λόγου τῷ προκειμένῳ τῆς εὐχαριστίας ἄρτῳ ὑποστατικῶς, καθὼς οἱ ἀπὸ Λουθήρου λίαν ἀμαθῶς καὶ ἀθλίως δοξάζουσιν· ἀλλ' ἀληθῶς καὶ πραγματικῶς, ὥστε μετὰ τὸν ἁγιασμὸν τοῦ ἄρτου καὶ τοῦ οἴνου μεταβάλλεσθαι, μετουσιοῦσθαι, μεταποιεῖσθαι, μεταῤῥυθμίζεσθαι τὸν μὲν ἄρτον εἰς αὐτὸ τὸ ἀληθὲς τοῦ κυρίου σῶμα,

---

[1]) Matth. III, 11. [2]) Hebr. IV, 4. [3]) Tit. III, 5. [4]) Galat. III, 27. [5]) Rom. V, 19. [6]) Matth. XXVI, 26. [7]) Matth. XXVI, 28.

ὅπερ ἐγεννήθη ἐν Βηθλεὲμ ἐκ τῆς ἀειπαρθένου, ἐβαπτίσθη ἐν Ἰορδάνῃ, ἔπαθεν, ἐτάφη, ἀνέστη, ἀνελήφθη, κάθηται ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατέρος, μέλλει ἐλθεῖν ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, — τὸν δ' οἶνον μεταποιεῖσθαι καὶ μετουσιοῦσθαι εἰς αὐτὸ τὸ ἀληθὲς τοῦ κυρίου αἷμα, ὅπερ κρεμαμένου ἐπὶ τοῦ σταυροῦ ἐχύθη ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς[1].

Ἔτι μετὰ τὸν ἁγιασμὸν τοῦ ἄρτου καὶ τοῦ οἴνου οὐκ ἔτι μένειν τὴν οὐσίαν τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου ἐν τῷ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἴδει καὶ τύπῳ, ταὐτὸν εἰπεῖν, ὑπὸ τοῖς τοῦ ἄρτου συμβεβηκόσιν.

Ἔτι αὐτὸ τὸ πανακήρατον τοῦ κυρίου σῶμα καὶ αἷμα μεταδίδοσθαι καὶ εἰσδύειν εἰς τὸ στόμα καὶ στόμαχον τῶν μετεχόντων εὐσεβῶν τε καὶ ἀσεβῶν. Πλὴν τοῖς μὲν εὐσεβέσι καὶ ἀξίοις ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον προξενεῖν· τοῖς δὲ ἀσεβέσι καὶ ἀναξίοις κατάκρισιν καὶ κόλασιν αἰώνιον παραχωρεῖν[2].

Ἔτι τέμνεσθαι μὲν καὶ διαιρεῖσθαι εἴτε χερσίν εἴτε καὶ ὀδοῦσι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου κατὰ συμβεβηκὸς μέντοι ἤτοι κατὰ τὰ συμβεβηκότα τοῦ ἄρτου καὶ τοῦ οἴνου, καθ' ἃ καὶ ὁρατὰ καὶ ἁπτὰ εἶναι ὁμολογοῦνται, καθ' ἑαυτὰ δὲ μένειν ἄτμητα πάντη καὶ ἀδιαίρετα. Ὅθεν καὶ ἡ καθολικὴ ἐκκλησία φησὶ· Μερίζεται καὶ διαμερίζεται ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος; ὁ πάντοτε ἐσθιόμενος καὶ οὐδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας — δηλονότι ἀξίως — ἁγιάζων.

Ἔτι ἐν ἑκάστῳ μέρει καὶ τμήματι ἐλαχίστῳ τοῦ μεταβληθέντος ἄρτου καὶ οἴνου οὐκ εἶναι μέρος τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου — βλάσφημον γὰρ τοῦτο καὶ ἄθεον — ἀλλ' ὅλον ὁλικῶς τὸν δεσπότην Χριστὸν κατ' οὐσίαν μετὰ ψυχῆς δηλονότι καὶ θεότητος, ἤτοι τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον. Ὅθεν καὶ πολλῶν γινομένων ἐν τῇ οἰκουμένῃ μιᾷ καὶ τῇ αὐτῇ ὥρᾳ ἱερουργιῶν, μὴ γίνεσθαι πολλοὺς Χριστοὺς ἢ πολλὰ σώματα Χριστοῦ, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Χριστὸν παρεῖναι ἀληθῶς καὶ πραγματικῶς, καὶ ἕν εἶναι αὐτοῦ τὸ σῶμα καὶ τὸ αἷμα ἐν πάσαις ταῖς κατὰ μέρος τῶν πιστῶν ἐκκλησίαις, καὶ τοῦτο οὐχ ὅτι τὸ ἐν οὐρανοῖς τοῦ δεσπότου ἐν τοῖς θυσιαστηρίοις κάτεισι σῶμα, ἀλλ' ὅτι ὁ τῆς προθέσεως ἐν πάσαις ταῖς κατὰ μέρος ἐκκλησίαις προκείμενος ἄρτος μεταποιούμενος καὶ μετουσιούμενος μετὰ τὸν ἁγιασμὸν γίνεται καί ἐστι ἕν καὶ τὸ αὐτὸ τῷ ἐν οὐρανοῖς. Ἕν γὰρ τὸ σῶμα τοῦ κυρίου ἐν πολλοῖς τόποις καὶ οὐ πολλά, καὶ διὰ τοῦτο τὸ μυστήριον τοῦτο μάλιστά ἐστι καὶ λέγεται θαυμαστὸν καὶ πίστει μόνῃ κατάληπτον, οὐ σοφίσμασι σοφίας ἀνθρωπίνης, ἧς τὴν μάταιαν καὶ ἀνόητον ἐν τοῖς θείοις περιέργειαν ἀποσείεται ἡ εὐσεβὴς καὶ θεοπαράδοτος ἡμῶν θρησκεία.

---

[1]) Ioann. VI, 51. Diese Stelle wurde in der Frage des heiligen Abendmahls häufig angeführt, so von Paschasius Radbertus in seiner Abhandlung: *„De corpore et sanguine Domini"* I, 2, wo die Rede zunächst von der Kraft und dem Wirken des hl. Abendmahls, alsdann von der schlechthinigen Identität des Leibes, wie auch bei Dositheus, ist. Cfr. Muralt, Briefe über den Gottesdienst der morgenländ. Kirche p. 166.

[2]) Cfr. idem Radbertus l. l. c. VIII, 2.

Ἔτι αὐτὸ τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου τὸ ἐν τῷ τῆς εὐχαριστίας μυστηρίῳ ὀφείλειν τιμᾶσθαι ὑπερβαλλόντως καὶ προσκυνεῖσθαι λατρευτικῶς. Μία γὰρ ἡ προσκύνησις τῆς ἁγίας τριάδος καὶ τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου.

Ἔτι εἶναι θυσίαν ἀληθῆ καὶ ἱλαστικὴν προσφερομένην ὑπὲρ πάντων τῶν εὐσεβῶν ζώντων καὶ τεθνεώτων καὶ ὑπὲρ ὠφελείας πάντων, ὡς κεῖται ῥητῶς ἐν ταῖς τοῦ μυστηρίου προσευχαῖς ὑπὸ τῶν ἀποστόλων τῇ ἐκκλησίᾳ παραδοθείσαις κατὰ τὴν πρὸς αὐτοὺς διαταγὴν τοῦ κυρίου[1].

Ἔτι καὶ πρὸ τῆς χρήσεως εὐθὺς μετὰ τὸν ἁγιασμὸν καὶ μετὰ τὴν χρῆσιν τὸ φυλαττόμενον ἐν ταῖς ἱεραῖς θήκαις πρὸς μετάληψιν τῶν ἀποδημῆσαι μελλόντων ἀληθὲς εἶναι τοῦ κυρίου σῶμα, καὶ κατὰ μηδὲν διαφέρον ἑαυτοῦ, ὥστε πρὸ τῆς χρήσεως μετὰ τὸν ἁγιασμὸν, ἐν τῇ χρήσει καὶ μετὰ τὴν χρῆσιν, εἶναι κατὰ πάντα τὸ ἀληθὲς τοῦ κυρίου σῶμα.

Ἔτι τῇ μετουσίωσις λέξει οὐ τὸν τρόπον πιστεύομεν δηλοῦσθαι, καθ' ὃν ὁ ἄρτος καὶ ὁ οἶνος μεταποιοῦνται εἰς τὸ σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου, — τοῦτο γὰρ ἄληπτον πάντη καὶ ἀδύνατον πλὴν αὐτοῦ τοῦ Θεοῦ, καὶ τοῖς πιστεύουσιν ἀμάθειαν ἅμα καὶ ἀσέβειαν ἐπιφέρει — ἀλλ' ὅτι ὁ ἄρτος καὶ ὁ οἶνος μετὰ τὸν ἁγιασμὸν οὐ τυπικῶς οὐδ' εἰκονικῶς, οὐδὲ χάριτι ὑπερβαλλούσῃ, οὐδὲ τῇ κοινωνίᾳ ἢ τῇ παρουσίᾳ τῆς θεότητος μόνης τοῦ μονογενοῦς μεταβάλλεται εἰς τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου, οὐδὲ συμβεβηκός τι τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς συμβεβηκός τι τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ κατά τινα τροπὴν ἢ ἀλλοίωσιν μεταποιεῖται, ἀλλ' ἀληθῶς καὶ πραγματικῶς καὶ οὐσιωδῶς γίνεται ὁ μὲν ἄρτος αὐτὸ τὸ ἀληθὲς τοῦ κυρίου σῶμα, ὁ δ' οἶνος αὐτὸ τοῦ κυρίου αἷμα, ὡς εἴρηται ἀνωτέρω.

Ἔτι μὴ γίνεσθαι ὑπό τινος ἄλλου τὸ τῆς ἱερᾶς εὐχαριστίας τοῦτο μυστήριον, εἰ μὴ μόνον ὑπὸ ἱερέως εὐσεβοῦς καὶ ὑπὸ εὐσεβοῦς καὶ νομίμου ἐπισκόπου τὴν ἱερωσύνην λαβόντος, καθ' ὃν τρόπον ἡ ἀνατολικὴ ἐκκλησία διδάσκει. Αὕτη ἐστὶν ἐν συντόμῳ ἡ τῆς καθολικῆς ἐκκλησίας καὶ περὶ τοῦ μυστηρίου τούτου δόξα καὶ ἀληθὴς ὁμολογία καὶ ἀρχαιοτάτη παράδοσις, ἣν οὐ δεῖ κολοβοῦσθαι κατ' οὐδένα τρόπον ὑπὸ τῶν εὐσεβεῖν βουλομένων καὶ ἀποσειομένων τοὺς νεωτερισμοὺς καὶ τὰς βεβήλους τῶν αἱρετικῶν κενοφωνίας· ἀλλ' ἀναγκαίως σώαν καὶ ἀδιάσειστον τηρεῖσθαι τὴν νομοθετηθεῖσαν παράδοσιν. Τοὺς γὰρ παραβαίνοντας ἀποποιεῖται καὶ ἀναθεματίζει ἡ καθολικὴ τοῦ Χριστοῦ ἐκκλησία.

Ὅ. 18: Πιστεύομεν τὰς τῶν κεκοιμημένων ψυχὰς εἶναι ἢ ἐν ἀνέσει ἢ ἐν ὀδύνῃ, καθ' ὅ, τι ἕκαστος ἔπραξεν· — χωριζομένας γὰρ ἀπὸ τῶν σωμάτων παραυτίκα ἢ πρὸς εὐφροσύνην ἢ πρὸς λύπην καὶ στεναγμὸν ἐκδημεῖν, ὁμολογουμένης μέντοι μήτε τῆς ἀπολαύσεως μήτε τῆς κατακρίσεως τελείας. Μετὰ γὰρ τὴν κοινὴν ἀνάστασιν, ὅτε ἡ ψυχὴ ἑνωθείη

[1]) *Goar* ad Euchol. Magnum p. 109. Cfr. Chrysostomi Missa apud eumdem Goarum p. 78 et Basilii p. 178. *Heineccius* Abbildung etc. II. Tom. p. 296.

τῷ σώματι, μεθ' οὗ καλῶς ἢ πονηρῶς ἐπολιτεύσατο, ἀπολήψεται ἕκαστος τὸ τέλειον ἢ τῆς ἀπολαύσεως ἢ τῆς κατακρίσεως δηλονότι.

Τοὺς δὲ συμφθαρέντας θανασίμοις πλημμελήμασι καὶ μὴ ἐν ἀπογνώσει ἀποδημήσαντας ἀλλὰ μετανοήσαντας μὲν, ἔτι περιόντας ἐν τῷ μετὰ σώματος βίῳ, μὴ ποιήσαντας δὲ οὐδοτιοῦν καρπὸν μετανοίας — ἐκχέαι δάκρυα δηλονότι καὶ γονυπετῆσαι ἐν γρηγορήσει προσευχῶν, θλιβῆναι, πτωχοὺς παραμυθῆσαι, καὶ τέως ἐν ἔργοις τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ἐπιδεῖξαι, ἃ καὶ ἱκανοποίησιν καλῶς ἡ καθολικὴ ἐκκλησία ἀπ' ἀρχῆς ὠνόμασε — τούτων καὶ αὐτῶν τὰς ψυχὰς ἀπέρχεσθαι εἰς ᾅδου καὶ ὑπομένειν τῶν ἕνεκα ὧν εἰργάσαντο ἁμαρτημάτων ποινήν. Εἶναι δ' ἐν συναισθήσει[1] τῆς ἐκεῖθεν ἀπαλλαγῆς, ἐλευθεροῦσθαι δὲ ὑπὸ τῆς ἄκρας ἀγαθότητος διὰ τῆς δεήσεως τῶν ἱερέων καὶ εὐποιῶν, ἃ τῶν ἀποιχομένων ἕνεκα οἱ ἑκάστου συγγενεῖς ἀποτελοῦσι· μεγάλα δυναμένης μάλιστα τῆς ἀναιμάκτου θυσίας, ἣν ἰδίως ὑπὲρ τῶν κεκοιμημένων συγγενῶν ἕκαστος καὶ κοινῶς ὑπὲρ πάντων ἡ καθολικὴ καὶ ἀποστολικὴ ὁσημέραι ποιεῖ ἐκκλησία· ἐννοουμένου μέντοι καὶ τούτου τοῦ μὴ εἰδέναι ἡμᾶς δηλαδὴ τὸν καιρὸν τῆς ἀπαλλαγῆς. Ὅτι γὰρ γίνεται ἐλευθερία τῶν τοιούτων, ἀπὸ τῶν δεινῶν καὶ πρὸ τῆς κοινῆς ἀναστάσεώς τε καὶ κρίσεως οἴδαμεν καὶ πιστεύομεν· πότε δὲ, ἀγνοοῦμεν.

Ἐρώτησις 1.

Εἰ δεῖ τὴν θείαν γραφὴν κοινῶς παρὰ πάντων τῶν Χριστιανῶν ἀναγινώσκεσθαι;

Οὔ. Τὴν πᾶσαν γὰρ γραφὴν θεόπνευστον καὶ ὠφέλιμον οἴδαμεν, καὶ οὕτω τὸ ἀναγκαῖον ἔχουσαν μεθ' ἑαυτῆς, ὥστε χωρὶς αὐτῆς ἀδύνατον ὁπωσοῦν εὐσεβεῖν. Οὐ μὴν καὶ ὑπὸ πάντων ἀναγινώσκεσθαι ταύτην ἀλλ' ὑπὸ μόνων τῶν μετὰ τῆς πρεπούσης ἐρεύνης τοῖς βάθεσιν ἐγκυπτόντων τοῦ πνεύματος καὶ εἰδότων, οἷς τρόποις ἡ θεία γραφὴ ἐρευνᾶται καὶ διδάσκεται καὶ ὅλως ἀναγινώσκεται. Τοῖς δὲ μὴ γεγυμνασμένοις καὶ ἀδιαφόρως ἢ μόνον κατὰ τὸ γράμμα ἢ καὶ κατ' ἄλλον τινὰ τρόπον ἀλλότριον τῆς εὐσεβείας τὰ τῆς γραφῆς ἐκλαμβάνουσιν ἡ καθολικὴ ἐκκλησία, διὰ τῆς πείρας τὴν βλαβὴν ἐγνωκυῖα, οὐ θεμιτὴν τὴν ἀνάγνωσιν εἶναι ἐντέλλεται. Ὥστε παντὶ εὐσεβεῖ ἐπιτετράφθαι μὲν ἀκούειν τὰ τῆς γραφῆς, ἵνα πιστεύῃ τῇ καρδίᾳ εἰς δικαιοσύνην, ὁμολογῇ δὲ τῷ στόματι εἰς σωτηρίαν[2]· ἀναγινώσκειν δὲ ἔνια τῆς γραφῆς μέρη καὶ μάλιστα τῆς παλαιᾶς ἀπηγορεύεται τῶν εἰρημένων αἰτίων καὶ τῶν ὁμοίων τούτοις ἕνεκα. Καί ἐστιν ἴσον παραγγέλλειν τοῖς ἀγυμνάστοις μὴ ἀναγινώσκειν ὡσαύτως τὴν πᾶσαν ἱερὰν γραφὴν, καὶ τοῖς βρέφεσιν ἐντέλλεσθαι, μὴ ἅπτεσθαι στερεᾶς τροφῆς.

---

[1]) Es ist zu bemerken, daß dieses Selbstbewußtsein der in dem sogenannten Mittelzustand verweilenden Seelen bereits in den ältesten Zeiten als Lehre der gr.-or. Kirche auftritt. Cfr. Iustin, Dialog. c. Tryph. 80. — Iren. II, 33. Ambr. de Cain et Ab. II, 2. —

[2]) Rom. X, 10.

Ἐ. 2: *Εἰ σαφής ἐστιν ἡ γραφὴ πᾶσι τοῖς ἀναγινώσκουσι Χριστιανοῖς;*

Εἰ σαφὴς ἦν ἡ θεία γραφὴ πᾶσι τοῖς ἀναγινώσκουσι Χριστιανοῖς, οὐκ ἂν ὁ κύριος ἐρευνᾶν ταύτην τοῖς βουλομένοις σωτηρίας τυχεῖν[1] *ἐπέτρεπε· καὶ τὸ χάρισμα τῆς διδασκαλίας ματαίως τῷ Παύλῳ*[2] *ἐλέγετο τεθῆναι ὑπὸ τοῦ Θεοῦ ἐκκλησίᾳ· καὶ ὁ Πέτρος*[3] *οὐκ ἂν περὶ τῶν τοῦ Παύλου ἐπιστολῶν ἔχειν τινὰ δυσνόητα ἔλεγε. Δῆλον οὖν, ὡς πολὺ τὸ βάθος ἔχειν τὴν γραφὴν καὶ τὸ μέγεθος τῶν ἐννοιῶν καὶ δεῖσθαι ἐπιστημόνων καὶ θείων ἀνδρῶν πρὸς ἔρευναν καὶ ἀληθῆ κατάληψιν καὶ γνῶσιν ὀρθὴν καὶ συνῳδὸν τῇ πάσῃ γραφῇ καὶ τῷ δημιουργῷ ταύτης ἁγίῳ πνεύματι.*

Ὥστε τοῖς ἀναγεννηθεῖσιν, εἰ καὶ γνώριμος ἡ περὶ τριάδος πίστις καὶ ἡ τοῦ υἱοῦ τοῦ Θεοῦ ἐνανθρώπησις, τὰ πάθη, ἡ ἀνάστασις, ἡ εἰς οὐρανοὺς ἄνοδος, ὁ περὶ τῆς παλιγγενεσίας καὶ κρίσεως λόγος, ὧν εἵνεκα καὶ πολλοὶ θάνατον ὑπομεῖναι οὐκ ὤκνησαν· οὐκ ἀναγκαῖον δὲ, μᾶλλον δὲ ἀδύνατον πᾶσιν, εἰδέναι καὶ ἃ τὸ πνεῦμα τὸ ἅγιον μόνοις τοῖς ἐγγεγυμνασμένοις ἐπὶ σοφίᾳ καὶ ἁγιότητι φανεροῖ.

Ἐ. 3: *Ἱερὰν γραφὴν ποῖα βιβλία καλεῖς;*

Στοιχοῦντες τῷ κανόνι τῆς καθολικῆς ἐκκλησίας ἱερὰν γραφὴν καλοῦμεν ἐκεῖνα πάντα, ἅπερ ὁ Κύριλλος ὑπὸ τῆς ἐν Λαοδικείᾳ συνόδου ἐρανισάμενος ἀριθμεῖ καὶ πρὸς τούτοις ἅπερ ἀσυνέτως καὶ ἀμαθῶς εἴτ' οὖν ἐθελοκακούργως ἀπόκρυφα κατωνόμασε· τὴν Σοφίαν δηλαδὴ τοῦ Σολομῶντος, τὴν Ἰουδὴθ, τὸν Τωβίαν, τὴν Ἱστορίαν τοῦ δράκοντος, τῆν Ἱστορίαν τῆς Σωσάννης, τοὺς Μακκαβαίους καὶ τὴν Σοφίαν τοῦ Σειρὰχ. Ἡμεῖς γὰρ μετὰ τῶν ἄλλων τῆς θείας γραφῆς γνησίων βιβλίων καὶ ταῦτα γνήσια τῆς γραφῆς μέρη κρίνομεν, ὅτι ἡ παραδόσασα ἀρχαία συνήθεια καὶ μάλιστα ἡ καθολικὴ ἐκκλησία γνήσια εἶναι τὰ ἱερὰ εὐαγγέλια καὶ τ' ἄλλα τῆς γραφῆς βιβλία καὶ ταῦτα εἶναι τῆς ἁγίας γραφῆς μέρη ἀναμφιβόλως παρέδωκε, καὶ τούτων ἡ ἄρνησις ἐκείνων ἐστὶν ἀθέτησις. Εἰ δέ που δοκεῖ μὴ ἀεὶ πάντα ὑπὸ πάντων συγκαταριθμεῖσθαι, οὐδὲν ἧττον ὅμως καὶ ταῦτα παρά τε συνόδων καὶ πολλῶν ὅσων τῆς καθολικῆς ἐκκλησίας παλαιοτάτων τε καὶ ἐγκρίτων θεολόγων ἀριθμεῖται καὶ συγκαταριθμεῖται τῇ πάσῃ γραφῇ, ἃ πάντα καὶ ἡμεῖς κανονικὰ βιβλία κρίνομεν, καὶ ταῦτα τὴν ἱερὰν γραφὴν εἶναι ὁμολογοῦμεν.

Ἐ. 4: *Περὶ τῶν ἁγίων εἰκόνων καὶ τῆς προσκυνήσεως τῶν ἁγίων πῶς ὀφείλομεν φρονεῖν;*

Τῶν ἁγίων ὄντων καὶ ὁμολογουμένων παρὰ τῆς καθολικῆς ἐκκλησίας πρεσβευτῶν, ὃν τρόπον εἴρηται ἐν τῷ ὀγδόῳ κεφαλαίῳ· καιρὸς εἰπεῖν, ὅτι καὶ τιμῶμεν αὐτοὺς ὡς φίλους Θεοῦ καὶ ὡς ὑπὲρ ἡμῶν δεομένους τῷ τῶν ὅλων Θεῷ. Τιμῶμεν δὲ τούτους διττῶς· καθ' ἕνα μὲν τρόπον τὴν μητέρα τοῦ Θεοῦ Λόγου, ὃν καὶ ὑπερδουλικόν φαμεν. Εἰ γὰρ καὶ ὡς ἀληθῶς δούλη ἡ θεοτόκος τοῦ μόνου Θεοῦ, ἀλλὰ καὶ

[1]) Cfr. Ioann. V, 39. [2]) 1. Cor. XII, 28. [3]) 2. Petr. III, 16.

μήτηρ, ὡς τὸν ἕνα τῆς Τριάδος γεννήσασα σαρκικῶς, διὸ καὶ ἀσυγκριτῶς ὑπερέχειν ὑμνεῖται πάντων ἀγγέλων τε καὶ ἁγίων, ὅθεν καὶ ὑπερδουλικὴν αὐτῇ ἀπονέμομεν τὴν προσκύνησιν. Κατὰ δεύτερον δὲ τρόπον, ὃν καὶ δουλικὸν ὀνομάζομεν, προσκυνοῦμεν εἴτ' οὖν τιμῶμεν τοὺς ἁγίους ἀγγέλους, ἀποστόλους, προφήτας, μάρτυρας καὶ ἁπλῶς πάντας τοὺς ἁγίους.

Πρὸς τούτοις προσκυνοῦμεν καὶ τιμῶμεν τὸ ξύλον τοῦ τιμίου τοῦ ζωοποιοῦ σταυροῦ, ἐν ᾧ ὁ σωτὴρ ἡμῶν τὸ κοσμοσωτήριον εἰργάσατο πάθος, καὶ τὸν τύπον τοῦ ζωοποιοῦ σταυροῦ, τὴν ἐν Βηθλεὲμ φάτνην, δι' ἧς τῆς ἀλογίας ἐῤῥύσθημεν, τὸν τόπον τοῦ κρανίου, τὸν ζωηφόρον τάφον καὶ τὰ λοιπὰ ἅγια προσκυνήματα· τά τε ἱερὰ εὐαγγέλια καὶ τὰ ἱερὰ σκεύη, δι' ὧν ἡ ἀναίμακτος ἐπιτελεῖται θυσία. Μνήμαις τε ἐτησίοις καὶ δημοσίοις ἑορταῖς καὶ θείοις ἱδρύμασι καὶ ἀναθέμασι τοὺς ἁγίους γεραίρομεν καὶ τιμῶμεν.

Ἔπειτα δὲ καὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ὑπεραγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων προσκυνοῦμεν καὶ τιμῶμεν καὶ ἀσπαζόμεθα, καὶ μὴν καὶ τῶν ἁγίων ἀγγέλων, ὡς ὤφθησαν ἐνίοις τῶν τε προπατόρων καὶ προφητῶν. Ἱστοροῦμεν δὲ καὶ τὸ πανάγιον πνεῦμα, ὡς ὤφθη, ἐν εἴδει περιστερᾶς.

Εἰ δέ τινες εἰδωλολατρεῖν ἡμᾶς, ἁγίους καὶ εἰκόνας ἁγίων καὶ τὰ λοιπὰ προσκυνοῦντας, λέγουσι, μάταιον ἡγούμεθα καὶ ἀδρανές. Ἡμεῖς γὰρ μόνῳ τῷ ἐν τριάδι Θεῷ λατρεύομεν καὶ οὐδενὶ ἑτέρῳ· τοὺς δὲ ἁγίους τιμῶμεν διττῶς· πρῶτον μὲν κατὰ τὴν πρὸς Θεὸν ἀναφοράν, ἐπειδὴ ἐκείνου ἕνεκα τιμῶμεν αὐτούς, καὶ καθ' ἑαυτούς, ὅτι ζῶσαί εἰσιν εἰκόνες τοῦ Θεοῦ. Τὸ δὲ καθ' ἑαυτοὺς διώρισται ὅτι δουλικὸν. Τὰς δὲ ἁγίας εἰκόνας σχετικῶς, ὡς τῆς πρὸς ἐκείνας τιμῆς ἐπὶ τὰ πρωτότυπα ἀναφερομένης. Ὁ γὰρ εἰς τὴν εἰκόνα προσκυνῶν διὰ τῆς εἰκόνος τὸν πρωτότυπον προσκυνεῖ, καὶ ἡ δόξα οὐ μερίζεται, οὐδ' ὅλως σχίζεται τῆς τε εἰκόνος καὶ τοῦ εἰκονιζομένου, καὶ ἐν ταὐτῷ γίνεται, ὡς ἡ εἰς τὸν βασιλικὸν πρέσβυν γινομένη.

Ἃ δὲ πρὸς σύστασιν καινοτομίας αὐτῶν παρὰ τῆς γραφῆς λαμβάνουσιν, οὐχ οὕτως αὐτοῖς βοηθεῖ, ὡς βούλονται, ἀλλὰ μάλιστα ἡμῖν συνῳδὰ φαίνεται. Ἡμεῖς γὰρ τὴν θείαν γραφὴν ἀναγινώσκοντες ἐξετάζομεν καιρὸν καὶ πρόσωπον, παράδειγμα καὶ αἰτίαν. Ὅθεν καὶ τὸν αὐτὸν Θεόν ποτε μὲν λέγοντα[1]· οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὔτε ὁμοίωμα, οὐδὲ προσκυνήσεις, οὐδὲ λατρεύσεις αὐτοῖς, ποτὲ δὲ προστάττοντα[2], γενέσθαι Χερουβίμ; Καὶ ἔτι βόας[3] καὶ λέοντας[4] γινώμενα ἐν τῷ ἱερῷ θεωροῦντες οὐ πεισματικῶς τούτων τὴν ἔννοιαν θεωροῦμεν. Ἐν γὰρ τῇ πεισμονῇ οὐκ ἔστι πίστις, ἀλλ', ὡς εἴρηται, καιρὸν καὶ τὰ λοιπὰ θεωροῦντες, τῆς ὀρθῆς περὶ τούτων δόξης ἐπιτυγχάνομεν καὶ τὸ· οὐ ποιήσεις σεαυτῷ εἴδωλον ἢ ὁμοίωμα ταὐτὸν ἡγούμεθα τὸ[5]· οὐ προσκυνήσεις Θεοὺς ἀλλοτρίους, εἴτ' οὖν μὴ εἰδωλολατρήσῃς. Οὕτω

---

[1]) Levit. XXVI, 1. [2]) Exod. XXV, 18. [3]) 2. Reg. XVI, 17. [4]) 1. Reg. VII, 29. [5]) Exod. XX, 3.

γὰρ καὶ ἡ παρὰ τοῦ καιροῦ τῶν ἀποστόλων ἐπικρατήσασα συνηθεία τῇ ἐκκλησίᾳ τοῦ προσκυνεῖσθαι σχετικῶς τὰς ἁγίας εἰκόνας καὶ ἡ μόνῳ τῷ Θεῷ λατρεία διασωθείη καὶ ὁ Θεὸς οὐκ ἐναντίως λέγων ἑαυτῷ φανείη. Εἰ γὰρ ἡ γραφή φησιν· οὐ ποιήσεις οὐδὲ προσκυνήσεις, τίνα τρόπον ὕστερον ὁ Θεὸς τὸ μὲν ποιῆσαι ὁμοιώματα συγκεχώρηκε, τὸ δὲ προσκυνῆσαι οὔ, οὐκ ἔχομεν συνορᾶν. Ὅθεν, περὶ μόνης τῆς εἰδωλολατρείας οὔσης τῆς ἐντολῆς, εὑρίσκομεν καὶ ὄφεις καὶ λέοντας καὶ βόας καὶ Χερουβὶμ γεγονότα καὶ εἴδη εἴτ' οὖν ὁμοιώματα, ἐν οἷς οἱ ἄγγελοι, ἐφαίνοντο προσκυνηθέντα.

Οὓς δὲ προφέρουσι τῶν ἁγίων ὡς λέγοντας, μὴ ἐξὸν προσκυνεῖν τὰς εἰκόνας· ἡμῖν μᾶλλον βοηθεῖν ἐκείνους ἡγούμεθα, ἐπεὶ ἐκεῖνοι ἀγωνιστικῶς διαλεγόμενοι καὶ κατὰ τῶν λατρευτικῶς προσκυνούντων τὰς ἁγίας εἰκόνας καὶ κατὰ τῶν φερόντων εἰς τὰς ἐκκλησίας τὰς εἰκόνας τῶν τεθνηκότων συγγενῶν ἐκείνων ἐφέροντο καὶ ἀναθέματι τοὺς οὕτω ποιοῦντας καθυποβάλλουσιν, οὐ κατὰ τῆς ὀρθῆς προσκυνήσεως τῶν τε ἁγίων καὶ ἁγίων εἰκόνων καὶ τοῦ τιμίου σταυροῦ καὶ τῶν λοιπῶν, ὧν εἴρηται, ὅπου μάλιστα καὶ ἀπὸ τοῦ καιροῦ τῶν ἀποστόλων εἶναι τὰς ἁγίας εἰκόνας ἐν τῇ ἐκκλησίᾳ καὶ προσκυνεῖσθαι παρὰ τῶν πιστῶν πλεῖστοι ὅσοι καὶ ἱστοροῦσι καὶ κηρύττουσι, μεθ' ὧν καὶ μεθ' οὓς ἡ ἁγία οἰκουμενικὴ ἑβδόμη σύνοδος καταισχύνει πᾶσαν αἱρετικῶν βδελυρίαν.

Ἐπειδὴ σαφέστατα μὲν δίδωσιν ἐννοεῖν, ὅπως δεῖ προσκυνεῖν τὰς ἁγίας εἰκόνας, καὶ τὰ προειρημένα ἄνωθεν. Ἀναθεματίζει δὲ καὶ ἀφορισμῷ καθυποβάλλει τοὺς ἢ προσκυνοῦντας λατρευτικῶς τὰς εἰκόνας ἢ λέγοντας τοὺς ὀρθοδόξους εἰδωλολατρεῖν, προσκυνοῦντας τὰς εἰκόνας. Ἀναθεματίζομεν οὖν καὶ ἡμεῖς μετ' ἐκείνων τοὺς προσκυνοῦντας ἢ ἄγιον ἢ ἄγγελον ἢ εἰκόνα, ἢ σταυρὸν ἢ λείψανον ἁγίων ἢ ἱερὸν σκεῦος, ἢ εὐαγγέλιον, ἢ ἄλλο τι ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ λατρευτικῶς καὶ μόνῳ τῷ ἐν τριάδι Θεῷ τὴν λατρευτικὴν προσκύνησιν ἀπονέμομεν. Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὴν προσκύνησιν τῶν εἰκόνων εἰκονολατρείαν, ἢ μὴ προσκυνοῦντας αὐτὰς, καὶ μὴ τιμῶντας τὸν σταυρὸν καὶ τοὺς ἁγίους, ὡς ἡ ἐκκλησία παρέδωκε.

Καὶ τοὺς ἁγίους καὶ τὰς ἁγίας εἰκόνας προσκυνοῦμεν, ὃν εἴρηται τρόπον, καὶ ἱστοροῦμεν ταύτας εἰς καλλωπισμὸν τῶν ναῶν, καὶ ἵν' ὦσι βιβλία τῶν ἀμαθῶν καὶ πρὸς μίμησιν τῶν ἀρετῶν τῶν ἁγίων καὶ ἀνάμνησιν καὶ ἔρωτος αὔξησιν καὶ πρὸς ἐγρήγορσιν τοῦ ἐπικαλεῖσθαι ἀεὶ τὸν μὲν κύριον, ὡς δεσπότην καὶ πατέρα, τοὺς δὲ ἁγίους, ὡς δούλους μὲν ἐκείνου, βοηθοὺς δὲ καὶ μεσίτας ἡμῶν.

Καὶ ταῦτα μὲν περὶ τῶν κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου. Οἱ δὲ αἱρετικοὶ καὶ τὴν προσευχὴν τῶν εὐσεβῶν πρὸς τὸν Θεὸν κακίζουσιν, ἔπειτα οὐκ οἴδαμεν, ὅπως αὐτὴν μόνων τῶν μοναχῶν κατηγοροῦσι. Τὴν προσευχὴν τοίνυν ἡμεῖς ὁμιλίαν μετὰ Θεοῦ καὶ πρεπόντων ἀγαθῶν αἴτησιν, παρ' οὗ λαβεῖν ἐλπίζομεν, ἀνάβασίν τε νοῦ πρὸς Θεὸν καὶ εὐσεβῆ πρὸς Θεὸν ἀπευθυνομένην διάθεσιν, ζήτησιν τῶν ἀνωτέρω, ψυχῆς ἁγίας βοήθημα, λατρείαν τῷ Θεῷ κεχαρισμένην, σημεῖον μετανοίας καὶ βεβαίας ἐλπίδος οἴδαμεν· γίνεσθαι δὲ ἢ νῷ μόνῳ ἢ νοΐ καὶ

φωνῇ· θεωρεῖσθαι ἐν αὐτῇ θεωρίαν τῆς ἀγαθότητος καὶ τοῦ ἐλέους τοῦ Θεοῦ, ἀναξιότητα τοῦ αἰτοῦντος καὶ εὐχαριστίαν καὶ ἐπαγγελίαν τῆς μελλούσης πρὸς Θεὸν ὑποτάξεως.

Ἔχειν δ' αὐτὴν πίστιν καὶ ἐλπίδα καὶ διαμονὴν καὶ τήρησιν τῶν ἐντολῶν καὶ κατὰ πρῶτον λόγον αἴτησιν τῶν οὐρανίων· πολλοὺς δ' ἔχειν τοὺς καρποὺς, οὓς περιττὸν ἐγκαταλέγειν· γίνεσθαι δὲ συνεχῶς, ἐπιτελεῖσθαι δὲ ὀρθίῳ καὶ γονυκλίτῳ σχήματι. Τοσαύτη δὲ ἥπερ αὐτῆς ὠφέλεια, ὥστε καὶ ψυχῆς τροφὴν καὶ ζωὴν ὁμολογεῖσθαι. Συνάγεται καὶ ταῦτα πάντα ἐκ τῆς θείας γραφῆς, ὥστε εἴ τις τούτων ἀπόδειξιν αἰτεῖ, ὅμοιος ἄφρονι, ἢ τυφλῷ, περὶ τοῦ ἡλιακοῦ φωτὸς ὥρᾳ μεσημβρίας καὶ αἰθρίας ἀμφισβητοῦντι.

Οἱ δ' αἱρετικοί, βουλόμενοι μηδὲν ὧν Χριστὸς ἐπέτρεψε ἀπαράθραυστον ἐᾶσαι, καὶ ταύτης καθήψαντο. Αἰσχυνόμενοι δ' οὕτω φανερῶς ἀσεβεῖν τέως μὲν περὶ προσευχῆς, ἁπλῶς μὴ γίνεσθαι οὐ κωλύουσι, ταῖς τῶν μοναχῶν δ' εὐχαῖς ταράττονται· ὅπερ καὶ αὐτὸ ποιοῦσιν, ἵνα τοῖς ἁπλοϊκοῖς μῖσος κατὰ τῶν μοναχῶν θῶσι πρὸς τὸ μὴ ὅλως ἀνέχεσθαι τούτους τυχὸν ὡς βεβήλους καὶ νεωτεριστὰς ὁρᾷν, μὴ ὅτιγε ἀνέχεσθαι τὰ τῆς εὐσεβοὺς καὶ ὀρθοδόξου πίστεως δόγματα διδάσκεσθαι παρ' αὐτῶν. Σοφὸς γὰρ ὁ ἀντίδικος περὶ τὸ κακὸν καὶ ἀγχίνους περὶ τὰ μάταια· ὅθεν καὶ τοῖς ὀπαδοῖς αὐτοῦ — οἷοι οἱ αἱρετικοὶ οὗτοι μάλιστα — οὐκ ἔστι τοσοῦτον καταθύμιον εὐσεβεῖν, ὅσον περισπούδαστον τὸ ἀείποτε ἐκτραχηλιάζειν ἐπὶ βάθει κακῶν καὶ ἐκρήγνυσθαι ἐς τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος.

Ἐρωτητέον οὖν αὐτοὺς, τίνας φασὶν εἶναι τὰς τῶν μοναχῶν προσευχὰς· καὶ εἰ μὲν τοὺς μοναχοὺς φαῖεν ἐξ ἑαυτῶν τινὰ ἀλλόκοτα πεποιηκέναι καὶ ἀπᾴδοντα τῇ ὀρθοδόξῳ τῶν Χριστιανῶν θρησκείᾳ, καὶ αὐτοὶ ξυντιθέμεθα καὶ τοὺς μοναχοὺς οὐ μόνον οὐ μοναχοὺς ἀλλ' οὐδὲ Χριστιανούς φαμεν. Εἰ δὲ οἱ μοναχοὶ διηγοῦνται ἐν ἐκτάσει τὴν δόξαν καὶ τὰ θαυμάσια τοῦ Θεοῦ καὶ συνεχῶς καὶ ἀδιαλείπτως, καὶ ἐν παντὶ καιρῷ τὸ θεῖον, ὡς δυνατὸν ἀνθρώπῳ, ὕμνοις καὶ δοξολογίαις καταγεραίρουσι, πῇ μὲν τὰ τῆς γραφῆς δηλονότι ψάλλοντες, πῇ δὲ τοὺς ὕμνους ἐκ τῆς γραφῆς συνάγοντες, εἶτ' οὖν συνῳδὰ ἐκείνῃ φθεγγόμενον· ἀποστολικὸν καὶ προφητικὸν, μᾶλλον δὲ κυριακὸν ἔργον αὐτοὺς πληροῦν ὁμολογοῦμεν.

Ὅθεν καὶ ἡμεῖς παρακλητικὴν, τριῴδιον καὶ μηναῖα ψάλλοντες μηδὲν ἀπᾷδον Χριστιανοῖς ἔργον πληροῦμεν. Πᾶσαι γὰρ αἱ τοιαῦται βίβλοι περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας διαλέγονται καὶ ὕμνοις, πῇ μὲν συνηγμένοις ἐκ τῆς θείας γραφῆς, πῇ δὲ κατὰ τὴν χορηγίαν τοῦ πνεύματος, ἵν' ὧσι τοῖς μέλεσιν αἱ λέξεις κατάλληλοι δι' ἑτέρων λέξεων, τὰ τῆς γραφῆς ᾄδομεν· ἔπειτα ἵν' ὅλως ᾖ κατάδηλον, ὅτι τὰ τῆς γραφῆς ἀεὶ ψάλλομεν, ἐν ἑκάστῳ τῶν ὕμνων λεγομένῳ Τροπαρίῳ στῖχον τῆς γραφῆς ἐπιλέγομεν. Εἰ δὲ καὶ Θηκαρᾶ καὶ ἄλλας τοῖς πάλαι πατράσι πονηθείσας εὐχὰς ψάλλομεν καὶ ἀναγινώσκομεν· εἰπάτωσαν οὗτοι, ποῖον ἐκείνων τὸ βλάσφημον καὶ μὴ εὐσεβὲς, καὶ μετ' ἐκείνων τούτους ἀποδιώξομεν.

Εἰ δὲ καὶ μόνον τοῦτό φασι, τὸ συνεχῶς καὶ ἀδιαλείπτως προσεύχεσθαι κακὸν, τί αὐτοῖς καὶ ἡμῖν; Μαχέσθωσαν Χριστῷ — καθάπερ καὶ μάχονται — εἰπόντι[1] *τὴν τοῦ ἀδίκου κριτοῦ παραβολὴν, πρὸς τὸ δεῖν συνεχῶς προσεύχεσθαι, καὶ διδάξαντι ἀγρυπνεῖν καὶ εὔχεσθαι*[2]*, φυγεῖν τὰ θλιβερὰ καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου*[3]*. Μαχέσθωσαν Παύλῳ πρώτης πρὸς Θεσσαλον. κεφαλαίῳ*[4] *καὶ ἀλλαχοῦ ἐν πολλοῖς. Ἐῶ λέγειν τοὺς θείους τῆς καθολικῆς ἐκκλησίας καθηγεμόνας ἀπὸ Χριστοῦ ἄχρις ἡμῶν· ἀρκεῖ γὰρ αὐτοῖς πρὸς αἰσχύνειν τὸ σύντονον τῆς προσευχῆς τῶν τε προπατόρων, ἀποστόλων καὶ προφητῶν.*

Εἰ οὖν τὰ τῶν μοναχῶν ἐστὶ τὰ τῶν ἀποστόλων καὶ προφητῶν, δὸς δ' εἰπεῖν καὶ τῶν ἁγίων πατέρων καὶ τῶν προπατόρων αὐτοῦ τοῦ Χριστοῦ· δῆλον ὅτι αἱ τῶν μοναχῶν εὐχαὶ καρποί εἰσι τοῦ τῶν χαρισμάτων δοτῆρος ἁγίου πνεύματος. Ἃ δὲ Καλουῖνοι κεκαινοτομήκασιν ἔν τε τοῖς περὶ Θεοῦ καὶ τῶν θείων βλασφημοῦντες καὶ τὴν θείων γραφὴν παρεξηγούμενοι, κολοβοῦντες καὶ καθυβρίζοντες· τοῦ διαβόλου εἰσὶ σοφίσματά τε καὶ ἐφευρήματα.

Ἀλυσιτελὲς δὲ καὶ τὸ· ἀδύνατον τῇ ἐκκλησίᾳ, βρωμάτων τινῶν ἀποχὰς καὶ νηστείας διατάττειν ἄνευ βίας καὶ τυραννίδος. Ἡ γὰρ ἐκκλησία πρὸς νέκρωσιν τῆς σαρκὸς καὶ ὅλως τῶν παθῶν, μάλα καλῶς ποιοῦσα, διατάττει ἐπιμελῶς τὴν προσευχὴν καὶ τὴν νηστείαν, ἧς ἐρασταὶ καὶ τύποι γεγόνασι οἱ ἅγιοι πάντες, δι' ὧν — τῇ ἄνωθεν χάριτι καθαιρόμενος ὁ ἀντίδικος ἡμῖν διάβολος σὺν τοῖς στρατεύμασι καὶ ταῖς δυνάμεσι αὐτοῦ — ῥᾳδίως τελειοῦται ὁ προκείμενος τοῖς εὐσεβέσι δρόμος. Ταῦτα οὖν σκεπτομένη ἡ ἄσπιλος ἁπανταχοῦ ἐκκλησία οὐ βιάζει οὐδὲ τυραννεῖ· ἀλλὰ παρακαλεῖ, νουθετεῖ, διδάσκει τὰ τῆς γραφῆς καὶ πείθει τῇ δυνάμει τοῦ πνεύματος.

Προστίθησι δὲ τοῖς εἰρημένοις καί τις ἀνθρωπίσκος ὁ ἐν Καρεντονίᾳ προειρημένος, φαμὲν, Κλαύδιος καὶ ἕτερά τινα καθ' ἡμῶν γελοῖα καὶ μηδενὸς λόγου ἄξια· ἀλλ' ἡμεῖς καὶ τὰ εἰρημένα αὐτῷ μύθους ἡγούμεθα καὶ τοῦτον αὐτὸν τερατοποιὸν καὶ πάντη ἀμαθῆ γνωρίζομεν. Καὶ μετὰ Φώτιον γὰρ μύριοι ὅσοι καὶ γεγόνασι καί εἰσιν ἐπὶ σοφίᾳ καὶ θεολογίᾳ καὶ ἁγιότητι παρὰ τῇ ἀνατολικῇ ἐκκλησίᾳ διαφέροντες τῇ δυνάμει τοῦ πνεύματος.

Γελοιότατον δὲ καὶ τὸ· διὰ τὸ ἔχειν τινὰς τῶν ἀνατολικῶν ἱερέων τὸν ἅγιον ἄρτον ἐν σκεύεσι ξυλίνοις, ἔσω που τοῦ ναοῦ, ἔξω τοῦ βήματος ἔν τινι τῶν κιόνων κρεμάμενον, μὴ ὁμολογεῖν αὐτοὺς τὴν πραγματικὴν καὶ ἀληθῆ μεταβολὴν τοῦ ἄρτου εἰς τὸ σῶμα τοῦ κυρίου. Ὅτι μὲν γάρ τινες τῶν πτωχῶν ἱερέων ἔχουσι τὸ δεσποτικὸν σῶμα ἐν σκεύεσι ξυλίνοις, οὐκ ἀρνούμεθα· καὶ γὰρ ὁ Χριστὸς οὐχ ὑπὸ λίθων καὶ μαρμάρων τιμᾶται, ἀλλὰ διάνοιαν ὑγιῆ καὶ καρδίαν καθαρὰν αἰτεῖ παρ' ἡμῶν.

Τοῦτο καὶ Παύλῳ συμβέβηκεν· ἔχομεν γάρ φησι[5] *τὸν θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσιν. Ὅπου δ' αἱ κατὰ μέρος ἐκκλησίαι δύνανται,*

---

[1]) Luc. XVIII, 2. [2]) Marc. XIII, 33. [3]) Luc. XXI, 36. [4]) v. 6 et 17. [5]) 2. Cor. IV, 7.

ὥσπερ τυχὸν παρ' ἡμῖν ἐν Ἱεροσολύμοις, ἔνδον τοῦ ἁγίου βήματος ἑκάστου τῶν ναῶν τὸ δεσποτικὸν σῶμα τιμᾶται καὶ φωταγωγεῖται ἀείποτε ἐπταφώτῳ κανδήλῃ.

Ἔπεισι δέ μοι θαυμάζειν, πῶς τὸ δεσποτικὸν σῶμα παρά τινι ἐκκλησίᾳ ἴδον κρεμάμενον οἱ αἱρετικοὶ ἔξω τοῦ βήματος, διὰ τὸ ἴσως σεσαθρῶσθαι τοὺς τοίχους τοῦ βήματος ὑπὸ τῆς παλαιότητος, κἀκ τούτου συμπεραίνουσι τὰ ἀσύστατα· τὸν δὲ Χριστὸν οὐκ εἶδον ὑπὸ τὸ ἡμικύκλιον τοῦ ἁγίου βήματος ἱστορούμενον ὡς βρέφος ἔνδον τοῦ δίσκου, ἵνα ἴδωσιν, ὅτι, ὡς ἱστοροῦσιν οἱ ἀνατολικοὶ ἔνδον τοῦ δίσκου οὐ τύπον, οὐ χάριν, οὐκ ἄλλο τι, ἀλλ' αὐτὸν τὸν Χριστὸν, οὕτω καὶ πιστεύουσι, τὸν ἄρτον τῆς εὐχαριστίας οὐκ ἄλλο τι, ἀλλ' αὐτὸ γίνεσθαι οὐσιωδῶς τὸ σῶμα τοῦ κυρίου καὶ οὕτω συμπαρανοῦσι τὸ ἀληθὲς.

Ἀλλὰ περὶ μὲν τούτων ἁπάντων εἴρηται πλατύτερον καὶ σαφέστερον τῇ ὀρθοδόξῳ λεγομένῃ τῆς ἀνατολικῆς ἐκκλησίας ὁμολογίᾳ· Γεωργίῳ Χίῳ τῷ Κορεσίῳ ἐν τοῖς περὶ μυστηρίων καὶ προορισμοῦ καὶ χάριτος καὶ τοῦ ἐφ' ἡμῖν, καὶ πρεσβείας καὶ προσκυνήσεως ἁγίων καὶ προσκυνήσεως εἰκόνων, καὶ ἐν τῇ πονηθείσῃ αὐτῷ ἀντιῤῥήσει κατὰ τῆς ἐν Φλανδρίᾳ ποτὲ τῶν αἱρετικῶν ἀθεμίτου συνόδου καὶ ἐν ἄλλοις πολλοῖς· Γαβριὴλ Πελοποννησίῳ τῷ μητροπολίτῃ Φιλαδελφίας[1] καὶ Γηγορίῳ πρωτοσυγγέλλῳ τῷ Χίῳ ἐν τοῖς περὶ μυστηρίων, Ἱερεμίᾳ τῷ ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως ἐν τρισὶ δογματικαῖς καὶ συνοδικαῖς πρὸς τοὺς ἐν Τυβίγγῃ τῆς Γερμανίας Λουθήρους ἐπιστολαῖς· Ἰωάννῃ ἱερεῖ καὶ οἰκονόμῳ Κωνσταντινουπόλεως τῷ Ναθαναήλ· Μελετίῳ Συρίγῳ τῷ Κρητί ἐν τῇ πονηθείσῃ αὐτῷ ὀρθοδόξῳ ἀντιῤῥήσει κατὰ τῶν κεφαλαίων καὶ ἐρωτήσεων τοῦ λεγομένου Κυρίλλου· Θεοφάνῃ τῷ πατριάρχῃ Ἱεροσολύμων ἐν τῇ πρὸς Ῥωξολάνους δογματικῇ ἐπιστολῇ, καὶ ἄλλοις μυρίοις. Πρὸ τούτων δὲ εἴρηται μάλιστα καλῶς Συμεὼν τῷ Θεσσαλονίκης καὶ πρὸ ἐκείνου πᾶσι τοῖς πατρᾶσι καὶ ταῖς οἰκουμενικαῖς συνόδοις, ἱστορικοῖς τε ἐκκλησιαστικοῖς, ναὶ μὴν καὶ τοῖς ἐπὶ τῶν Χριστιανῶν Ῥωμαίων αὐτοκρατόρων συγγράψασι τὰς ἐξωτερικὰς ἱστορίας εἴρηται σποράδην, οἷς ἅπασι τὰ εἰρημένα χωρὶς πάσης ἀντιλογίας εἴληπται παρὰ τῶν ἀποστόλων, ὧν αἵ τε διὰ γραφῆς καὶ λόγου παραδόσεις διὰ τῶν πατέρων ἀφίκοντο μέχρις ἡμῶν.

Συνίστησι δὲ τὰ προειρημένα καὶ ὁ παρὰ τῶν αἱρετικῶν λόγος. Νεστορίται μὲν γὰρ μετὰ ἔτη τῆς σωτηρίας υκή', Ἀρμήνιοί τε καὶ Κόπται καὶ Σύροι καὶ ἔτι Αἰθίοπες οἱ ὑπὸ τὸν ἰσημερινὸν καὶ ἐπέκεινα τούτου κατὰ τὸν χειμερινὸν τροπικὸν οἰκοῦντες, οὓς καὶ Καμπεσίους

[1]) Dieser schickte im Jahre 1580 aus Venedig einen Brief an Martin Crusius, worin behauptet wird: „*Graecos veram doctrinam et sanctorum apostolorum traditiones sequi et non illos, qui verborum ambagibus et sermonibus in aerem evanescentibus operam dent et quotidie additiones ac detractiones proferant*". Auch bei Chytraeus de statu etc. S. 153. Näheres darüber bei Crusius in Turco-Graecia S. 206 f. 275. 522 ff. 533 ff.

οἱ ἐνταῦθα κοινῶς ὀνομάζουσι, μετὰ ἔτη .....[1] τῆς ἐνσάρκου ἐπιδημίας ἀπερράγησαν τῆς καθόλου ἐκκλησίας καὶ ἕκαστος τούτων ἔχει μόνην τὴν αἵρεσιν, ἣν ἅπαντες ἀπὸ τῶν πρακτικῶν τῶν οἰκουμενικῶν ἴσασι συνόδων. Περὶ μέντοι τοῦ σκόπου καὶ τοῦ ἀριθμοῦ τῶν ἱερῶν μυστηρίων καὶ τῶν εἰρημένων ἡμῖν ἀνωτέρω ἁπάντων — πλὴν τῆς ἰδίας αὐτῶν αἱρέσεως, ὡς εἴρηται — ὡσαύτως πιστεύουσι τῇ καθολικῇ ἐκκλησίᾳ, ὡς αὐτοῖς ὄμμασιν ὅσαι ὧραι βλέπομεν καὶ αἰσθήσει καὶ λόγῳ μανθάνομεν, ἐνταῦθα ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ, ἐν ᾗ ἀπὸ πάντων καὶ οἰκοῦσι καὶ πάντοτε ἐπιδημοῦσι πλεῖστοι ὅσοι παρ' αὐτῶν, σοφοί τε, ὅσον τὸ κατ' αὐτοὺς, καὶ ἰδιῶται.

Σιωπάτωσαν τοίνυν οἱ κενόφωνοι καὶ νεωτερισταὶ αἱρετικοὶ καὶ μὴ ἐπιχειρείτωσαν ἔκ τε τῆς γραφῆς καὶ τῶν πατέρων καθ' ἡμῶν κλέπτοντες ῥησίδιά τινα σεσοφισμένως εἰς σύστασιν τοῦ ψεύδους, ὡς πεποιήκασι πάντες οἱ ἀπ' αἰῶνος ἀποστάται καὶ αἱρετικοὶ, καὶ λεγέτωσαν ἕν καὶ μόνον, ὅτι προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις προῄρηνται λαλεῖν ἄδικα κατὰ τοῦ Θεοῦ καὶ βλάσφημα κατὰ τῶν ἁγίων.

Ἐπίλογος.

Ταῦτα ἐκ τῶν πολλῶν ὀλίγα εἰς καθαίρεσιν τοῦ ψεύδους τῶν ἀντικειμένων, ὅπερ ἐπενόησαν κατὰ τῆς ἀνατολικῆς ἐκκλησίας, προβαλλόμενοι μέσον τῆς ἐπιφορᾶς τοῦ ψεύδους τὰ ἀσύστατα καὶ ἄθεα κεφάλαια τοῦ λεγομένου Κυρίλλου. Εἴησαν δὲ οὐκ εἰς σημεῖον ἀντιλεγόμενον τοῖς ὡς ἀληθῶς ἀδίκως ἡμᾶς διασύρουσιν αἱρετικοῖς, ἀλλ' εἰς σημεῖον πιστευόμενον ἤτοι εἰς διόρθωσιν τῶν καινοτομηθέντων αὐτοῖς καὶ ἐπιστροφὴν αὐτῶν πρὸς τὴν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ἐν ᾗ παλαίποτε καὶ οἱ πρόγονοι αὐτῶν ἦσαν, καὶ ἐν ταῖς κατὰ τῶν αἱρετικῶν συνόδοις, αἷς νῦν αὐτοὶ ἀθετοῦντες καθυβρίζουσι, καὶ ἀγῶσι παρῆσαν. Ἄτοπον γὰρ πεπεῖσθαι αὐτοὺς, καὶ μάλιστα αὐχοῦντας εἶναι σοφοὺς, ἀνδράσι φιλαύτοις τε καὶ βεβήλοις καὶ λαλήσασιν οὐκ ἐκ τοῦ πνεύματος τοῦ ἁγίου, ἀλλ' ἐκ τοῦ ἄρχοντος τοῦ ψεύδους, τὴν δ' ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ἣν περιεποιήσατο ὁ Θεὸς τῷ αἵματι τοῦ υἱοῦ αὐτοῦ[2] ἐγκαταλιπεῖν καὶ ταύτης

---

[1]) Die Jahre sind hier nicht angegeben, weil die aufgezählten Sekten nicht um dieselbe Zeit von der ökumenischen Kirche abgefallen sind. Aller Wahrscheinlichkeit nach unterließ Dositheus die Jahresangabe, da er sie aus dem Kopfe nicht genau kannte. Später konnte oder wollte er sie nicht hinzufügen. Die Armenier trennten sich von der ökumenischen Kirche am Anfange des VI. Jahrhunderts, wegen der Nichtannahme der Synode zu Chalcedon; die Gemeinde der syrischen Monophysiten ist durch Jacob Baradai († 578) begründet, weswegen sie auch jacobitisch heißt; die ägyptischen äthiopischen Monophysiten wählten sich im Jahre 536 einen eigenen Patriarchen und wurden seit jener Zeit Kopten genannt. Alle drei Sekten datieren also seit dem Anfange des VI. Jahrhunderts, was im Texte angegeben sein könnte.

[2]) Act. XX, 28.

ἀποσκιρτῆσαι. Ἄλλως γὰρ ἂν αὐτοὺς μὲν τοὺς ἀποῤῥαγέντας τῆς ἐκκλησίας τὰ ἐκεῖσε δικαιωτήρια μετὰ τῶν ἐθνικῶν καὶ τελωνῶν δέξονται· τὴν δὲ καθολικὴν ἐκκλησίαν οὐ παρόψεται ὁ ταύτην ἕως ἄρτι ἀπὸ πάντων τῶν ἐναντίων διατηρῶν κύριος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν ἔτει τῷ σωτηρίῳ αχοβ'· μηνὶ Μαρτίῳ ις'. Ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ.

Δοσίθεος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης ἀποφαίνομαι καὶ ὁμολογῶ, ταύτην εἶναι τὴν πίστιν τῆς ἀνατολικῆς ἐκκλησίας.

V.

Das Bekenntnis des Metrophanes Kritopulos.

Metrophanes Kritopulos wurde zu Berrhöa in Mazedonien am Ende des 16. Jahrhunderts geboren. Die religiöse und wissenschaftliche Bildung erwarb er sich bei den Mönchen auf dem Berge Athos und wurde selbst Mönch. Weiter hatte er zum Lehrer den berühmten Maximus Margunius, einen erbitterten Gegner Roms. In noch frühem Alter erreichte Metrophanes die Würde eines Hieromonachos und bald darauf des Protosynkellos (d. h. ersten Siegelbewahrers) des Patriarchats von Konstantinopel. Seine Tüchtigkeit erweckte die Aufmerksamkeit des Cyrill Lukaris, damals Patriarch von Alexandrien, der ihn zum Studium nach England sandte. Von dem anglikanischen Bischofe von Canterbury, Georg Abot, und dem Könige Jakob I. — dem er als Geschenk von Cyrill den Codex Alexandrinus mitbrachte — auf die Empfehlung Cyrills hin freundlich aufgenommen, studierte Metrophanes von 1618—1623 an der Universität Oxford vornehmlich Theologie. Von England kam er nach Deutschland, wo er die theologisch-protestantischen Fakultäten zu Wittenberg, Tübingen, Altdorf, Straßburg und Helmstedt besuchte. In Helmstedt verweilte er beinahe ein volles Jahr (1625). Überall, wo Metrophanes war, ließ er den Eindruck eines geistig begabten und lernbegierigen Mannes zurück. In Helmstedt stand er in lebhaftem Verkehr mit den Professoren: Conring, Georg Calist und Konrad Hornejus, auf deren Anregung er seine „*Ὁμολογία τῆς ἀνατολικῆς ἐκκλησίας τῆς κατολικῆς καὶ ἀποστολικῆς*“ verfaßte. Von Deutschland begab er sich nach Venedig, wo er eine Zeitlang (bis 1628) als Lehrer der griechischen Sprache wirkte und kehrte dann nach Konstantinopel zu Cyrill Lukaris zurück. Um 1630 wurde er Patriarch von Alexandrien. Als solcher teilte er jedoch nicht die protestantischen Gesinnungen Cyrills, was aus der Tatsache zu schließen ist, daß er nach dessen Tode der von Cyrill von Berrhöa gegen Lukaris und dessen Lehrsätze 1638 gehaltenen Synode zu Konstantinopel öffentlich beitrat. Nur das Anathem über denselben

unterschrieb er nicht mit. Das Todesjahr Kritopulos' ist nicht genau bekannt, wahrscheinlich starb er um 1641. Die übrige literarische und pastorale Tätigkeit des Metrophanes geht uns direkt nichts an, nur seine Confessio hat ein Interesse für uns.

Es ist wahr, daß diese in Helmstedt aus persönlichem Anlaß entstandene Bekenntnisschrift nur eine Privatschrift ist und daß sie mehr den Charakter einer theologischen Abhandlung als den einer symbolischen Schrift trägt; immerhin ist sie aber von größtem Belang für den Symboliker, denn sie bietet uns unter dem Gewand der theologischen Gelehrsamkeit, und gleichwohl in schlichter Form, überreiches Material dar. Gegen die römisch-katholische Kirche scharf polemisierend, gegen die protestantische niemals ins Feld ziehend, stellt Metrophanes die Lehre seiner Kirche in 23 mosaikartig aneinander gereihten Kapiteln dar. Er handelt darin vom Glaubenssymbol, von der Schöpfung, von der Menschwerdung Gottes, von der Prädestination, von den sieben Sakramenten im allgemeinen und im besonderen, von den zehn Geboten, von der Kirche, von der Bilder- und Reliquienverehrung, von der Anrufung der Heiligen, von dem Fasten, dem Mönchtum und von dem Gebet für die Verstorbenen. In zwei anderen darauffolgenden Kapiteln kommen die rituellen Bestimmungen betreffs der Stellung beim Gebet im allgemeinen, und am Sonntag und während der Osterzeit im besonderen, zur Rede. Das Schlußkapitel schildert die elende Lage der griechischen Kirche unter der muselmanischen Gewaltherrschaft und gibt der Hoffnung auf baldige Erlösung Ausdruck.

Das kirchliche Lehrsystem zerfällt nach Metrophanes in eine „einfache" und eine „ökonomische" Theologie *(ἁπλῆ καὶ οἰκονομικὴ Θεολογία)*. Metrophanes gibt sich große Mühe und verwendet viel Dialektik, um die Progressio des heiligen Geistes nur vom Vater klar zu machen. Die erste Hypostase in der Gottheit verhält sich zur zweiten als Vater, zur dritten als Entsender, faßt aber alle beide in sich zusammen als *νοῦς*. Dies ist das einzig Ursächliche im Wesen der Gottheit. Ginge der heilige Geist auch vom Sohne aus, so gäbe es ein doppelt Ursächliches in der Gottheit, was die Einheit derselben zerstörte usw. Auch Analogien wie in dem dem Gennadius zugeschriebenen Dialog begegnen uns bei Metrophanes. Die drei göttlichen Hypostasen vergleicht er mit der menschlichen Seele, als deren Teile er: *νοῦς, λόγος* und *ἀειπνοΐα* oder *ἀθανασία* nennt.

Viel Aufsehen hat die Einteilung der Sakramente in zwei Kategorien erregt und die Benennung der ersten Kategorie — worunter drei derselben gezählt werden, nämlich: Taufe, Abendmahl und Buße — Sakramente im engeren Sinne des Wortes oder ersten Ranges, während die übrigen vier nur als Sakramente im weiteren Sinne des Wortes oder zweiten Ranges hingestellt sind. Bedenken wir aber, daß zur

Zeit Metrophanes' die Schwankungen in bezug auf die Zahl der Sakramente und auf die kirchlichen Gebräuche, welche als Sakramente angesehen werden sollten, noch nicht aufgehört hatten, und ziehen wir noch weiter in Erwägung, daß gewöhnlich auch heutzutage von den Theologen ein Unterschied zwischen den Sakramenten betreffs ihrer Wichtigkeit gemacht wird, so kann man Metrophanes des Protestantismus nicht beschuldigen, wie manche, z. B. Nikolaus Comnenus und Nihusius, getan haben. Es mag sein — wie Gaß bemerkt —, daß es trinitarische Betrachtungen sind, welche Metrophanes zur Annahme der Dreizahl der Sakramente geführt. Die Taufe soll nämlich, nach dieser Ansicht, ein Sinnbild der Versöhnung mit dem Vater und der Aufnahme in dessen Kindschaft durch die Wiedergeburt sein; das Abendmahl das Symbol der Einverleibung mit Christus, dem Sohne, der dem Leben eine neue, gesunde Wurzel gegeben, und die Buße endlich der Typus der Ausdauer des heiligen Geistes, der uns weckt, so oft wir vom rechten Wege abirren.

Auch sonst bietet das Bekenntnis des Metrophanes manche Ansichten, welche von denen der heutigen gr.-or. Kirche ein wenig abweichen; das findet aber seine Erklärung in der Unsicherheit, welche damals noch in der Kirchenlehre waltete, wie auch in dem Umstand, daß dieses Bekenntnis nur ein Privatbekenntnis ist und als solches lediglich die Ansichten seines Verfassers in den Streitpunkten darbietet. Jedoch ist zu bemerken, daß eben aus dem besagten Grunde diese *ὁμολογία* einige Vorzüge besitzt, die in mancher Beziehung ihren Wert über den der *ὀρθόδοξα ὁμολογία* höher anschlägt. Deswegen zögern wir nicht, dieses Bekenntnis, welches mehr aus äußeren als aus inneren Gründen bis in unsere Zeit nur auf die zweite Stufe gestellt oder sogar ins Dunkel der Vergessenheit versetzt ist, in den Vordergrund zu rücken und dasselbe besonders als Quelle für das Studium der Symbolik der gr.-or. Kirche zu empfehlen. Allerdings behaupten wir damit nicht, daß alles, was darin steht, buchstäblich als Lehre dieser Kirche angesehen werden sollte, sondern wie jede Quelle nur kritisch, mit anderen Quellen verglichen, im Lichte der heutigen Theologie angesehen, zu benutzen ist. Insbesondere für diejenigen, welche die Symbolik historisch und vergleichend auffassen und betreiben, ist diese Schrift vom höchsten Wert, geschweige denn ihre Bedeutung für das Studium der Dogmengeschichte.

Der Text dieses Bekenntnisses wurde zum ersten Male im Jahre 1661 von Johannes Hornejus, dem Sohne Konrad Hornejus', herausgegeben und zwar nach dem von Metrophanes selbst auf den Wunsch der Helmstedter Professoren geschriebenen und in der Bibliothek zu Wolfenbüttel aufbewahrten Original. Hornejus legte ihm eine von ihm selbst gemachte lateinische Übersetzung bei und versah sie auch mit einer Vorrede von Hermann Conring, wo vieles über Metrophanes' Persönlichkeit, Studien usw. mitgeteilt wird.

Näheres über Metrophanes und sein Bekenntnis berichten: Fabricius-Harleß „Bibliotheca graeca", XI, 597 ff.; Aug. Dietelmaier „De Metrophane Critopulo, huius academiae quondam cive, tandem Patriarcha Alexandrino", Altorfii 1769; Kimmel „Appendix librorum symbolicorum ecclesiae orientalis", besorgt von Weißborn nach dem Tode Kimmels (1850); A. Demetracopulos *„Ἡ ὀρθόδοξα Ἑλλας"* (18); W. Gaß „Symbolik der griech. Kirche"; I. E. Mesolora in seiner *„Συμβολικὴ τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας" (Τόμος Α', Τεῦχος Β')* Athen 1883, wo er auch den Text der Confessio gibt, jedoch nur griechisch.

Ὁμολογία τῆς ἀνατολικῆς ἐκκλησιαστῆς καθολικῆς καὶ ἀποστολικῆς συγγραφεῖσα ἐν ἐπιτομὴ διὰ Μητροφάνους ἱερομονάχου πατριαρχικοῦ τε πρωτοσυγγέλλου τοῦ Κριτοπούλου.

I. *Προοίμιον.*

Ἡ περὶ τὰ θεῖα σπουδὴ καὶ διηνεκὴς μελέτη τοσοῦτον φαίνεται πασῶν τῶν ἄλλων σπουδῶν ὑπερφέρουσα, ὅσον ἐκεῖναι μὲν περὶ φθαρτῶν καὶ ἐπικήρων πραγμάτων καταγινόμεναι, πρὸς τῷ τὸν ἀνθρώπου νοῦν, τὸ θειότερον τῆς ψυχῆς, κωλύειν τῆς εἰς τὰ ἄνω ὁρμῆς κάτω περὶ τὴν ὕλην τοῦτο καθέλκουσαι, καὶ τὸ χρήσιμον πάνυ ὀλίγον, ἀβέβαιόν τε καὶ πρόσκαιρον ἔχουσιν. Αὕτη δὲ περὶ θείων καὶ οὐρανίων ἀναστρεφομένη πείθει τὸν μελετῶντα ὑπεροράᾶν μὲν τῶν τῇδε καὶ κάτω πατουμένων, ἅτε μὴ δυναμένων συμπαρομαρτεῖν τοῖς τὴν ἄνω πορείαν ἰοῦσιν, ἀλλ' ἅμα τῷ ἄρξασθαι καὶ τὸ παύεσθαι ὑφισταμένων καθάπερ αἱ πομφύλυγες· ἄνω δὲ καὶ ὑψοῦ τὸ τοῦ νοῦ πτερὸν αἴρειν καὶ τῆς ἧς πρὸς τὴν ὕλην ἀρχῆθεν εἴληχε συναφείας καδδύναμιν ὑπανασπᾶν, ἵνα μὴ τοῖς τῇδε ἐπὶ πολὺ παραμένον κατασύροιτο ἐλεεινῶς καὶ τῷ βορβόρῳ τῶν κοσμικῶν φροντίδων καταβαπτίζοιτο καὶ καταποντίζοιτο.

Πρὸς ἣν θεοτερπῆ σπουδὴν ὁ μακάριος Πέτρος, ὁ τῶν Ἀποστόλων τοῦ Χριστοῦ πρόεδρος, διεγείρων τοὺς ἄρτι ἀπό τε τοῦ σκιώδους Ἰουδαϊσμοῦ, ἀπό τε τῆς πλανήσεως τῶν ἐθνῶν ἐπὶ τὴν ἀμώμητον τῶν Χριστιανῶν θρησκείαν ἀνακύψαντας παρῄνει λέγων· γίνεσθε ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου (Α. Πέτρ. γ'. 15)· ἅμα μὲν πλατύνεσθαι καὶ λαμπρύνεσθαι τὴν ἐκείνων ὀρθὴν διδασκαλίαν βουλόμενος διὰ τῆς παραχρῆμα καὶ ἐξ ὑπογυίου πρὸς πάντας ἀποκρίσεως· ἅμα δὲ τῶν γηΐνων φροντίδων τούτους ἀφέλκων τῷ πείθειν αὐτοὺς τοιαῦτα μελετᾶν ἀεί, καὶ περὶ τοιαύτην ἀπολογίαν παρασκευάζεσθαι.

Ἐχρῆν οὖν καὶ ἡμᾶς ταύτην ἀεὶ μελετᾶν καὶ ταύτῃ ἐνασχολεῖσθαι νύκτωρ καὶ μεθ' ἡμέραν, ἐντολήν τε πληροῦντες ἀποστολικὴν καὶ τὸ ἐν ἡμῖν κατ' εἰκόνα θεοῦ τῇ ταύτης σπουδῇ καὶ συνεχεῖ ἀσκήσει λαμπρότερον ὡς οἷόν τε παριστάνοντας. Ἐπεὶ δὲ αἵ τε ἀπὸ τῆς ὁδοιπορίας δυσχέρειαι, αἵ τε τοῦ σώματος πυκναὶ καὶ ἀλλεπάλληλοι νόσοι ἐμποδών μοι τέως καθεστήκασι πρὸς τὴν τοιαύτην θεάρεστον ἄσκησιν, ἀλλὰ γοῦν σιγὴν ἄγειν βαθεῖαν, ἐπιγιγνώσκοντα τὴν ἐμὴν ἀσθένειαν, βέλτιον ἂν

εἴη, ἤ τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν καὶ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷν, τὸ τοῦ λόγου, ὡς ἂν μὴ τόλμην καὶ αὐθάδειαν παρὰ τῶν δεινῶν τὰ τοιαῦτα δικάζειν κατακριθῶμεν. Ὅμως ἡ τῶν σοφωτάτων καὶ λαμπροτάτων διδασκάλων τῆς περιφανεστάτης Ἀκαδημίας Ἰουλίας πρός με φιλανθρωπία καὶ πολλὴ εὔνοια μείζων ἐγένετο, ἢ ὥστε με πρὸς τὴν ἐκείνων αἴτησιν ἀνανεῦσαι, ἣν ᾐτήσαντο, γνῶναι περὶ τῆς Ἀνατολικῆς ἐκκλησίας, ὅπως τε αὕτη καταστάσεως τῷ νῦν χρόνῳ ὑπὸ τὸν σκληρὸν καὶ δυσβάστακτον τῆς βαρβαρικῆς τυραννίδος ζυγὸν τελοῦσα καὶ ὅπως περὶ τὴν χριστιανικὴν ὀρθόδοξον πίστιν διάκειται. Ἔδοξαν γάρ τινες ἄλλοι ἀμφιβάλλειν καὶ βεβαιωθέντες αὖθις θαυμάσαι, εἰ ἔτι σώζεται χριστιανισμὸς ἐν τῇ ἀνατολῇ, ὅπου ὁ Ἀντίχριστος ἐπικρατεῖ καὶ τοῦτον συντόνως διώκει. Ἐγὼ δὲ ὑπὸ τῶν ἐκείνων πολλῶν πρός με εὐεργεσιῶν ἐπιλαθόμενος τῆς ἐμῆς ταπεινότητος καὶ περὶ τὰ τοιαῦτα ἀδυναμίας ἥκω πληρώσων τὴν τούτων αἴτησιν, ἐπικαλεσάμενος πρότερον τὴν ἄνωθεν ἐπικουρίαν, ἀντιλαβέσθαι τῆς ἐμῆς ἀσθενείας καὶ χάριν ἐμπνεῦσαί μοι, ὅπως ἀκριβῶς καὶ ἄνευ οἱασοῦν προσθαφαιρέσεως δυνήσομαι τὴν ὁμολογίαν τῆς ἀνατολικῆς ἐκκλησίας ἐκδοῦναι, ὅπως αὕτη δηλαδὴ τὸν ἀληθῆ χριστιανισμὸν κατέχει καὶ τί τὰ ταύτης τέκνα δσημέραι διδάσκει.

Κεφάλαιον 1.

Ἡ διδασκαλία τῆς ἐκκλησίας.

Διδάσκει τοιγαροῦν ἡ καθολικὴ αὕτη καὶ ἀποστολικὴ ἐκκλησία θεμέλιον τῆς ἡμῶν σωτηρίας αὐτὸν καὶ μόνον τὸν Θεὸν εἶναι τὸν τὸ εἶναι ἡμῖν χαρισάμενον, καὶ τὸ εὖ ἔσεσθαι δωρησόμενον· κἀντεῦθεν τὸ γινώσκειν αὐτὸν πρὸ πάντων τῶν ἄλλων τίθησι. Βούλεται δὲ τὴν τοιαύτην διδασκαλίαν διαιρεῖσθαι εἴς τε τὴν ἁπλῆν θεολογίαν καὶ εἰς τὴν οἰκονομικήν.

Τὰ μὲν οὖν τῆς ἁπλῆς θεολογίας εἶναι διδάσκει τὸ γινώσκειν ἕνα καὶ μόνον Θεόν, τοῦτ' ἐστι μίαν οὐσίαν Θεοῦ, ἄναρχον, ἀγέννητον καὶ ἀγένητον, ἄΐδιον, ποιητικὴν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων, κυβερνητικήν, προνοητικὴν καὶ σωστικὴν πάσης κτίσεως ὁρωμένης καὶ οὐχ ὁρωμένης. Ταύτην δὲ τὴν μακαρίαν καὶ ὑπέρθεον οὐσίαν τρισυπόστατον εἶναι, καὶ αὕτη πιστεύει καὶ τοὺς ἄλλους μαθητεύει, τοῦτ' ἐστιν, ἐν τρισὶν ὁμοτίμοις καὶ ἀδιαιρέτοις ὑποστάσεσιν. Ἃς δὴ μακαρίας καὶ ὑπεραγίας ὑποστάσεις οὔτε μέρη θεότητος οἴεται, οὔτε ποιότητας ἐν ἄλλῳ θεωρουμένας, ἀλλ' ἑκάστην τούτων ἰδίαν καὶ καθ' ἑαυτὴν ὑφισταμένην ἐν μιᾷ καὶ τῇ αὐτῇ οὐσίᾳ κοινῇ οὔσῃ τῶν τριῶν ὑποστάσεων ἀκοινωνήτῳ ἰδιώματι τῶν ἄλλων διϊσταμένην. Οὔτε μὴν ἐκ τούτων τὴν θεότητα δοξάζει, ἵνα μὴ σύνθεσις ὑπονοηθῇ κατὰ τῆς ἁπλῆς καὶ ἀσυνθέτου φύσεως, ἀλλ' ἐν αὐτοῖς τὴν μίαν θεότητα κηρύττει.

Τούτων δὲ τῶν θεαρχικῶν ὑποστάσεων παρέλαβεν ἔκ τε τῆς ἁγίας γραφῆς καὶ ἐκ τῆς ἀρχαίας ἐκκλησίας, τὴν μὲν πατέρα καλεῖσθαι καὶ προβολέα καὶ νοῦν· τὴν δὲ υἱὸν καὶ λόγον· τὴν δὲ πνεῦμα ἅγιον καὶ πρόβλημα.

Ἡ σχέσις δέ, ἣν πρὸς ἀλλήλας αὗται ἔχουσιν, αὕτη ἐστίν. Ὁ πατὴρ τοῦ υἱοῦ ἐστὶν πατήρ, τοῦ δὲ ἁγίου πνεύματος προβολεύς, ἀμφοῖν δὲ νοῦς. Ὁ υἱὸς τοῦ μὲν πατρὸς μόνου υἱός· κοινῇ δὲ πατρὸς καὶ πνεύματος λόγος· (ἔστι γὰρ τὸ ἅγιον πνεῦμα λογικόν, ἔστι δὲ καὶ θεός· ἄλλος δὲ λόγος ἐν τῷ θεῷ παρὰ τὸν οὐσιώδη καὶ ἐνυπόστατον οὐ δύναται εἶναι. οὐκ ἄρα οὐδὲ τὸ ἅγιον πνεῦμα δεηθήσεται ἄλλου λόγου τὸν οὐσιώδη καὶ ἐνυπόστατον ἔχον ὡς θεός), τὸ δὲ ἅγιον πνεῦμα, πρόβλημα μὲν μόνου τοῦ πατρός, πνεῦμα δὲ κοινῇ πατρὸς καὶ υἱοῦ.

Ὁμολογεῖ δὲ ἡ ἐκκλησία ἐν τῇ ἁγίᾳ τριάδι μίαν ἀρχὴν καὶ ἓν αἴτιον, τὸν πατέρα, υἱὸν δὲ καὶ ἅγιον πνεῦμα αἰτιατὰ ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς ἀμφότερα φυσικῶς πεφυκότα· τὸν μὲν υἱὸν γεννητῶς· τὸ δὲ ἅγιον πνεῦμα ἐκπορευτῶς· ἄμφω δὲ τῆς αὐτῆς οὐσίας τῷ πατρί, κἀντεῦθεν ὁμοούσιον τὴν ἁγίαν τριάδα κηρύττει.

Ἐπεὶ δὲ οἱ περὶ τὸν Πάπαν τῆς παλαιᾶς Ῥώμης μέμφονται ἡμῖν λίαν ἀκαίρως, μὴ ὁμολογοῦσι τὸ ἅγιον πνεῦμα κἀκ τοῦ υἱοῦ ὑφίστασθαι, (τοῦτ' ἐστι μὴ κηρύττουσι δύο ἀρχὰς καὶ δύο αἴτια ἐπὶ τοῦ ἑνὸς θεοῦ τοῦτο γὰρ ἕπεται πάντως τῷ λέγειν ἐξ ἀμφοῖν ὑφίστασθαι τὸ ἅγιον πνεῦμα), ῥητέον βραχέα περὶ τούτου, ἵνα φανῇ μὲν ἡ ἡμετέρα ὀρθοδοξία, ἐλεγχθῇ δὲ ἡ ἐκείνων καθ' ἡμῶν σὺν οὐδενὶ λόγῳ μεμψιμοιρία.

Δεῖ δὲ πρῶτον εἰπεῖν περὶ τῆς ὁμωνυμίας τοῦ πνεύματος καὶ τῶν τοῦ ἐκπορεύεσθαι σημαντικῶν καὶ τότε περὶ τοῦ ἀμφισβητουμένου.

Τὸ ἐκπορεύεσθαι σημαίνει κυρίως τὸ ἔκ τινος τόπου ἐξέρχεσθαι, κατὰ τό· ποταμὸς δὲ ἐκπορεύεσθαι ἐξ Ἐδὲμ ποτίζειν τὸν Παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχὰς κ. τ. ἑ.[1] καὶ πάλιν· Ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα κ. τ. ἑ. Τροπολογικῶς δὲ σημαίνει τὴν ἄχρονον ἐκ τοῦ πατρὸς ὕπαρξιν τοῦ παναγίου πνεύματος. Ἐπειδὴ γὰρ πᾶσαι αἱ γλῶσσαι καὶ αἱ διάλεκτοι ἀσθενεῖς εἰσιν, ἢ ὥστε σημάναι κυριολέκτως τὰ θεῖα, ἀναγκάζονται μεταφοραῖς καὶ τροπολογίαις χρῆσθαι.

Ὑφίσταται μὲν ὅ τε υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ἐκ τοῦ πατρός, ὁμοούσια τούτῳ ὄντα, συνάναρχά τε καὶ συναΐδια, οὐ τὸν αὐτὸν μέντοι τρόπον ἀμφότερα· ἦ γὰρ ἂν οὐδὲ κατὰ τὰς προσηγορίας διεφέρετον, ἀλλὰ ἐκαλεῖσθον ἄν ἄμφω ἤτοι υἱὼ ἢ πνεύματε. Νῦν δὲ ὁ διάφορος τῆς ὑπάρξεως τρόπος διαφόρους καὶ τὰς προσηγορίας ἐπέθηκεν, οἳ οὐ μόνον ἡμῖν ἀλλὰ καὶ ἀγγέλοις ἄγνωστοι, οὓς μὴ δυναμένη ἡ γλῶσσα ἐκφράσαι, ἠναγκάσθη τοιαύταις προσηγορίαις χρήσασθαι· γεννήσει μὲν ἐπὶ υἱοῦ, ἐκπορεύσει δὲ ἐπὶ τοῦ ἁγίου πνεύματος.

Ἀμφότεραι μέντοι αἱ προσηγορίαι αὗται σημαίνουσι, μὴ ἀλλοτρίας εἶναι τῆς πατρικῆς εἰτοῦν προβλητικῆς ὑποστάσεως τήν τε τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ γὰρ ἐπ' ἀνθρώπων ὁ υἱὸς τῆς αὐτῆς τε οὐσίας ἐστὶ τῷ πατρί, ἐξ οὗ γεγέννηται, καὶ ὅμοιος ἐκείνῳ ἐν πᾶσι τοῖς οὐσιώδεσι. Τὸ δὲ ἐν ἡμῖν πνεῦμα ἔκ τε τῆς φύσεως πέφυκε καὶ ταύτῃ μάλα κατάλληλον, κἂν ὁ τρόπος ἐνθάδε διαφέρει ὥσπερ ἐκεῖ.

---

[1]) Genesis II, 10.

Ἔπειτα δὲ ἡ ἐκπορεύεται λέξις σημαίνει καὶ τὴν τῶν χαρισμάτων τοῦ παναγίου πνεύματος ἐπὶ τὴν κτίσιν πρόοδον εἰς ἀσφάλειαν καὶ διαμονὴν ταύτης. Ὃ δὴ καὶ κυριώτερον ἄν εἴη ἐπὶ ταύτης ἐκλαμβάνεσθαι μᾶλλον ἢ ἐπὶ τῆς ἀνάρχου ὑπάρξεως τοῦ παναγίου πνεύματος. Ἀλλ' ἐκεῖ μὲν διὰ τὴν ἀσθένειαν καὶ ἀπορίαν τῆς γλώσσης ἐξ ἀνάγκης, ὡς εἴρηται, ἡ λέξις εἴληπται, δηλώσασα ἡμῖν τὴν διαφορὰν τῆς ὑϊκῆς καὶ πνευματικῆς ὑποστάσεως καὶ τὴν ἀπὸ τοῦ πατρὸς ἑκατέρων κατὰ διάφορον τρόπον ὕπαρξιν· ἐνταῦθα δὲ κυριολεκτότερον παριστάνουσα τὴν πρὸς ἡμᾶς ἐπιφοίτησιν τοῦ παναγίου πνεύματος, ἣν δὴ ἐξ ἀμφοῖν ἔκ τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ταύτην ὁμολογεῖν οὐδὲν τὸ κωλύον. Ἡ γὰρ πρὸς τὰ ἔξω τῆς ἁγίας τριάδος ἐνέργεια κοινή ἐστι πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται.

Περὶ δὲ τῶν τοῦ πνεύματος σημαντικῶν οἴδαμεν ὅτι πολυσήμαντος ἡ λέξις. Πνεῦμα γὰρ ὁ ἄνεμος λέγεται, πνεῦμα τὸ ἐν τοῖς ξώοις ζωτικόν, πνεῦμα ἡ νοερὰ καὶ λογικὴ καὶ ἀθάνατος τοῦ ἀνθρώπου ψυχή, πνεῦμα ὁ ἄγγελος, ἀλλὰ δὴ καὶ αὐτὴ ἡ τρισυπόστατος θεότης κατὰ τὸ Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Πνεῦμα καλεῖται καὶ ἕκαστον τῶν τοῦ παναγίου πνεύματος χαρισμάτων· Ἐπαναπαύσεται ἐπ' αὐτῷ πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν. Καὶ πολλαχοῦ δὲ τῆς ἁγίας γραφῆς ἔστιν εὑρεῖν τοῦτο. Πνεῦμα δὲ ἅγιον ἐξαιρέτως λέγεται αὐτὴ ἡ τρίτη ὑπόστασις τῆς μιᾶς καὶ ὑπερθέου θεότητος.

Τρίτην δὲ λέγω τῇ τάξει, οὐ τῇ ἀξίᾳ Ὁμότιμαι γὰρ αὗται ἀλλήλαις κατὰ πάντα. Τάξιν δὲ πάλιν φημὶ τὸν χρόνον, καθ' ὃν ἡμῖν ἐγνώσθη ἡ ἀπρόσιτος τριάς. Καὶ γὰρ πρῶτον ὁ πατὴρ ἐγνώσθη τοῖς ἀνθρώποις ἐν τῇ παλαιᾷ γραφῇ (καίπερ οὔθ' ὁ υἱὸς, οὔτε τὸ πνεῦμα ἄγνωστα ἐκεῖθι, πλὴν ἀλλ' ἀμυδρῶς πως καὶ οὐ τελείως διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων). Ἔπειθ' ὁ υἱὸς ἐφανέρωσεν ἡμῖν ἑαυτὸν διὰ σαρκός, ἅτε μὴ δυναμένοις γυμνὸν θεὸν καὶ δίχα προκαλύμματος θεάσασθαι. Τρίτον δὲ τὸ ἅγιον πνεῦμα ἠξίωσεν ἑαυτὸ ἡμῖν ἀποκαλύψαι, καὶ τοῦτο οὐχ ἅπαξ ἀλλὰ τρὶς μάλιστα· ἔν τε τῷ βαπτισμῷ τοῦ Σωτῆρος ἐν εἴδει περιστερᾶς, ἔν τε τῇ μεταμορφώσει τοῦ αὐτοῦ ἐν σχήματι φωτεινῆς νεφέλης καὶ κατὰ τὴν Πεντηκοστὴν ἐν εἴδει πυρίνων γλωσσῶν. Αὕτη ἐστὶν ἡ τάξις, καθ' ἣν λέγεται τὸ ἅγιον πνεῦμα τρίτον τῇ τάξει. Λέγοντες οὖν οἱ ἅγιοι πατέρες περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, εἰ μὲν ὁ λόγος αὐτοῖς περὶ τῆς χρονικῆς ἐκπορεύσεως ἦτοι τῆς εἰς τὰ κτίσματα προόδου, ἐκ πατρὸς ταύτην ὁμολογοῦσι διὰ τοῦ υἱοῦ ἢ καὶ ἐξ ἀμφοῖν. Ἀλλὰ δὴ καὶ αὐτὸ ἐξ ἑαυτοῦ τὸ ἅγιον πνεῦμα ἡμῖν ἐπιφοιτᾷ τε καὶ διαμένει, ὅτι αὐτοδέσποτον καὶ αὐτεξούσιον, καθάπερ ὅ τε πατὴρ καὶ ὁ υἱός, καὶ ὅτι κοινὴ ἡ τῆς ὁμοουσίου τριάδος πρὸς τὰ ἔξω ἐνέργεια, ὡς εἴρηται. Ἡνίκα δὲ τὴν ἐκπορεύεσθαι λέξιν ἐκλαμβάνουσιν ὁμωνύμως περὶ τῆς ἀνάρχου τοῦ ἁγίου πνεύματος ὑπάρξεως, οὐ λέγουσι ταύτην καὶ ἐκ τοῦ υἱοῦ. Ἅπαγε πολλοῦ γε δέουσι τοῦτο νοῆσαι ἢ

εἰπεῖν· ὡς ἔνεστι καταμαθεῖν παρὰ τῶν ἐκείνων ῥητῶν, ὧν τινα καὶ πάνυ ὀλίγα ἐνθάδε τίθημι, δηλαδὴ ὅσα τῇ μνήμῃ ἐπέρχεται.

Καὶ πρῶτον μὲν ἔστω τὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου πρὸς τὸν μαθητιῶντα φιλόσοφον οὕτωσὶ κατὰ λέξιν ἔχον· Δέχου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως καὶ τοῦ υἱοῦ τοῦ γεγενημένου ἐξ αὐτοῦ καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρός, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ, καθά φησιν ὁ θεῖος ἀπόστολος Παῦλος· Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

Δύο σημειωτέον ἐνθάδε· πρῶτον, ὅτι προσεχῶς ἡ ἁγία σύνοδος μνησθεῖσα τοῦ υἱοῦ, ἵνα μὴ ὁ φιλόσοφος τὸ ἐξ αὐτοῦ ἀκούων ὑπολάβοι περὶ τοῦ υἱοῦ, εὐθὺς ἐπήγαγε τοῦ πατρός· ἐξ αὐτοῦ τοῦ πατρὸς λέγουσα. Δεύτερον, ὅτι διαφορὰν ἐποίησεν ἡ σύνοδος μεταξὺ τοῦ ἐκπορεύεσθαι καὶ τοῦ ἴδιον εἶναι. Καὶ τὸ μὲν ἐκπορεύεσθαι ὡς αἰτίαν ὑπάρξεως ἐνταῦθα σημαῖνον ἀπένειμε τῷ πατρί, αἰτίῳ ὄντι υἱοῦ καὶ ἁγίου πνεύματος. Τὸ δὲ ἴδιον εἶναι ὡς ὁμοουσιότητα δηλοῦν ἀπένειμε τῷ υἱῷ, ὁμοουσίῳ ὄντι πατρὶ καὶ ἁγίῳ πνεύματι. Τί ταύτης τῆς διδασκαλίας σαφέστερον γένοιτ' ἄν, τοῦ τὸ ἅγιον πνεῦμα ἐκπορεύεσθαι εἰτοῦν ὑφίστασθαι ἐκ μόνου τοῦ πατρός;

Εἶτα ὁ ἐν ἁγίοις Διονύσιος ὁ Ἀρεοπαγίτης (περὶ οὗ πολλαὶ ἀμφιβολίαι κεκίνηνται, ἀλλ' οὐ τοῦ παρόντος ἐστὶ διασαφηνίζειν. Μέντοι γε ὅτι παλαιοτάτη ἡ βίβλος καὶ ὅτι σοφίας καὶ πολυμαθείας μεστὴ καὶ ὅτι ὀρθοδοξίας ἐς τὰ μάλιστ' ἔχεται, οὐδεὶς ἀντειπεῖν δύναται) οὕτω φησί. Μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ, οὐκ ὄντος υἱοῦ τοῦ πατρός, οὐδὲ πατρὸς τοῦ υἱοῦ, φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων εὐαγῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. Ἔτι ὁ αὐτός· Πάλιν, ὅτι μέν ἐστι πηγαία θεότης ὁ πατήρ, ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν. Ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν. — Ὁρᾶτε, ὅτι μόνην πηγὴν τῆς θεότητος τὸν πατέρα φησὶν εἶναι, υἱὸν δὲ καὶ ἅγιον πνεῦμα ἐκ τοῦ πατρὸς ὑφίστασθαι καὶ ὅτι χρὴ τὰ ἰδιώματα φυλάττεσθαι εὐαγῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. Ὡς ἄλλως σύγχυσις ἔσεται ἐν τῇ ἀσυγχύτῳ τριάδι, ὅταν τις τὴν ἐνδοτέραν ἐνέργειαν ταύτης (λέγω δὴ τὸ γεννᾶν, τὸ ἐκπορεύειν, τὸ γεννᾶσθαι, τὸ ἐκπορεύεσθαι) μὴ ἰδίαν εἶναι δοξάζῃ ἑκάστῃ τῶν τριῶν ὑποστάσεων, ἀλλὰ κοινωνητὴν αὐτὴν οἴεται ἀκοινώνητον οὖσαν. Ὥσπερ γὰρ τὴν εἰς τὰ ἔξω ἐνέργειαν κοινὴν τῶν τριῶν ὑποσάσεων ἀναγκαζόμεθα ὁμολογῆσαι ἤγουν τὸ κτίζειν, τὸ σώζειν τὰ κτιζόμενα, τὸ ταῦτα κυβερνᾶν καὶ διατάττειν καὶ τἄλλα, ὅσα εἰς τοῦτο ἀνήκει, ὡς ἄλλως μὴ δυναμένου γνωσθῆναι τοῦ ὁμοουσίου καὶ ὁμοδυνάμου τῶν τριῶν ὑποστάσεων· οὕτως αὖθις ἀναγκαζόμεθα ὁμολογεῖν τὴν ἐνδοτέραν τούτων ἐνέργειαν ἰδίαν καὶ ἀκοινώνητον· ὡς ἄλλως οὐχ οἷόν τε ἀσυγχύτως ἀλλήλων τὰς μακαρίας ὑποστάσεις διακριθῆναι, μὴ τῆς ἐνδοτέρας ἐνεργείας τούτων ἰδίας οὔσης καὶ ἀκοινωνήτου.

Μετὰ τὸν ἅγιον Διονύσιον παρείτω ὁ ἐν ἁγίοις Ἀθανάσιος ὁ πολυάθλιος, διαῤῥήδην κηρύττων ἐν τῷ καθ' αὐτὸν συμβόλῳ, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πανάγιον πνεῦμα. Εἰ καί τινες ἐν τῇ Λατινικῇ μεταφράσει προσέθηκαν καὶ ἐκ τοῦ υἱοῦ· ἀλλὰ χάρις τῇ θείᾳ προνοίᾳ μέχρι μὲν τοῦ φθαρῆναι τὸ Λατινικὸν συγχωρησάσῃ, κρίμασιν οἷς αὕτη οἶδε, φυλαξάσῃ δὲ τὸ Ἑλληνικὸν ἀκίβδηλον· ἵνα σαφῶς πληρωθῇ τό· Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. Εἰ δὲ τοῦτο οὐ πιθανὸν δοκεῖ, καίπερ ἄλις τιθανόν, ἀλλὰ γοῦν φανερῶς ὁ αὐτὸς ἐκ μόνου τοῦ πατρὸς τοῦθ' ὁμολογῶν διὰ τοῦ ἡλιακοῦ παραδείγματος, ἱκανὸς ἂν εἴη, τὴν ἀλήθειαν παραστῆσαι. Φησὶ γάρ· Καὶ ὥσπερ ὁ δίσκος τοῦ ἡλίου μόνος ἐστὶν αἴτιος καὶ ἀγέννητος, ἡ δὲ ἀκτὶς αἰτιατὴ καὶ γεννητὴ ἐκ τοῦ δίσκου, τὸ δὲ φῶς ἐκπορευτὸν ἐκ μόνου τοῦ δίσκου διὰ τῆς ἀκτῖνος πεμπόμενον καὶ καταλάμπον τὰ περίγεια· οὕτω καὶ ὁ θεὸς καὶ πατὴρ αὐτὸς μόνος ἐστὶν αἴτιος καὶ ἀγέννητος· ὁ δὲ υἱὸς ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸς καὶ γεννητός· καὶ αὐτὸ τὸ πνεῦμα ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸν καὶ ἐκπορευτόν, διὰ τοῦ υἱοῦ ἐν τῷ κόσμῳ ἀποστελλόμενον. Ἆρ' ἔστι ταύτης τῆς μαρτυρίας σαφέστερον; Οὐχ ὅλως οἶμαι.

Παράγω δὲ πρὸς τούτοις καὶ τὸν θεῖον Γρηγόριον τὸν Νύσσης, οὗ τὴν σοφίαν καὶ ἁγιότητα οὐδεὶς τῶν ἐν χριστιανοῖς θεολόγων ἀγνοεῖ, ὅς τῷ αἱρετικῷ Εὐνομίῳ ἀντιταττόμενος οὕτω φησί, μετὰ τὰ περὶ τοῦ υἱοῦ ἐπάγων εὐθύς, οὕτωσὶ περὶ τοῦ ἁγίου πνεύματος· Καὶ πάλιν ἕτερον τοιοῦτον φῶς κατὰ τὸν αὐτὸν τρόπον οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός.

Ἀκούετε τὴν διαφορὰν τοῦ θείου τούτου διδασκάλου, ἥν ποιεῖ μεταξὺ τοῦ λάμπειν καὶ τοῦ τὴν αἰτίαν ἔχειν; Τὴν μὲν γὰρ αἰτίαν τῆς τοῦ παναγίου πνεύματος ὑποστάσεως ἔδωκε τῷ πατρί· τὴν δὲ λάμψιν τούτου ἤγουν τὴν φανέρωσιν καὶ τὴν εἰς τὰ κτίσματα πέμψιν διὰ τοῦ υἱοῦ ἔφησεν εἶναι, ἑπόμενος τῷ ὁμονοοῦντι αὐτῷ Γρηγορίῳ τῷ θαυματουργῷ, οὗ καὶ τὸν βίον ἄριστα ἐξέθετο. Ἔφη γὰρ κἀκεῖνος ἐν τῇ θεόθεν ἀποκαλυφθείσῃ αὐτῷ πίστει μετὰ τὰ περὶ πατρὸς καὶ υἱοῦ οὕτω περὶ τοῦ ἁγίου πνεύματος· Καὶ ἓν πνεῦμα ἅγιον ἐκ τοῦ θεοῦ τὴν ὕπαρξιν ἔχον καὶ δι' υἱοῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις.

Ὁρᾶτε, ὅπως οἱ ἅγιοι ἐκλαμβάνουσι τὸ διὰ τοῦ υἱοῦ, τοῦτ' ἐστι φαίνεται διὰ τοῦ υἱοῦ, γινώσκεται διὰ τοῦ υἱοῦ καὶ πέμπεται τοῖς ἀνθρώποις διὰ τοῦ υἱοῦ.

Τελευταῖον τίθημι τὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου, τοῦ μίαν τῶν πυρίνων γλωσσῶν ἐσχηκότος καὶ πῦρ ὑψηγορίας πνεύσαντος, περὶ οὗ καὶ αὖθις οἶμαι εἰπεῖν τὴν παντοδύναμον τριάδα· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Καὶ μέντοι πεποίηκε τὸν μέγαν τοιοῦτον καὶ περιβόητον διδάσκαλον. Τοιάδε τοίνυν οὗτός φησιν (οὗ τὰ ἐπιχειρήματα οὐδ' ἂν ὁ πᾶς κόσμος καταλύσειεν)· Ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν τηρεῖν καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν εἰτοῦν τρία πρόσωπα καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος· τηροῖτο

δ' ἄν, ὡς ἐμὸς λόγος, εἷς μὲν θεός, εἷς ἓν αἴτιον καὶ υἱοῦ καὶ πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων, καὶ κατὰ τὸ ἓν καὶ ταὐτὸν τῆς θεότητος, ἵνα οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα καὶ τὴν τῆς οὐσίας ταὐτότητα· αἱ δὲ τρεῖς ὑποστάσεις μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς ἢ ἀναλύσεως ἢ συγχύσεως, ἵνα μὴ τὸ πᾶν καταλυθῇ, δι' ὧν τὸ ἓν σεμνύνεται πλέον ἢ καλῶς ἔχει· αἱ δὲ ἰδιότητες, πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου· ἀρχῆς δέ, ὡς αἰτίου καὶ ὡς πηγῆς καὶ ὡς ἀϊδίου φωτός· υἱοῦ δὲ ἀνάρχου μέν οὐδαμῶς, ἀρχῆς δὲ τῶν ὅλων. Ἀρχὴν δὲ ὅταν εἴπω, μὴ χρόνον παρενθῇς μηδὲ μέσον τι τάξης τοῦ γεγεννηκότος καὶ τοῦ γεννήματος. Εἶτα μετὰ πολλὰ περὶ τοῦ υἱοῦ φησίν· Πνεύματος δὲ ἁγίου τοῦ προϊόντος ἐκ τοῦ πατρὸς (λόγ. περὶ δόγματος ἢ θεολογίας, α'.).

Ἐν τούτοις τοῖς ῥήμασι κατεμάθομεν ἀκριβῶς τρία τινὰ εἶναι ταναγκαῖα, ἃ τοὺς ὀρθοδόξους φρονεῖν δεῖ περὶ τῆς ὑπεραγίας τριάδος· πρῶτον τὸν ἕνα θεόν· δεύτερον τὰς τρεῖς ὑποστάσεις εἰτοῦν τρία πρόσωπα· τρίτον τὰς ἰδιότητας ἑκάστης τῶν ὑποστάσεων.

Καὶ μὲν ἕνα θεὸν οὐκ ἂν ἄλλως τηρήσωμεν, εἰ μὴ εἰς ἓν αἴτιον, τοῦτ' ἐστι, τὸν πατέρα καὶ υἱοῦ καὶ πνεύματος ἀναφερομένων δίχα συναλοιφῆς καὶ συνθέσεως. Τὰς δὲ τρεῖς ὑποστάσεις τότε ὀρθοδόξως ὁμολογήσομεν, ὅτε μηδεμίαν συναλοιφὴν ἢ ἀνάλυσιν ἢ σύγχυσιν ἐπινοήσομεν. Τὰς δὲ ἰδιότητας ἑκάστης τῶν ὑποστάσεων εἰλικρινῶς φυλάξομεν, εἰ τῷ πατρὶ μόνῳ δῶμεν τήν τε γέννησιν τοῦ υἱοῦ καὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος· τῷ δὲ υἱῷ μόνῳ τὸ ἐκ μόνου τοῦ πατρὸς γεννᾶσθαι· τῷ δὲ ἁγίῳ πνεύματι μόνῳ τὸ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι, εἰτ' οὖν ὑφίστασθαι. Ὁ αὐτὸς δὲ θειότατος πατὴρ καὶ διδάσκαλος τῆς ἐκκλησίας φησὶν ἀλλαχοῦ τάδε· Μοναρχία δὲ οὐχ ἣν ἓν περιγράφει πρόσωπον, ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίστασθαι· ἀλλ' ἣν φύσεως ὁμοτιμία καθίστησι καὶ γνώμης σύμπνοια καὶ ταὐτότης κινήσεως καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις.

Δέδεικται σαφῶς διὰ τῶν ῥηθέντων, ὅτι πρὸς τοῖς ἄλλοις, δι' ὧν ἡ τοῦ Θεοῦ μοναρχία σώζεται, οὐχ ἧττον καὶ ἡ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις ἀναγκαίως εἰς τοῦτο συμβάλλει.

Πρὸ δὲ τούτων ἁπάντων καὶ ὑπὲρ ταῦτα πάντα ἔχομεν τὰ ἀήττητα καὶ ἀκράδαντα ῥήματα τοῦ πρώτου καὶ μεγίστου πάντων διδασκάλου, τοῦ θεανθρώπου Σωτῆρος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τά· Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται κ. τ. λ., ἐν οἷς περιδήλως ἀπεφήνατο τήν τε πρὸς τὰ ἔξω τῆς ὁμοουσίου. Τριάδος ἐνέργειαν κοινὴν εἶναι καὶ τὴν ἐνδοτέραν ἰδίαν καὶ ἀκοινώνητον.

Τὴν μὲν διὰ τοῦ· Ὃν ἐγὼ πέμψω, ὡς ἀλλαχοῦ· Ὃν ὁ πατὴρ πέμψει ἐν τῷ ὀνόματί μου. Ἐπειδὴ οὖν καὶ ὁ πατὴρ πέμπει τὸ ἅγιον πνεῦμα καὶ ὁ υἱὸς πέμπει τοῦτο, καὶ αὐτὸ δὲ τὸ ἅγιον πνεῦμα οὐ μόνον ἐξ ἀμφοῖν πέμπεται τοῖς κτίμασιν, ἀλλὰ καὶ αὐτὸ ἑαυτὸ πέμπει καὶ μεταδίδωσιν ἑαυτὸ οἷς ἂν βούλεται (αὐτοδέσποτον γὰρ καὶ αὐτεξούσιον, ὡς τῆς αὐτῆς οὐσίας καὶ δυνάμεως πατρί τε καὶ υἱῷ, καὶ ὅπου θέλει

πνεῖ καὶ διαιρεῖ ἑκάστῳ, ὡς βούλεται)· φανερὸν ὅτι κοινὴ ἡ τῆς ὑπερουσίου Τριάδος πρὸς τὰ ἔξω ἐνέργεια. Τὴν δὲ ἐνδοτέραν ἰδίαν καὶ ἀκοινώνητον διὰ τοῦ εἰπεῖν· παρὰ πατρός. Ἐγώ, φησί, πέμψω, ὡς ταῦτα τῷ πατρὶ δυνάμενος ἐν τοῖς ἔξω, ἀλλὰ παρὰ τοῦ πατρὸς τὸν παράκλητον πέμψω ὡς ἐκεῖθεν τὴν αἰτίαν ἔχοντα καὶ ὡς τοῦ πατρὸς πηγῆς καὶ αἰτίου ὄντος ἐμοῦ τε καὶ τοῦ ἄλλου παρακλήτου ἤτοι τοῦ ἁγίου πνεύματος.

Ἔπειτα μᾶλλον τοῦτο σαφηνίσαι βουλόμενος ἐπήγαγε· τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· δι' οὗ σαφέστατα ἔδειξεν, ὅτι πέμπεται μὲν τὸ ἅγιον πνεῦμα ἐκ πατρὸς δι' υἱοῦ ἢ καὶ ἐξ ἀμφοῖν, καὶ χορηγεῖται καὶ γινώσκεται ἐξ ἀμφοῖν, ἔχει δ' αἰτίαν τῆς αὐτοῦ ἀνάρχου ὑπάρξεως τὸν ἄναρχον αὐτοῦ προβολέα καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸ μὲν οὖν εὐσεβὲς καὶ ὀρθόδοξον φρόνημα τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς Ἀνατολικῆς καὶ ὁλοφώτου ἤδη ἐξεθήκαμεν πᾶσιν, ὥσπερ τινὰ καρπὸν εὐγενῆ καὶ ὥριμον οὐδὲ πρότερον μέντοι ἀγνοούμενον καὶ ἀρκούντως διὰ βραχέων ἐδείξαμεν τὴν ἀλήθειαν. Οὐκ ἄκαιρον δ' ἂ εἴη καὶ τὰ τῶν Παπιστῶν ἐπιχειρήματα παραγαγεῖν εἰς μέσον καὶ ταῦτα διαλύσαι τῇ δυνάμει τοῦ παναγίου καὶ παντοδυνάμου Πνεύματος. Προβάλλουσι τοίνυν ἡμῖν οἱ περὶ τὸν λεγόμενον Πάπαν τῆς Ῥώμης ταῦτα.

α') Ὅτι τὸ πνεῦμα τὸ ἅγιον πέμπεται καὶ ἐκ τοῦ υἱοῦ, ἄρα καὶ ἐκ τοῦ υἱοῦ ὑφίσταται.

β') Ὅτι τὸ πνεῦμα τὸ ἅγιον λέγεται τοῦ υἱοῦ, ἄρα διὰ τοῦτο καὶ ἐκ τοῦ υἱοῦ ἔχει τὴν ὕπαρξιν.

γ') Ὅτι τὸ πνεῦμα τὸ ἅγιον λέγεται λαμβάνειν ἐκ τοῦ υἱοῦ (κατὰ τό· ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν)· ἄρα τὴν ὑπόστασιν λαμβάνει παρὰ τοῦ υἱοῦ.

δ') Πάντα ὅσα ἔχει ὁ πατήρ, τοῦ υἱοῦ ἐστιν· ὁ πατὴρ ἔχει τὸ ἐκπορεύειν ἀνάρχως τὸ ἅγιον πνεῦμα, ἄρα καὶ ὁ υἱὸς ἔχει τοῦτο.

Τὸ πρῶτον, ὅτι τὸ ἅγιον πνεῦμα πέμπεται ἐκ τοῦ υἱοῦ, ἄρα ἐκ τοῦ υἱοῦ ὑφίσταται, οὐχ ἕπεται· οὐ γὰρ πᾶν, ὃ ἐκ τινος πέμπεται, ἤδη κἀξ ἐκείνου τὴν ὕπαρξιν ἔχει. Ἄλλο γάρ ἐστι τὸ πέμπεσθαι, καὶ ἄλλο τι τὸ ὑφίστασθαι. Καὶ τὸ μὲν πέμπεσθαι σημαίνει τὴν περὶ τὰ ἔξω ἐνέργειαν, ἣν κοινὴν ὁμολογοῦμεν εἶναι τῆς ὁμοουσίου τριάδος. Τὸ δὲ ἐκπορεύεσθαι (λαμβανομένου ἐνθάδε τοῦ ἐκπορεύεσθαι περὶ τῆς ἀνάρχου ὑπάρξεως) καὶ γεννᾶσθαι καὶ τὸ γεννᾷν καὶ ἐκπορεύειν ἐμφαντικά ἐστι τῆς ἐνδοτέρας ἐνεργείας καὶ ἰδιότητος ἑκάστης τῶν ἁγίων ὑποστάσεων, ἣν ἀκοινώνητον καὶ ἰδιάζουσαν οἶδεν ὁ τῆς ἀληθείας λόγος. Ἄλλως γὰρ σύγχυσις ἔσται ἐν τῇ ἀσυγχύτῳ τριάδι, μὴ φυλαττομένων τῶν ἰδιοτήτων ἑκάστης τῶν ὑποστάσεων. Ἔτι καὶ ὁ υἱὸς λέγεται πέμπεσθαι ἐκ τοῦ ἁγίου πνεύματος· Ἰδού, κύριος καὶ τὸ πνεῦμα αὐτοῦ ἐξαπέστειλάν με. Ὅπερ ἐκ προσώπου τοῦ υἱοῦ εἰρῆσθαι, ὅ τε θεῖος Χρυσόστομος καὶ ὁ λοιπὸς τῶν πατέρων κατάλογος ἡρμήνευσεν. Οὐ μέντοι γε παρὰ τοῦτο καὶ ἐκ τοῦ ἁγίου πνεύματος ὑφίστασθαι εἰτοῦν γεννᾶσθαι τὸν

λόγον τοῦ θεοῦ εἴπωμεν. Ἐκ μόνου γὰρ τοῦ πατρὸς οὗτος γεγέννηται. Τὸ μὲν γὰρ πέμπεσθαι τὸν υἱὸν ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ ἁγίου πνεύματος τῶν κοινῶν τῇ τριάδι καὶ περὶ τὰ ἔξω ἐστί, τὸ δὲ γεννᾶσθαι τῶν ἐνδοτέρων καὶ ἀκοινωνήτων. Ὥσπερ οὖν οὐ δυνάμεθα τὸν υἱὸν λέγειν γεννᾶσθαι καὶ ἐκ τοῦ πνεύματος, καίπερ κἀκ τοῦ πνεύματος αὐτὸν οἰκονομικῶς πέμπεσθαι ἠκούσαμεν· οὕτως οὐδὲ τὸ ἅγιον πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι εἴτ' οὖν ὑφίστασθαι οἷόν τε, εἰ καὶ τοῦ υἱοῦ τοῦτο οἰκονομικῶς πέμπεσθαι ἐμάθομεν. Πάντα γὰρ περὶ τὰ ἔξω κοινὰ τῇ ὁμοουσίῳ τριάδι.

Πρὸς τὸ δεύτερον, ὅτι τὸ ἅγιον πνεῦμα λέγεται τοῦ υἱοῦ πνεῦμα, ἀρ' οὖν καὶ ἐκ τοῦ υἱοῦ ἔχει τὴν ὕπαρξιν, οὕτως ἀποκρινόμεθα. Τὸ πνεῦμα τὸ ἅγιον λέγεται καὶ τοῦ πατρὸς πνεῦμα καὶ τοῦ υἱοῦ πνεῦμα οὐ κατὰ τὸν αὐτὸν μέντοι λόγον, ἀλλὰ κατὰ ἄλλον καὶ ἄλλον. Οὐ γὰρ ἀνάγκη, ὅσα τινῶν λέγεται, κατὰ τὸν αὐτὸν λόγον λέγεσθαι εἶναι ἐκείνων, ὧν λέγεται εἶναι. Λέγεται γάρ τις υἱός τινος καὶ πατήρ τινος, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν λόγον ἡ σχέσις λαμβάνεται· οὐ γὰρ πᾶσαι αἱ σχέσεις ὅμοιαι. Οὕτω καὶ τὸ ἅγιον πνεῦμα λέγεται καὶ τοῦ πατρός, λέγεται καὶ τοῦ υἱοῦ· ἀλλὰ τοῦ μὲν πατρὸς καὶ ὡς ἐξ ἐκείνου τὴν ὑπόστασιν ἔχον καὶ ὡς ὁμοούσιον ἐκείνῳ ὄν· τοῦ δὲ υἱοῦ, ὡς ὁμοούσιον μὲν λεχθήσεται, καὶ μάλα εἰκότως· ἔτι καὶ ὡς ἀχώριστον τούτου, ἅτε ἀδιαλείπτως αὐτῷ συμπαρομαρτοῦν· ὡς καὶ ἐκ τοῦ υἱοῦ δὲ τὴν ὑπόστασιν ἔχον, οὐδαμοῦ τῆς θεοπνεύστου γραφῆς εὕρηται. Οὐκ ἄρα πᾶν, ὃ λέγεταί τινος, ἀνάγκη καὶ ἐξ ἐκείνου λέγεσθαι· ἐπεὶ καὶ ἡ ψυχὴ λέγεται τοῦ σώματος καὶ τὸ σῶμα τῆς ψυχῆς, ἀλλ' οὐδέτερον ἐξ ἑτέρου. Εἴρηται μέν ἡ σχέσις ἐπὶ τούτοις διὰ τὴν ἀδιάσπαστον ἕνωσιν. Τὸ δὲ ἅγιον πνεῦμα λέγεται τοῦ υἱοῦ καὶ διὰ τὴν ἀδιάσπαστον ἕνωσιν καὶ διὰ τὸ ταὐτὸν τῆς οὐσίας καὶ ὁμότιμον, ἀλλ' οὐχ ὅτι καὶ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχει. Ἐκ τοῦ πατρὸς γὰρ τοῦτο ἡ ἁγία γραφὴ πανταχοῦ διδάσκει.

Πρὸς τὸ τρίτον, ὅτι τὸ πνεῦμα τὸ ἅγιον λέγεται λαμβάνειν ἐκ τοῦ υἱοῦ, ἀρ' οὖν τὴν ὑπόστασιν ἐκ τοῦ υἱοῦ λαμβάνει, τάδε λέγομεν. Πρῶτον μὲν προσεχέτωσαν ἑαυτοῖς οἱ τὰ τοιαῦτα λέγοντες, μή ποτε διὰ τῆς οὐκ ὀρθῆς ὑπολήψεως τοῦ παρόντος ῥητοῦ λάθωσι κινδύνῳ χαλεπῷ περιπίπτοντες. Ἔστι γὰρ τὸ λήψεται μέλλοντος χρόνου. Εἰ δ' ἐκεῖνοι διὰ τῆς λήψεται λέξεως οἴονται τὸν Σωτῆρα περὶ τῆς ὑποστάσεως λέγειν τοῦ παναγίου πνεύματος· φεῦ τῶν κακῶν, ὅτι κατ' αὐτοὺς τότε ἔμελλε τὴν ὑπόστασιν λαμβάνειν τὸ προαιώνιον τοῦ θεοῦ πνεῦμα, τὸ τῷ πατρὶ καὶ τῷ υἱῷ ὡς ὁμοούσιον οὕτω καὶ συνάναρχον καὶ συναΐδιον. Ἀλλὰ φεῖσαι, κύριε, τοῦ πλάσματός σου καὶ μηδένα ἐγκαταλίπῃς τηλικαύτῃ μανίᾳ περιπεσεῖν. Τί οὖν ἐστιν, ὃ ὁ Σωτὴρ παρ' ἑαυτοῦ ἔφη λήψεσθαι τὸ πανάγιον πνεῦμα; Ἀλλὰ μὴν τοῦτο οὐ δεῖτ' ἀπορίας οὔτ' ἐρωτήσεως. Αὐτὸς γὰρ ὁ ἀρχιδιδάσκαλος ἡμῶν ἤδη τοῦτ' ἐσαφήνισεν, ἐπαγαγὼν εὐθὺς τὸ καὶ ἀναγγελεῖ ὑμῖν· μονονουχὶ λέγων· οὐκ ἄλλα μὲν ἐγὼ ἀνήγγειλα ὑμῖν, ἄλλα δ' ἐκεῖνος ἀναγγελεῖ, ἀλλὰ ταὐτὰ ἐμοὶ κἀκεῖνος ἀναγγελεῖ. Ἅπερ γὰρ ὁ πατὴρ εἴρηκέ μοι, ἐκ τούτων καὶ τὸ ἅγιον πνεῦμα ληψόμενον ἀναγγελεῖ ὑμῖν· δεικνὺς

ἀναντιῤῥήτως κἂν τούτοις κοινὴν εἶναι τὴν τῆς ὁμοουσίου Τριάδος περὶ τὰ ἔξω ἐνέργειαν.

Ἀλλά, φασί, τὴν διδασκαλίαν, ἣν λέγεται τὸ ἅγιον πνεῦμα λαμβάνειν ἐκ τοῦ υἱοῦ, πότερον ἐν χρόνῳ ταύτην λαμβάνει ἢ ἀχρόνως; Εἰ μὲν ἐν χρόνῳ· ἀλλ' ἐν τῷ θεῷ πάντα ἀχρόνως. Οὐκοῦν ἀχρόνως. Τοιγαροῦν ὅθεν λαμβάνει τι ἀχρόνως τὸ ἅγιον πνεῦμα, ἐκεῖθεν καὶ τὴν ὑπόστασιν. Ἡμεῖς δὲ πρὸς ταῦτα· εἰ μὲν ἑαυτῷ τὴν διδασκαλίαν ἐλέγετο λαμβάνειν τὸ ἅγιον πνεῦμα· τάχ' ἂν εἶχε λόγον ἡ τοιαύτη ἐρώτησις. Νῦν δ' οὐχ ἑαυτῷ — ἀνενδεὶς γὰρ τοῦτο καὶ ὑπερπλῆρες — ἀλλ' ἡμῖν τοῖς χρήζουσι ταύτης. Καὶ ἀναγγελεῖ ὑμῖν, φησί· σημαίνοντος ἐνθάδε τοῦ ἐκ τοῦ ἐμοῦ λήψεται τό· ἐπανάληψιν τῶν παρ' ἐμοῦ λεχθέντων ποιήσει, ἥτις πάντως ἐν χρόνῳ ἐγένετο· ὡσανεὶ ἔλεγε· πᾶσαν τὴν ἑαυτῆς σοφίαν ἐπέθηκεν ἐμοί, ὡς ἀνθρώπῳ, ἡ θεότης, καθάπερ τινὶ θησαυροφυλακίῳ κατὰ τό· Ἐν ᾧ πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικεῖ σωματικῶς. Ἐξ ἐκείνης οὖν τῆς σοφίας, ἐξ ἐκείνης τῆς διδασκαλίας λήψεται τὸ ἅγιον πνεῦμα καὶ ἀναγγελεῖ ὑμῖν. Οὐ γὰρ ὑπελείφθη τι ἀλλαχοῦ, ὃ οὐκ ἐπέθηκέ μοι ἡ θεότης, ἵν' ἀλλαχόθεν λάβῃ ὁ παράκλητος, ἀλλὰ πάντα ἐπέθηκέ μοι, ἐξ ὧν αὐτὸς λήψεται· οὐχ ὡς ἀπορῶν ἄλλης σοφίας, ἀλλὰ πᾶσαν, ὅσην ἔχει, ἐμοὶ ὡς ἀνθρώπῳ παρακατέθετο (ὡς γὰρ θεὸς κἀγὼ ἀεὶ ἔχω), οἷά τινι κιβωτῷ χρυσοφόρῳ καὶ κειμηλιοφόρῳ, ἵν' ἐκεῖθεν ἀρύηται ὁσάκις ἂν ἐθέλῃ κατὰ τό· Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι.

Πρὸς τέταρτον· πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν, ἀλλ' ὁ πατὴρ ἔχει τὸ ὑποστατικῶς προβάλλειν τὸ ἅγιον πνεῦμα, ἄρα καὶ ὁ υἱὸς ἕξει τοῦτο, οὕτως ἀπαντῶμεν. Ὁ πατὴρ πρὸς τῷ ὑποστατικῶς προβάλλειν τὸ ἅγιον πνεῦμα ἔχει καὶ τὸ ὑποστατικῶς γεννᾷν τὸν υἱὸν καὶ τὸ πατὴρ ἐκείνου εἶναι. — Τί οὖν; Συμπεριλήψῃ τῷ πάντα καὶ ταῦτα τὰ δύο; δώσεις δὲ καὶ τῷ υἱῷ τὸ γεννᾷν καὶ πατέρα εἶναι; ἢ τάχα ὀκνήσεις τοῦτο ποιῆσαι, μήποτε τήν τε τοῦ θεοῦ μοναρχίαν καταλύσῃς, ἣν οὐκ ἄλλως σώζεσθαι ἤκουσας, εἰ μὴ πρὸς τὸ ἓν τὰ ἐξ αὐτοῦ ἀναχθείη, καὶ τὴν Σαβελλικὴν υἱοπατρίαν παρεισάξῃς, τὸν αὐτὸν λέγων υἱόν τε καὶ πατέρα. Ὀκνεῖς, εὖ οἶδα, καὶ δέδοικας τοῦθ' ὁμολογῆσαι, καὶ καλῶς γε ποιεῖς. Ἔστι γάρ, ἔστιν ὡς ἀληθῶς φοβερὸν καὶ ἐπικίνδυνον. Οὐκ οὖν ὄκνει καὶ τὸ ἑξῆς λέγειν. Καὶ ὅταν ἀκούσῃς παρὰ τοῦ Χριστοῦ τό· πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι· πρῶτον μὲν ἴσθι, τὴν πρότασιν ταύτην μὴ εἶναι παρὰ τῇ ἁγίᾳ γραφῇ οὕτω καθόλου ὡς παρὰ τῇ λογικῇ. Ἤκουσας γὰρ τό· ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ἀλλ' οὐκ ἂν συμπεριλάβοις λέοντας καὶ παρδάλεις καὶ ὄνους καὶ τὰ λοιπὰ τῶν ἀλόγων σάρκας ὄντας. Ὁμοίως ἤκουσας τό· Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· ἀλλ' ὁρᾷς πολλὰ πλήθη τῶν ἀσεβῶν κάτω καὶ περὶ τὸν τῆς σφῶν ἁμαρτίας βόρβορον καταλειφθέντα. Οὐκ ἄρα καθ' ὅλον σημαίνει τὸ πᾶν ἐνθάδε, ἀλλὰ φυλαττομένων ἀσυγχύτως τῶν ἰδιοτήτων ἑκάστης τῶν θεαρχικῶν ὑποστάσεων, ὅσαι πρὸς τὴν ἔνδον ἐνέργειαν ἀφορῶσι, τὰ λοιπὰ πάντα τῇ πρὸς τὰ ἔξω ἐνεργείᾳ ἀνήκοντα, κοινὰ εἶναι φρόνει τῆς ὁμοουσίου καὶ ὁμοδυνάμου τριάδος.

Δεύτερον δὲ τό· πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι, περὶ τῆς ἀνθρωπότητος τοῦ κυρίου ἐκληπτέον μᾶλλον ἢ περὶ τῆς θεότητος. Τὰ γὰρ τῆς θεότητος (πλὴν τῶν ἐνδοτέρων πάλιν φημὶ) ἀδιόριστά ἐστιν· ὥστ' οὐκ ἔστι λέγειν· τάδε μέν ἐστι τοῦ πατρός, ὧν καὶ ὁ υἱὸς μετέχει, τάδε δὲ τοῦ υἱοῦ, ὧν καὶ τὸ ἅγιον πνεῦμα κοινωνεῖ. Οὐδαμῶς. Οὐδὲν τοιοῦτόν ἐστιν ὑπονοῆσαι ἐν τοῖς θείοις, ἀλλὰ πάντα κοινὰ καὶ ἀδιόριστα, πλὴν ὧν εἴρηται. Περὶ τῆς ἀνθρωπότητος δὲ ἵνα δείξῃ, ὅτι καὶ ὡς ἄνθρωπος ταῦτα ἔχει, τῆς θεότητος αὐτῷ τὰ πάντα παραδούσης κατὰ τό· πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ὃ δὴ θέλων παραστῆσαι, φησί, πάντα ὅσα ἔχει ὁ πατήρ τοῦτ' ἐστιν ἡ θεότης (συμπεριλαμβάνεται γὰρ μιᾷ τῶν ὁμοουσίων ὑποστάσεων ὅλη ἡ θεότης) ἔχω κἀγώ, ἤγουν ἡ ἐμὴ ἀνθρωπότης· πάντα δὲ τὰ περὶ τὰ ἔξω, τῆς ἐμῆς θεότητος ἐναποθησαυρησάσης ταῦτα τῇ ἐμῇ ἀνθρωπότητι, ἐξ ὧν ἔστι καὶ τὸ τὴν ἀλήθειαν διδάσκειν, ὃ ληψόμενον τὸ ἅγιον πνεῦμα ἀναγγελεῖ ὑμῖν. Ὥστε τό· πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι, περὶ τῆς θεότητος τοῦ υἱοῦ οὐ δύναται ληφθῆναι. Κοινὴ γὰρ αὕτη πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, τῇ ὁμοουσίῳ τριάδι, ἧς τὰ μὲν ἐνδότερα ἴδια καὶ ἀκοινώνητα, ὡς πολλάκις εἴρηται. Καὶ διὰ τοῦτο ἀδύνατον. Τὰ δὲ ἐξώτερα ἀδιορίστως κοινὰ ταῖς τρισὶν ὑποστάσεσιν, ὥσθ' ὅ τι ἂν μία τούτων ποιεῖ, τὸ αὐτὸ ἀναγκαίως καὶ αἱ λοιπαὶ δύο. Διὸ καὶ κατὰ τοῦτο ἀδύνατον. Ἀνάγκη οὖν περὶ τῆς ἀνθρωπότητος ταῦτ' ἐκλαμβάνειν.

Πρὸς τοῖς ῥηθεῖσιν ἐπιχειρήμασι παράγουσιν οἱ αὐτοὶ Ἀρχιερατικοὶ καὶ ἄλλ' ἄττα παρὰ τῶν ἁγίων πατέρων ἤγουν τὸ λέγεσθαι παρ' ἐκείνους τὸ ἅγιον πνεῦμα εἰκόνα τοῦ υἱοῦ, καὶ ῥῆμα τοῦ υἱοῦ, καὶ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι· οἷς ἰσχυριζόμενοι πειρῶνται παραστῆσαι τὸ ἅγιον πνεῦμα κἀκ τοῦ υἱοῦ τὴν ὑπόστασιν ἔχειν.

Ἀλλ' ἡ ἀποστολικὴ ἐκκλησία ταῦτ' ὀρθοδόξως καὶ κατὰ τὸ προσῆκον ἑρμηνεύουσα ἀποδείκνυσι, τούτους μάτην πειρωμένους διὰ τούτων τὴν σφετέραν γνώμην βεβαιῶσαι.

Τὸ μὲν γὰρ λέγεσθαι τὸ ἅγιον πνεῦμα εἰκόνα τοῦ υἱοῦ, ὥσπερ τὸν υἱὸν εἰκόνα τοῦ πατρός, οὐδὲν ἕτερον σημαίνει ἢ τοῦτο. Ἐπειδὴ γὰρ ἀδύνατον τὸν πατέρα τελείως γνωσθῆναι ἄνευ τοῦ υἱοῦ — τίνος γὰρ ἂν καὶ εἴη πατήρ, μὴ γινωσκομένου τοῦ υἱοῦ; — ὁ δὲ υἱὸς γινωσκόμενος ἐμφαίνει ἐν ἑαυτῷ τὸν πατέρα· εἰκότως ὡς τὸν πατέρα ἐν ἑαυτῷ ἐμφαίνων εἰκὼν τοῦ πατρὸς καλεῖται, καὶ οὐχ ὅτι ἐκ τοῦ πατρὸς ἔχει τὴν ὑπόστασιν. Ἔχει μὲν ὡς ἀληθῶς ταύτην ἐκ τοῦ πατρός, ἀλλ' οὐ διὰ τοῦτο λέγεται εἰκὼν ἐκείνου. Ἔστι γὰρ ὁ τρόπος τῆς αὐτοῦ ἀπὸ τοῦ πατρὸς γεννήσεως ἄγνωστος καὶ αὐτοῖς τοῖς ἀγγέλοις, μήτοιγε ἡμῖν. Τὰ δὲ τοιαῦτα πῶς οἷόν τε εἰκονίζεσθαι;

Ἔτι πολλὰ μέν, ἀπό τινος ἔχοντα τὴν αἰτίαν, οὐδαμῶς εἰκονίζει ἐκεῖνα, ἐξ ὧν ἔχει τὴν αἰτίαν. Καὶ πολλὰ αὖθις εἰκονίζει τινὰ μὴ ἔχοντα τὴν αἰτίαν ἀπ' ἐκείνων, οἷον οὗτος ὁ καρπὸς ἔχων τὴν αἰτίαν ἀπὸ τοῦδε τοῦ δένδρου, οὐδαμῶς εἰκονίζει τὸ δένδρον, ἐξ οὗ ἔχει τὴν αἰτίαν· οὐδεμίαν γὰρ ὁμοιότητα πρὸς τὸ δένδρον ὁ καρπὸς ἔχει. Καὶ

αὕτη ἐλαία, τὸ δένδρον, ἡ ἐν Μακεδονίᾳ πεφυτευμένη εἰκονίζει ἄλλην ἐλαίαν ἐν Ἀττικῇ πεφυτευμένην· ἀλλ' οὐδαμῶς τὴν αἰτίαν ἐξ ἐκείνης ἔχει. Οὐκ ἄρα ὁ υἱὸς κατὰ τοῦτο λέγοιτ' ἂν εἰκὼν τοῦ πατρός, καθ' ὃ ἐξ ἐκείνου ἔχει τὴν ὑπόστασιν — ὧν γὰρ ὁ τρόπος τῆς σχέσεως ἄγνωστος, ταῦτα εἰκονισθῆναι ἀδύνατον — ἀλλὰ καθ' ὃ ἐμφαίνει ἐν ἑαυτῷ τὸν πατέρα, ἔν τε τῇ ἰσοδυναμίᾳ καὶ ἐν τῇ τῆς ἐξουσίας ταὐτότητι ὡς ὁμοούσιος ὢν ἐκείνῳ.

Οὕτως ἔχει καὶ περὶ τοῦ ἁγίου πνεύματος. Ὥσπερ γὰρ τὸν πατέρα οὐ δυνάμεθα τελείως εἰδέναι, ἐὰν μὴ γνωσώμεθα τὸν υἱόν· οὕτως οὐδὲ τὸν υἱὸν δυνάμεθα τελείως γνῶναι, ἐὰν μὴ γνῶμεν τὸ ἅγιον πνεῦμα, ἀποκαλύπτον ἡμῖν τὸν υἱόν, καθὼς ὁ υἱὸς τὸν πατέρα. Ἐμφαίνει γὰρ καὶ τὸ ἅγιον πνεῦμα ἐν ἑαυτῷ τὸν υἱὸν ἔν τε τῇ ἰσοδυναμίᾳ καὶ ἐν τῇ τῆς ἐξουσίας ταὐτότητι, ὡς ὁμοούσιον ὂν τῷ υἱῷ. Καὶ κατὰ τοῦτο λέγεται τὸ ἅγιον πνεῦμα εἰκὼν τοῦ υἱοῦ.

Πρὸς δὲ τὸ ῥῆμα τοῦ υἱοῦ λέγεσθαι τὸ ἅγιον πνεῦμα καὶ διὰ τοῦτο οἴεσθαι τοὺς περὶ τὸν Πάπαν τῆς παλαιᾶς Ῥώμης ἐκ τοῦ υἱοῦ τοῦτο ὑφίστασθαι, ἐρωτῶμεν αὐτούς· πότερον ἔστι τις διαφορὰ μεταξὺ λόγου καὶ ῥήματος ἢ οὐκ ἔστι; (περὶ τῶν θείων λέγω, περὶ ὧν καὶ οἱ ἅγιοι πατέρες). Εἰ μὲν οὐκ ἔστι, τίνος ἕνεκεν οἱ πατέρες οὐκ ἐκάλεσαν τὸ ἅγιον πνεῦμα λόγον τοῦ λόγου, ἀλλὰ τὸν μὲν λόγον τοῦ πατρός, τὸ δὲ ῥῆμα τοῦ υἱοῦ; Εἰ δ' ἔστι διαφορά, τίς αὕτη; ἢ ὅτι λόγον μὲν οἱ πατέρες καλοῦντες τὸν υἱὸν ἀποβλέπουσι πρὸς τὸν οὐσιώδη καὶ ἐνυπόστατον, ὃς οὐσιώδης καὶ ἐνυπόστατος λόγος ἐκ τοῦ πατρὸς ἀϊδίως γεννᾶται; Ῥῆμα δὲ τοῦ λόγου εἴτ' οὖν υἱοῦ καλοῦντες τὸ ἅγιον πνεῦμα ἀποβλέπουσι πρὸς τὸ ὁμοούσιον καὶ ἀπὸ τοῦ υἱοῦ ἀδιάσπαστον. Ἀδύνατον γὰρ ἐπινοηθῆναι λόγον ἄνευ ῥήματος· ὥστε δὲ λόγος μὲν αὐτὴ ἡ δύναμις τοῦ λέγειν, ῥῆμα δὲ ἡ διάκρισις καὶ σαφήνεια τῶν λεγομένων. Σαφηνίζει γὰρ τὸ ἅγιον πνεῦμα καὶ βεβαιοῖ ἐν ταῖς τῶν πιστῶν καρδίαις τὰ παρὰ τοῦ λόγου λεγόμενα. Καὶ ἔτι πανθ' ὅσα λαλεῖ ὁ λόγος, ἐν πνεύματι ἁγίῳ λαλεῖ κατὰ τό· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή. Κατὰ τοῦτο οὖν προσφόρως λεχθήσεται τὸ ἅγιον πνεῦμα ῥῆμα τοῦ θεοῦ εἴτ' οὖν λόγου.

Ὅτι δὲ καὶ διὰ τοῦ υἱοῦ λέγουσιν οἱ πατέρες ἐκπορεύεσθαι τὸ ἅγιον πνεῦμα, δοκοῦσιν οἱ Ἀρχιερατικοὶ συλλέγειν τι καὶ ἀπὸ τούτου. Πρῶτον μὲν ἴστωσαν, ὅτι οὔπω φανερόν ἐστι, περὶ τίνος ἐκπορεύσεως λαλοῦντες κέχρηνται τῇ διὰ τοῦ υἱοῦ λέξει· πότερον περὶ τῆς ἀνάρχου καὶ ἀϊδίου ὑποστατικῆς ὑπάρξεως τοῦ ἁγίου πνεύματος ἢ περὶ τῆς ἐν χρόνῳ ἐπὶ τὴν κτίσιν προόδου. Ἔπειτα εἰ καὶ δῶμεν, ὅτι περὶ τῆς ἀνάρχου ὑπάρξεως τοῦτο τοῖς θείοις πατράσιν εἴρηται, ἰστέον, ὅτι καὶ οἱ πατέρες καὶ ἡ ἁγία γραφὴ εἰώθασι πολλάκις ἐκ τῶν κατὰ φύσιν τὰ ὑπὲρ φύσιν εἰκάζειν. Ὥσπερ οὖν διὰ τοῦ παρ' ἡμῖν λόγου πρόεισι πάντοτε πνεῦμα, οὐ μὴν δὲ ἐκ τοῦ λόγου ἔχει τὴν αἰτίαν τὸ ἡμέτερον πνεῦμα· οὕτω καὶ διὰ τοῦ λόγου τοῦ θεοῦ πρόεισι τὸ ἅγιον πνεῦμα, ἀλλ' οὐκ ἔχει τὴν αἰτίαν ἐκ τοῦ λόγου, δι' οὗ πρόεισιν, ἀλλ' ἐκ τοῦ πατρὸς μόνου. Καὶ ὥσπερ ἀδύνατον, τὸν καθ' ἡμᾶς λόγον εἶναι ἄνευ πνεύματος,

καίπερ μὴ ὄντα αἴτιον τοῦ πνεύματος· οὕτως ἀδύνατον, τὸν τοῦ θεοῦ λόγον εἶναι ἄνευ τοῦ ἁγίου πνεύματος, καίπερ μὴ ὄντα αἴτιον τοῦ ἁγίου πνεύματος, ἐπεὶ μόνος ὁ πατὴρ ἀμφοῖν, υἱοῦ τε καὶ ἁγίου πνεύματος, αἴτιος. Ἔτι πάνθ' ὅσα ὁ πατὴρ ἤτοι ποιεῖ ἢ ἐνεργεῖ (λέγω δὲ ποίησιν τὴν κτίσιν, ἐνέργειαν δὲ τὸ κατὰ φύσιν), διὰ λόγου καὶ ποιεῖ καὶ ἐνεργεῖ· τοῦτ' ἔστι μετὰ λόγου καὶ σὺν λόγῳ ταῦτα καὶ ποιεῖ καὶ ἐνεργεῖ, καὶ οὐδὲν ἀλόγως καὶ ποιεῖ καὶ ἐνεργεῖ. Ἐνεργῶν οὖν φυσικῶς καὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος διὰ λόγου, τοῦτ' ἔστι σὺν λόγῳ καὶ κατὰ λόγον, ταύτην ἐνεργεῖ.

Εἰ δὲ τούτοις οὐ δυνάμεθα πεῖσαι τοὺς Ἀρχιερατικούς, ἐκεῖνο καὶ μόνον εἰπάτωσαν ἡμῖν· τίνος ἕνεκεν οἱ πατέρες εἰκόνα τοῦ υἱοῦ καλέσαντες τὸ ἅγιον πνεῦμα καὶ ῥῆμα τοῦ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι τοῦτ' εἰπόντες τὸ ἐκ τοῦ υἱοῦ ἐκπορεύσθαι εἶτ' οὖν ὑφίστασθαι οὐχ ὅπως τις αὐτῶν οὐκ εἴρηκεν, ἀλλὰ καὶ ἠρνήθησαν οἱ πλείους τούτων· ὅ τε θεῖος Ἀθανάσιος ἐκ μόνου τοῦ πατρὸς τοῦτο εἰπὼν ἐκπορεύσθαι καὶ ἄμφω τὼ Γρηγορίω· ὁ μὲν διὰ τοῦ εἰς ἓν αἴτιον λέγειν δεῖν ἀναφέρεσθαι τόν τε υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ὡς ἄλλως οὐκ ἔνι σώζεσθαι τὴν τοῦ θεοῦ μοναρχίαν, εἰ μὴ οὕτω γένοιτο· ὁ δὲ διὰ τοῦ λέγειν· λάμπει μὲν αὐτὸ τὸ ἅγιον πνεῦμα διὰ τοῦ γεννητοῦ φωτός, ἔχει δὲ τὴν τῆς ὑποστάσεως αἰτίαν ἐκ τοῦ πρωτοτύπου φωτός. Ὁμοίως καὶ ὁ ἐν ἁγίοις Κύριλλος ὁ Ἀλεξανδρεὺς ἔν τε τῇ ἑρμηνείᾳ τοῦ συμβόλου ἀρνεῖται τοῦτο καὶ ἐν τοῖς λεγομένοις θησαυροῖς. Τελευταῖος ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς φάσκων, πνεῦμα μὲν τοῦ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ καὶ εἰκόνα τούτου ἐκεῖνο καλῶν, ἐκ τοῦ υἱοῦ δὲ ἀρνεῖται πάνυ ἰσχυρός. Ἀλλὰ δὴ καὶ αὐτὸς ὁ θεῖος Αὐγουστῖνος, ἐφ' ᾧ μάλιστα καυχῶνται οἱ περὶ τὸν Πάπαν τῆς Ῥώμης, φαίνεται ἀρνούμενος τὴν ἐκ τοῦ υἱοῦ τοῦ παναγίου πνεύματος ἐκπόρευσιν ἐν τῷ καθ' αὐτὸν ἐγχειριδίῳ τῷ εἰς Λαυρέντιον τὸν διάκονον.

Εἰπάτωσαν οὖν οἱ γεννάδαι, τίς ἡ αἰτία τῶν τοιούτων, καὶ τότε παυσόμεθα τοῦ διώκειν αὐτοὺς καινοτομίας καὶ σχίσματος. Ἀλλ' οὐκ ἔχουσιν· ἄλλην αἰτίαν εἰπεῖν, εἰ μὴ ἦν ἡ ἐκκλησία κατέχουσα φρονεῖ, ἅπερ φρονεῖ, εὐσεβῶς καὶ ὀρθοδόξως. Ἀλλ' ὅταν τούτοις καὶ τοῖς τοιούτοις ἱκανῶς θλιβῶσι, μὴ ἔχοντες τοῦ λοιποῦ ὅ τι καὶ δράσειαν, κρησφύγετον ζητοῦσιν. Ἔστι δὲ αὐτοῖς τὸ κρησφύγετον τοῦτο, καίπερ ἀσθενὲς πάνυ καὶ οὐκ ὀχυρόν, ὅθεν δύνανται πᾶσι φωραθῆναι φυγάδες ὄντες. Φασὶν οὖν· διὰ τοῦτο ἡμεῖς βουλόμεθα κἀκ τοῦ υἱοῦ τὸ ἅγιον πνεῦμα ὑφίστασθαι, ἵνα δείξωμεν τὸν υἱὸν ὁμοούσιον καὶ ἰσοδύναμον ὄντα τῷ πατρί. Ἀλλὰ τοῦτο προσωπεῖόν ἐστιν ὡς ἀληθῶς καὶ βαθεῖα φενάκη, τῇ τε ἁγίᾳ γραφῇ καὶ τῇ καθολικῇ ἐκκλησίᾳ παντελῶς ἄγνωστον. Ἔχοντες γὰρ τόπους ἀληθεῖς καὶ σαφεῖς ὅθεν δυνάμεθα ἀκριβῶς τὸ ὁμοούσιον παραστῆσαι, τί δεῖ τῶν μὴ ὄντων, πλαττομένων δὲ τῇ ἀκαίρῳ τῶν ἀνθρώπων περιεργείᾳ; Ἔχομεν γὰρ σὺν τῷ Θεῷ τό· Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τό· Τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ πατήρ, ὁ λόγος καὶ τὸ ἅγιον πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν· τὸ τοῦ Ἡσαΐου· εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρ-

μένου. Τοῦτο περὶ τοῦ πατρός. Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ. Τοῦτο περὶ υἱοῦ. Καλῶς προεφήτευσε τὸ πνεῦμα τὸ ἅγιον λέγον· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδοιτε κ. τ. ἑ. Τοῦτο περὶ τοῦ ἁγίου πνεύματος. Δι' ὧν τό τε τριττὸν τῆς ὑποστάσεως καὶ τὸ μοναδικὸν τῆς οὐσίας ἀριδήλως γινώσκεται. Διὰ μὲν τοῦ τρὶς τὰ Σεραφὶμ εἰπεῖν τὸ ἅγιος, ἐνέφηνε τὸ τριττὸν τῶν ὑποστάσεων, διὰ δὲ τοῦ ἅπαξ εἰπεῖν τὸ Κύριος, ἐνέφηνε τὸ μοναδικὸν τῆς οὐσίας. Τί τούτων τῶν μαρτυριῶν βέλτιον γένοιτ' ἄν τοῦ γνωσθῆναι ἡμῖν τὸ ὁμοούσιον τῆς παναγίας Τριάδος;

Ἀλλὰ καὶ μυρία παρόμοια τούτοις εὕροι ἄν τις ἐν τῇ ἁγίᾳ καὶ θεοπνεύστῳ γραφῇ ἀναμφισβητήτως τὸ ὁμοούσιον τῶν τριῶν θεαρχικῶν ὑποστάσεων παριστάνοντα· ὥστ' οὐ δεήσει ἡμῖν τῶν μὴ ὄντων καὶ ἐπικινδύνων. Ἔστι γὰρ οὐχ ὁ τυχὼν κίνδυνος, δύο ἀρχὰς ἢ δύο αἴτια δογματίζειν ἐπὶ τῆς μιᾶς θεότητος· τῶν ἁγίων πατέρων βοώντων, εἰς ἓν αἴτιον χρὴ ἀναφέρεσθαι τόν τε υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· ἵν' ἥ τε τοῦ θεοῦ μοναρχία εὐσεβῶς σώζηται καὶ ἡ ἰδιότης ἑκάστη τῶν θεαρχικῶν ὑποστάσεων εὐαγῶς φυλάττηται. Ἃ δὴ δύο καὶ παρατηρούμενα ἀναγκαιότατα πέφυκεν ἐν τῇ τῆς ὑπεραγίας τριάδος γνώσει, καὶ ὀλιγωρούμενα κινδυνώδη καὶ θανάσιμα.

Ὅτι μὲν οὖν ἡ ἐνδοτέρα ἰδία καὶ ἀκοινώνητος τῶν ἁγίων ὑποστάσεων διαφορὰ διακρίνει ταύτας ἀλλήλων καὶ ἀσυγχύτους διατηρεῖ, ἐξ αὐτῶν τῶν ἀντικειμένων τοῦτο παραστήσω. Αὐτοὶ γὰρ οὕτω τὴν ὑπόστασιν ὁρίζουσιν. Ὑπόστασίς ἐστιν ἐν φύσει τι ὑφιστάμενον ἀληθῶς καὶ πεπληρωμένως, αἰσθητικόν, ἀκοινωνήτῳ ἰδιότητι ἐξ ἄλλου διακρινόμενον. Καὶ πάλιν· Πρόσωπόν ἐστιν ἐν τῇ θεότητι ὑφιστάμενόν τι, ἐν ᾧ ἐστι πᾶσα ἡ θεία οὐσία ἐν ἰδίῳ καὶ ἀκοινωνήτῳ τοῦ ὑφίστασθαι τρόπῳ.

Εἰ οὖν αἱ ὑποστάσεις ἐν ἀκοινωνήτῳ ἰδιότητι καὶ ἐν ἀκοινωνήτῳ τοῦ ὑφίστασθαι τρόπῳ παρ' αὐτοῖς ὁρίζονται· πῶς οἷόν τε ἀσυγχύτως ταύτας φυλάττεσθαι τοῦ αὐτοῦ καὶ υἱοῦ καὶ προβολέως λεγομένου; Τοιγαροῦν κρινάτωσαν οἷς λόγου καὶ φρονήσεως μέτεστιν, εἰ δίκαιόν ἐστι συγχέειν τὴν ἐνδοτέραν τῶν τριῶν μακαριωτάτων ὑποστάσεων ἐνέργειαν, τοῦτ' ἔστι τὰς τούτων ἰδιότητας, ἃς οἱ ἅγιοι καὶ πνευματοφόροι πατέρες, ὥσπερ ἑνὶ καὶ τῷ αὐτῷ πνεύματι ἐνηχούμενοι, διδάσκουσιν ὁμοθυμαδόν, ἀκοινωνήτους ταύτας εἶναι καὶ ἰδιαζούσας. Ὅτι δὲ τοῦτο οὐδαμοῦ τῆς ἁγίας γραφῆς εὕρηται ἢ τῶν ἁγίων συνόδων ἢ τῶν κατὰ μέρος ἁγίων πατέρων, ἴσασιν οἱ τῇ Χριστιανῶν θεολογίᾳ ὁπωσοῦν ἐγκεκυφότες.

Ἀντιβολῶ οὖν πάντας τοὺς ἐντευξομένους τουτῳὶ τῷ πονηματίῳ, καὶ ἀντιβολῶ διὰ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν τῆς αἰωνίου καταδίκης καὶ τὴν πρὸς τὸν πατέρα εἰσαγωγήν· ἐπεὰν ἀκούσητε τοὺς Ἀρχιερατικούς, ῥῆσίν τινα παράγοντας, ὅθεν οὖν περὶ τῆς προκειμένης πραγματείας, μὴ τούτοις πιστεύειν, ἀλλ' ἀνατρέχειν ἐπὶ τὸ πρωτότυπον κἀκεῖ τὴν ἀλήθειαν ζητεῖν. Καὶ γὰρ ὁσάκις ἐγὼ τοῦτο πεποίηκα, πολὺ τοὐναντίον ὧν λέγουσιν

εὕρηκα. Ἄλλως γὰρ οὐκ ἔνι καταμαθεῖν τὸ σαφὲς (ὡς ἐμαυτὸν πείθω), εἰ μὴ οὕτω ποιήσαιμεν. Ἔτι μηδὲ τοῦτο λανθανέτω, ὅτι πάντα τὰ περὶ θεοῦ ἐστι δόγματ' ἀναγκαῖα πρὸς σωτηρίαν παντὶ τῷ πιστεύοντι. Ἀλλὰ τὰ πρὸς σωτηρίαν ἀναγκαῖα καταρχὰς τοῦ Χριστιανισμοῦ ἐκηρύχθη. Τοῦτο δὲ οἰδαμεν νεωτερικὸν εἶναι, διὰ πάνυ πολλῶν ἐτῶν τῆς καθόλου ἐκκλησίας μηδ' ὁντιναοῦν λόγον τούτου πέρι κινησάσης. Πῶς οὖν οἷόν τε εὐσεβείας καὶ ὀρθοδοξίας ἔχεσθαι τὸ χθὲς καὶ πρότριτα εὑρεθέν;

Πρὸς δὲ τούτων ἁπάντων σκοπητέον τὴν εἰς πολλὰ κατατομὴν καὶ διαίρεσιν ταύτης, ἣν ὑπέστη μετὰ τὸ ἀποστῆναι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Οὐχὶ πάλαι μὲν αὐτή τε ἡ Ῥώμη ἐπ' εὐσεβείᾳ ἐπῃνεῖτο καὶ πᾶσα σχεδὸν ἡ Εὐρώπη ἦν ὑποτασσομένη ταύτῃ; Οὐχὶ δὲ νῦν ἐπὶ μυρίοις ἀτοπήμασι διαβάλλεται καὶ τὸ πλεῖστον τῆς Εὐρώπης ἀπέστη ταύτης; Πάρεστι δὲ θαυμάσαι καθ' ὑπερβολὴν καὶ ἐκπλαγῆναι ἐπὶ τῇ πληρώσει τῆς προφητείας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ λεγομένου Παλαμᾶ, ἀκμάσαντος ἐπὶ τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Παλαιολόγου τοῦ γέροντος, ὃς θεῖος ἀνὴρ μετὰ πολλὰς παραινέσεις πρὸς τοὺς ἐν Ῥώμῃ, ἐπειδὴ ἑώρα τούτους ἀδιορθώτως ἔχοντας, τάδε τελευταῖον ἔφησεν ἐκ πνεύματος ἁγίου. Γινώσκεται, τέκνα μου, ὅτι ἡ ἐκκλησία τῆς Ῥώμης μέλλει διαιρεθῆναι εἰς πολλὰ τμήματα, καὶ τὰ ἑξῆς τῆς προφητείας, ἧς δὴ πληρωθείσης ὡς ἀληθῶς θαυμάζομεν. Οὐδὲν γὰρ σχίσμα ἦν τότε ἐν τῇ Εὐρώπῃ· ἀλλὰ πάντα τὰ νῦν ὄντα μετὰ τὸν χρόνον ἐκεῖνον ἐγένετο.

Διὰ τούτων οὖν καὶ τῶν τοιούτων ῥᾴδιόν ἐστι τοῖς βουλομένοις εὑρεῖν τὴν ἀλήθειαν. Περί μὲν οὖν τούτων ἅλις ἡγοῦμαι εἰρῆσθαι· προβήσομαι δὲ ἤδη σὺν θεῷ ἐπὶ τὰ λοιπὰ τῆς ὁμολογίας. Ἕπεται τοιγαροῦν τῇ ἁπλῇ θεολογίᾳ περὶ δημιουργίας εἰπεῖν.

Κεφάλαιον 2.

Περὶ δημιουργίας.

Περὶ τῆς τοῦ παντὸς κόσμου δημιουργίας τοιαύτην γνώμην ἔχει ἡ ἀνατολικὴ ἐκκλησία. Ὁ ἐν τριάδι θεὸς ἀγαθὸς ὢν καὶ ὑπεράγαθος ἠθέλησε παραγαγεῖν λογικὰ κτίσματα εἰς τὸ μεταδοῦναι τούτοις τῆς αὐτοῦ χάριτος, ἀλλ' οὐχ ὡς χρείαν τούτων ἔχων· ἀνενδεὴς γάρ ἐστι καὶ ὑπεραυτάρκης·

Πρῶτον μὲν οὖν ἐννοεῖ τὰς οὐρανίους δυνάμεις· καὶ τὸ ἐννόημα εὐθὺς ἔργον ἐγένετο. Ἃς δὴ οὐρανίους δυνάμεις διαιρεῖσθαί φασιν εἰς τρεῖς διακοσμήσεις, ἑκάστην δὲ τῶν διακοσμήσεων περιέχειν τρεῖς τάξεις, ὡς εἶναι πάσας τὰς τάξεις ἐννέα. Ἡ μὲν οὖν πρώτη διακόσμησις περιέχει τὰ Χερουβείμ, τὰ Σεραφεὶμ καὶ τοὺς Θρόνους. Ἡ δὲ δευτέρα διακόσμησις περιέχει τὰς Κυριότητας, τὰς Ἐξουσίας, τὰς Δυνάμεις. Ἡ δὲ τρίτη διακόσμησις περιέχει τὰς Ἀρχάς, τοὺς Ἀρχαγγέλους καὶ τοὺς Ἀγγέλους· αἵτινες τάξεις εἴτε φύσει εἴτε στάσει ἀλλήλων διαφέρουσιν, ἄγνωστον ἡμῖν.

Μετέπειτα παράγει τὴν ὕλην ἐξ οὐδενός, ἣν εἰς μορφὴν τρέψας κτίζει τὸν αἰσθητὸν καὶ ὁρατὸν τουτονὶ κόσμον, τὸν ἐκ τεσσάρων στοιχείων λεγόμενον συγκεῖσθαι, τοῦτ' ἔστι πυρός, ἀέρος, γῆς καὶ ὕδατος. Τριχῶς δὲ τὰ στοιχεῖα λέγεται· πόρρω, προσεχῶς καὶ προσεχέστερον. Καὶ πόρρω μὲν εἴη τὰ ῥηθέντα, προσεχῶς δὲ αἱ τούτων ποιότητες, οἷον θερμότης, ψυχρότης, ὑγρότης καὶ ξηρότης· προσεχέστερον δὲ οἱ τούτων τῶν ποιοτήτων μεθεκτικοὶ τῶν ζώων χυμοί, οἷον τὸ αἷμα, τὸ φλέγμα, ἡ ξανθὴ χολὴ καὶ ἡ μέλαινα, ἐξ ὧν συνίσταται τὰ σώματα. Ὧν χυμῶν ἀναλυθέντων εἰς τὰ πόρρω ἐκλείπει τοῖς σώμασι τὸ ζῆν. Καὶ τοῦτό ἐστιν ὁ λεγόμενος θάνατος, τ. ἐ. ζωῆς ἔκλειψις.

Ἀπαρτίσας οὖν καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον ὁ δημιουργὸς πάντων αἵρεσιν δίδωσι ταῖς οὐρανίαις δυνάμεσιν, ἤδη θεσαμέναις καὶ ἐγνωκυίαις τοῦτον δημιουργὸν ὁρατῆς καὶ ἀοράτου κτίσεως, ὁπότερον βούλοιντο ἑλέσθαι· τὸ σὺν τῷ δημιουργῷ εἶναι διὰ παντὸς ὑποτάσεσθαί τε αὐτῷ ἐν πᾶσι καὶ τὰ παρ' αὐτοῦ κελευόμενα πληροῦν σὺν προθυμίᾳ πολλῇ, ἢ ἀποστῆναι μὲν τῆς ἐκείνου ὑποταγῆς καὶ ἐλευθερίου δουλείας, καθ' ἑαυτὰς δὲ διάγειν ὥσπερ ἀγνοούσας τὸν ποιητήν· ἐπειπὼν αὐταῖς καὶ τοῦτο, ὡς, ὅ τι ἂν ἕλοιντο, ἐν ἐκείνῳ μενοῦσιν ἐς ἀεὶ ἄτρεπτοι καὶ ἀμετάβλητοι.

Αἱ μὲν οὖν ἐννέα τάξεις — δεκάτην γάρ φασιν ὑπάρξαι τὴν ἐκπεπτωκυῖαν — εἵλοντο τὴν μετὰ θεοῦ διαγωγήν, ὑπισχνούμεναι γινώσκειν αὐτὸν κύριον καὶ δεσπότην καὶ δημιουργόν, προσκυνεῖν τε καὶ λατρεύειν αὐτῷ ὡς θεῷ ὄντι τῶν πάντων, καὶ πάνθ' ὅσ' ἂν αὐταῖς κελεύσῃ ἀνύειν σὺν σπουδῇ καὶ προθυμίᾳ πολλῇ. Ὅθεν ὁ δημιουργὸς ἀποδεξάμενος αὐτῶν τὸ εὔνουν δωρεῖται αὐταῖς, ὥσπερ βραβεῖον τῆς εὐγνωμοσύνης, τὴν ἐν τῷ ἀγαθῷ διηνεκῆ μονιμότητα καὶ τὴν ἀπὸ τούτου παντελῆ ἀτρεψίαν.

Ὁ δὲ τῆς δεκάτης τάξεως ἄρχων ὁ λεγόμενος Ἑωσφόρος, ᾧ ὁ θεὸς ἐνεπίστευσε τὴν τῶν μετὰ τὴν σεληνιακὴν σφαῖραν διοίκησιν, οὐχ ὡς ἀδυνατῶν ὁ δημιουργὸς ταῦτα δι' ἑαυτοῦ διοικεῖν τε καὶ κυβερνᾶν — πῶς γάρ, ὁ ταῦτα πάντα ἀπόνως καὶ νεύματι μόνῳ παραγαγών; — ἀλλὰ τιμῶν τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας, ἵν' ἔχοιεν ἐφ' αὑτῶν ὑπούργημά τι θεῖον, ἐφ' ᾧ ἐγκαλλωπίζοιντο· ἔστι γὰρ ὡς ἀληθῶς τὰ θεῖα ὑπουργήματα πάνυ σεβάσμια καὶ ἔνδοξα· εἰ γὰρ τὰ τῶν θνητῶν βασιλέων ὑπουργήματα τίμια καὶ ζηλωτὰ πέφυκε, πόσῳ μᾶλλον τὰ τοῦ θεοῦ οὐκ ἂν εἴη πᾶσαν ἀνθρωπίνην τιμὴν καὶ δόξαν ὑπερβαίνοντα; — Ἐκεῖνος τοίνυν ὁ Ἑωσφόρος, κατανοήσας τὴν δόξαν καὶ τὴν τιμήν, ἣν ἔλαβε παρὰ τοῦ δημιουργοῦ, καὶ μὴ ἔχων, ὅπως ταύτῃ χρήσαιτο, ὑπὸ τύφου καὶ ἀλαζονίας ἐπαρθείς, ἑκὼν καὶ ἐθελοντὴς εἵλετο ἀποστῆναι τοῦ θεοῦ, πείσας εἰς τοῦτο καὶ πᾶσαν τὴν ὑφ' αὐτὸν τάξιν. Κἀντεῦθεν ἐκπίπτουσιν ἅπαντες τῆς θείας δόξης πτῶμα χαλεπώτατον καὶ ἐλεεινότατον καὶ εἰς τὸ ἄκρον τῆς κακίας καταντῶσι, μένοντες ἐν αὐτῇ ἄτρεπτοι καὶ ἀμετάβλητοι. Καὶ καθάπερ σφαῖρα κατὰ πρανοῦς ἀφεθεῖσα οὐκ ἂν λάβοι τὸ στάσιμον, πρὶν ἂν αὐτὸ τὸ ἔσχατον τοῦ χάσματος καταλάβοι· οὕτω κἀκεῖνοι ἅπαξ τοῦ θεοῦ ἀποστάντες, οὐχ οἷόν τε ἦν ἄλλως

εἰ μὴ εἰς αὐτὸ τὸ τῆς κακίας ἀκρότατον βάραθρον ἀφίκοιντο. Τοιγαροῦν ὁ πάλαι διὰ τὴν λαμπρότητα Ἑωσφόρος, νῦν διὰ τὴν ἔπαρσιν σκότος καὶ γέγονε καὶ λέγεται μετὰ πάντων τῶν σὺν αὐτῷ. Τοὐντεῦθεν πειρῶνται οἱ ἀποστάται τῷ θείῳ βουλήματι διὰ παντὸς ἀνθίστασθαι καὶ πολεμεῖν. Ὁ δὲ Θεὸς ὁ δικαιοκρίτης, ἐπειδὴ προεῖδεν αὐτοὺς πολλὰ κακὰ ποιησομένους, προώρισεν αὐτοῖς τὴν αἰώνιον κόλασιν, τάξας ἡμέραν, καθ' ἣν τοὺς ἀποστάτας ἐκεῖσε πέμψει συγχωρήσας αὐτοῖς ἕως τότε χρῆσθαι τῇ ἑαυτῶν κακίᾳ κατὰ τὸ σφίσιν δοκοῦν.

Ἵνα γοῦν μὴ ἐλλιπὴς ᾖ ὁ λογικὸς κόσμος κολοβωθεὶς τῇ ἐκπτώσει τῶν ἀποστατῶν, ἠθέλησεν ὁ τὰ πάντα σαφῶς οἰκονομῶν ἀναπληρῶσαι τοῦτον, οὐ μέντοι δι' ἀΰλων, ὁποῖοι ἦσαν οἱ ἐκπεπτωκότες, ἀλλὰ διά τινων ἄλλων ζώων, συνθέτων καὶ μικτῶν, ἵνα μήτε ἡ αἰσθητὴ κτίσις ἔρημος εἴη τοῦ ταύτης ἀπολαύοντος καὶ ἡ τοῦ δημιουργοῦ σοφία πολυτελεστέρα φανῇ καὶ μεγαλοπρεπεστέρα, ὡς δυναμένη τὰ ἀλλότρια καὶ πόῤῥω ἐνῶσαι καὶ τὰ ἄμικτα μίξαι.

Πλάττει τοίνυν τὸ μικτὸν τοῦτο καὶ σύνθετον ζῶον τὸν ἄνθρωπον τῇ ἕκτῃ ἡμέρᾳ, ἥτις ἦν ἐσχάτη τῆς αὐτοῦ δημιουργίας — ἐν ἓξ γὰρ ἡμέραις τὰ πάντα παρήγαγε καὶ τῇ ἑβδόμῃ κατέπαυσεν, ὥς φησι τὰ ἱερὰ λόγια — λαβὼν ἐκ τῆς ὕλης τὸ τετρασύνθετον σῶμα· εἶτα διὰ τοῦ ἐμφυσήματος ἐνθεὶς αὐτῷ νοῦν, λόγον καὶ ἀθανασίαν. Καὶ τοῦτό ἐστιν ὡς ἀληθὲς τὸ τριμερὲς τῆς ἀνθρωπίνης ψυχῆς, κἂν ἄλλοι ἄλλως αὐτὸ διωρίσαντο. Καὶ κατὰ τοῦτο ἔστι καὶ λέγεται τουτὶ τὸ ζῶον κατ' εἰκόνα Θεοῦ· ὡς εἰκονίζον ἐν τῇ ψυχῇ τὸν ἐν Τριάδι Θεόν. Ὁ μὲν γὰρ νοῦς εἰκονίζει τὸν νοῦν καὶ πατέρα· ὁ δὲ λόγος τὸν υἱὸν τοῦ Θεοῦ καὶ λόγον· ἡ δὲ ἀειπνοΐα εἴτ' οὖν ἀθανασία τῆς ψυχῆς εἰκονίζει τὸ ἀθάνατον καὶ ζωοποιοῦν τοῦ Θεοῦ πνεῦμα. Αὕτη δὲ ἡ ψυχὴ μονοειδὴς οὖσα καὶ τὸ σῶμα κυβερνῶσα εἰκονίζει τὸν ἕνα κατ' οὐσίαν Θεόν, τὸν τόδε τὸ πᾶν κυβερνῶντα καὶ διεξάγοντα κατὰ τὸ ἑαυτῷ δοκοῦν. Βούλεται δὲ ὁ δημιουργὸς καὶ καθ' ὁμοίωσιν αὐτοῦ εἶναι τὸ δημιουργούμενον. Ἔστι δὲ τὸ μὲν κατ' εἰκόνα ἐκ τῆς τοῦ δημιουργοῦντος θελήσεως· τὸ δὲ καθ' ὁμοίωσιν ἐκ τῆς τοῦ δημιουργηθέντος σπουδῆς τε καὶ ἀρετῆς. Προσαγορεύει δὲ τοῦτο τὸ ζῶον ἄνθρωπον, μονονουχὶ διὰ τῆς προσηγορίας διδάσκων, αὐτὸν μὴ τὰ κάτω φρονεῖν, ἀλλὰ τὰ ἄνω ἀθρεῖν καὶ ἄνω τὸν ὦπα αἴρειν, εἴτ' οὖν τὸ τῆς ψυχῆς διορατικόν.

Ἐπεὶ δὲ ἐχρῆν καὶ τὸν ἄνθρωπον θεάσασθαι τὸν Θεὸν δημιουργοῦντα, ἵνα κἀκεῖνος γνῷ τὸν δημιουργόν· δημιουργεῖ ἔμπροσθεν αὐτοῦ τὸν παράδεισον, χωρεῖον εὔκρατον, σύμμετρον ἐν πᾶσι, παντὸς ἀνιαροῦ ἀνώτερον, πάσης τερπνότητος πλῆρες, φυτῶν θείων καὶ θαυμασίων πεπληρωμένον, διττὴν ἀπόλαυσιν παρεχόντων τῷ χρήζοντι. Οὐ γὰρ δὴ μόνον τὴν τῶν καρπῶν ἐδωδὴν τῷ ἀνθρώπῳ τὰ φυτὰ προσέφερεν, ἀλλὰ καὶ τὴν τῶν ὄντων γνῶσιν ἕκαστον τούτων ἐδίδασκεν, ὥσπερ τι βιβλίον θεόγραφον.

Ἐν τοιούτῳ παραδείσῳ τίθησιν ὁ Θεὸς τὸν ἄνθρωπον, ὑποτάσσων αὐτῷ πάντα τὰ ἄλογα ζῶα, τετράποδά τε καὶ πετεινά, νηκτὰ καὶ ἑρπετά, ἃ ἔφθη προεξαγαγοῦσα ἡ γῆ καὶ τὰ ὕδατα τῷ τοῦ δημιουργοῦ κελεύ-

σματι. Τεκμήριον δὲ τῆς τῶν ἀλόγων ὑποταγῆς πρὸς τὸν λογικὸν ἄνθρωπον τὸ τὸν δημιουργὸν πάντα ταῦτα προσαγαγεῖν πρὸς ἐκεῖνον ἐπ' ἐπιθέσει τῶν προσφόρων προσηγοριῶν. Καὶ πᾶν ὅ, τι ἐκεῖνος ἑκάστῳ ἐπέθετο, τοῦτο αὐτῷ ὄνομα ἔως τῆς σήμερον.

Ἐπεὶ δὲ οὐδὲν ἐκείνων εὑρέθη ὅμοιον τῷ Ἀδάμῳ — τοῦτο γὰρ ἴδιον ἐπέθετο τῷ πρωτολάστῳ ὁ πλάστης καὶ Θεός, διδάσκων αὐτὸν ἀδάμαστον εἶναι καὶ ἀήττητον τοῖς ἀντικειμένοις, εἴγε βούλοιτο — ἵν' ᾖ τούτῳ σύνηθές τε καὶ σύντροφον, κατοικτείρας αὐτὸν τῆς μονότητος ὁ δημιουργός, μᾶλλον δὲ προειδὼς τὴν ἐκείνου ἔκπτωσιν καὶ προορίσας τὸν τρόπον τῆς τούτου διαδοχῆς καὶ αὐξήσεως, ἵνα μὴ τῇ τοῦ θανάτου καταδίκῃ ἐξολοθρευθῇ τὸ τοιοῦτον ἐξαίρετον ζῶον· πλάττει ὅμοιον αὐτῷ κατὰ τὴν οὐσίαν τὴν γυναῖκα, διαφέρουσαν μόνον κατὰ τὸ γένος. Ὁ μὲν γὰρ ἄῤῥην, ἡ δὲ θῆλυς.

Πλάττει δὲ οὕτως. Ἔκστασιν ἐντίθησι τῷ Ἀδάμῳ καὶ βαθὺν ὕπνον — ἴσως ἵνα μὴ περιεργάζηται τοιαύτην δημιουργίαν Θεοῦ — ἐν ᾗ ἐκστάσει, λαβὼν μίαν τῶν ἐκείνου πλευρῶν, ἵν' ἀσμένως ταύτῃ προσφέρηται, ἐκ τοῦ ἰδίου σώματος οὖσῃ, κτίζει τὴν γυναῖκα, ἐπιθεὶς αὐτῇ ὄνομα Εὖα. Καὶ τοῦτο πάνυ προγνωστικῶς. Προειδὼς γὰρ τὴν αὐτὴν ἐσομένην τῷ Ἀδάμῳ καὶ χαρᾶς καὶ λύπης αἰτίαν οὕτως ὠνόμασεν. Ἔστι γὰρ τὸ μὲν εὖ ἐπίῤῥημα ἡδονῆς, τὸ δὲ ἆ ἐπίῤῥημα σχετλιασμοῦ καὶ λύπης· Ἆ δειλὲ ξείνων, ᾗ μοι μάλα θυμὸν ὄρινας (Ὁμηρ. Ὀδυσ. ξ. 361).

Ἐγένετο δ' αὕτη τῷ Ἀδάμῳ χαρᾶς μὲν αἰτία πρώτως ταύτης ἑωρακότι καὶ λίαν ἡσθέντι, ὡς τὰ ἑξῆς ῥήματα δηλοῖ. Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνὴ (ἄλλοι δὲ ἀνδρὶς ἡρμήνευσαν), ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη· καί· Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Λύπης δέ, ἡνίκα ὄργανον καὶ ἐρεθισμὸς αὐτῷ ὑπῆρξε τοῦ παραβῆναι τὸν τοῦ Θεοῦ νόμον. Ὅπερ αὐτή τε πρότερον ἔπαθεν ὡς ἁπαλωτέρα καὶ τὸν ἄνδρα ἔπεισεν ὡς πειθανωτέρα.

Ὁ δὲ τῆς παραβάσεως τρόπος οὕτω γέγονε· Μεταξὺ τῶν ἄλλων τῶν ἐν τῷ παραδείσῳ φυτῶν ἦν καὶ τὸ φυτὸν τῆς γνώσεως τῆς τῶν γῇΐνων πραγμάτων, ὁ δὲ Θεὸς ἐφύτευσεν ἅμα τοῖς ἄλλοις φυτοῖς, καλέσας αὐτὸ φυτὸν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, ἐμφαίνων διὰ τῆς προσηγορίας ταύτης, τὰ γήϊνα πράγματα καθ' αὑτὰ μὲν ἀδιάφορα εἶναι, κατὰ τὴν προαίρεσιν δὲ τῶν τούτοις χρωμένων δύνασθαι καὶ εἰς καλὸν καὶ εἰς τοὐναντίον ἀποβαίνειν.

Πάντων οὖν τῶν ἄλλων φυτῶν τὴν ἀπόλαυσιν ὁ δημιουργὸς συγχωρήσας τοῖς πρωτοπλάστοις μόνου τούτου κελεύει τούτους ἀπέχεσθαι, ἢ θάνατον αὐτοῖς τὴν τιμωρίαν ἔσεσθαι. Πράττει δὲ τοῦτο ἀναμιμνήσκων αὐτούς, ὅτι κύριος αὐτῶν ἐστιν, ᾧ παντὶ τρόπῳ πειστέον, ἅμα δὲ καὶ τῷ αὐτεξουσίῳ ὕλην παρέχων — μὴ οὔσης γὰρ ἐντολῆς οὐκ ἂν τοῦτο γνωσθείη — τὸ δὲ μεῖζον, ὅτι οὐ πρότερον αὐτοὺς τὴν τῶν γῇΐνων γνῶσιν μαθεῖν ἠβούλετο, πρὶν ἂν ὕλην ἀγαθῶν ἑαυτοῖς ἐπισωρεύσωσιν

ἐκ τῶν ἄλλων φυτῶν, τῶν θείων καὶ πνευματικῶν, ἵν' ἡ γνῶσις τῶν γηΐνων ἐν παρέργῳ εἴη αὐτοῖς.

Ἀλλ' ὁ ἀποστάτης τοῦ Θεοῦ καὶ ἀρχηγὸς πάσης κακίας, ὁ καὶ διάβολος κληθεὶς διὰ τὸ διαβαλεῖν τὸν Θεὸν πρὸς τοὺς πρωτοπλάστους, φθονῶν αὐτοῖς τῆς εὐδαιμονίας, καὶ βουλόμενος ταύτης τούτους στερῆσαι, πρόσεισιν ἀπατηλῶς τῇ γυναικὶ ὡς ἀπαλωτέρα ἅμα καὶ πειθανωτέρα, ὀργάνῳ τῷ ὄφει χρησάμενος, καί φησιν, οὐ δι' ἄλλην τιν' αἰτίαν τὸν Θεὸν ἀπαγορεῦσαι τούτοις τὴν τοῦ γνωστικοῦ ξύλου ἐδωδήν, ἢ διότι μετὰ τὴν ἐκείνου μετάληψιν μέλλουσιν ἔσεσθαι θεοὶ ὅμοιοι αὐτῷ, γινώσκοντες καλὸν καὶ πονηρόν.

Πεισθεῖσα δὲ ἡ γυνὴ τῷ πονηρῷ συκοφαντοῦντι τὸν Θεὸν ἔφαγε τοῦ ἀπηγορευμένου καρποῦ, πείσασα καὶ τὸν ἄνδρα αὐτὸ τοῦτο ποιῆσαι. Ὁ δὲ Θεὸς δικαίως τούτοις τῷ θανάτῳ καταδικάζει. Οὐδὲ γὰρ χρήσιμον ἦν, οἶμαι, ἀθανάτους αὐτοὺς τοῦ λοιποῦ μένειν, ἀκαίρως τὴν περιέργειαν μαθόντας καὶ ἀλόγως ταύτῃ ἀρξαμένους εὐθὺς χρῆσθαι. Δῆλον δέ, τῷ μετ' ὀλίγον ἄρξασθαι σὺν οὐδενὶ λόγῳ καὶ τὰ μετὰ τὴν ὀσφὺν ἀλλήλων διερευνᾶν καὶ πολυπραγμονεῖν. Ἦσαν γάρ, φησίν, ὅ τε Ἄδαμος καὶ ἡ γυνὴ αὐτοῦ γυμνοὶ καὶ οὐκ ᾐσχύνοντο· εἶτα μετὰ τὴν βρῶσιν ἔγνωσάν φησιν, ὅτι γυμνοί εἰσι, καὶ λαβόντες φύλλα συκῆς ἔῤῥαψαν ἑαυτοῖς περιζώματα.

Ἐκβάλλει τοίνυν αὐτοὺς ὁ δικαιοκρίτης Θεὸς ἐκ τοῦ παραδείσου, ὡς παραβάτας τῆς αὐτοῦ ἐντολῆς, ὡς πιστεύσαντας μᾶλλον τῷ συκοφάντῃ διαβόλῳ ἰσοθεΐαν αὐτοῖς ἀπατηλῶς ὑπισχνουμένῳ ἢ τῷ δημιουργῷ πολλ' ἀγαθὰ τούτοις δωρησαμένῳ καὶ θάνατον ἀπειλήσαντι, εἰ μὴ τὴν ἐντολὴν φυλάξειαν.

Ἐπαρασάμενος αὐτοῖς τὰς προσηκούσας ἀράς, τῷ μὲν ὄφει — καίπερ αἱ πλείους τῶν κατὰ τοῦ ὄφεως ἀρῶν ἀναφέρονται ἐπὶ τὸν νοητὸν ὄφιν τὸν ἀποστάτην καὶ ἀρχέκακον — τό τε ἐπὶ τῆς κοιλίας ἕρπειν καὶ τὴν τῆς γῆς ἐδωδὴν καὶ τελευταῖον τὸ συντριβῆναι οἱ τὴν κεφαλὴν ὑπὸ τοῦ σπέρματος τῆς γυναικός, ἥτις κεφαλὴ τοῦ ὄφεώς ἐστιν αὐτὸς ὁ διάβολος, τὸ κεφάλαιον εἴτ' οὖν ἀρχὴ χρηματίσας τῆς τοιαύτης πανουργίας. Τῇ δὲ γυναικὶ τὸν ἐν λύπαις καὶ ὠδῖσι τοκετόν. Τῷ ἀνδρὶ δὲ τὸ ἐν ἱδρῶτι τοῦ προσώπου ἤγουν ἐν πόνῳ πολλῷ καὶ μόχθῳ πορίζεσθαι πάντα τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ἕστ' ἂν αὐτὸν ἐπιστρέψαι εἰς γῆν, ἐξ ἧς ἐλήφθη.

Πλὴν καταδικάσας αὐτοὺς θανάτῳ οὐκ ἄνευ χρηστῆς τινος ἐλπίδος τοῦτο πεποίηκεν ὁ φιλάνθρωπος δημιουργός, ἵνα μὴ εἰς παντελῆ ἀπόγνωσιν ἔλθοιεν οἱ τάλανες. Ἐν γὰρ τῷ λέγειν πρὸς τὸν ὄφιν, ἔχθραν θεῖναι ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματος τῆς γυναικὸς καὶ ὅτι τὸ τῆς γυναικὸς σπέρμα συντρίψει τὴν τοῦ ὄφεως κεφαλήν, μεγίστας ἐλπίδας ὑπέτεινε τοῖς καταδίκοις, ὅτι ἀνακληθήσονταί ποτε τῆς πικρᾶς ἐξορίας καὶ εἰς τὴν ἀρχαίαν κατάστασιν ἐπανελεύσονται. Ὃ δὴ καὶ γέγονε διὰ τοῦ εὐλογημένου σπέρματος τῆς γυναικός, τῆς ἀεὶ παρθένου καὶ θεοτόκου Μαρίας.

Κεφάλαιον 3.

Περὶ τῆς τοῦ θεοῦ πρὸς ἡμᾶς οἰκονομίας.

Παραβάντες τοίνυν οἱ πρωτόπλαστοι τὴν θείαν ἐντολὴν καὶ ὑπὸ κατάραν καὶ θάνατον γενόμενοι, ἐξωσθέντες τε τοῦ παραδείσου καὶ πάντα τὰ θεῖα καὶ πνευματικὰ δῶρα ἀπολέσαντες ἔμειναν τούτων ἔρημοι, μηδενὸς τούτοις ἐναπολειφθέντος πλὴν τοῦ φυσικοῦ φωτός, ὃ δὴ καὶ ἔμφυτον νόμον καλεῖν εἰώθαμεν. Εἶτα καὶ οἱ πλείους τῶν ἐξ ἐκείνων φύντων εἰς πολὺ χείρονα κατάστασιν ἐξώκειλαν, πᾶν εἶδος ἐργαζόμενοι, καί, τὸ δὴ χείριστον, ἀφελόντες τὴν μόνῳ θεῷ προσήκουσαν λατρείαν, ἀπένειμαν ταύτην τῇ κτίσει, λατρεύοντες ταύτῃ παρὰ τὸν κτίσαντα.

Πολλάκις δ' ἠθέλησεν ὁ πανοικτίρμων θεὸς σωφρονίσαι τὸν ταλαίπωρον ἄνθρωπον παντὶ τῷ τρόπῳ, προφήταις εἰς τοῦτο χρησάμενος, διδασκάλοις, σημείοις ἀπ' οὐρανοῦ, σημείοις ἀπὸ γῆς, σημείοις ἀπὸ θαλάσσης, κατακλυσμοῖς, ἐμπρησμοῖς, λοιμοῖς, λιμοῖς, σεισμοῖς, καταποντισμοῖς καὶ ἄλλοις παραπλησίοις· ἀλλ' ἡ ἀνθρωπίνη φύσις οὕτως ἀνιάτως καὶ ἐλεεινῶς διέκειτο, ὥστ' οὐκ ἦν αὐτῇ ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους.

Δίδωσι δὲ καὶ νόμον, τούτῳ μὲν βουλόμενος ἐκκλησίαν ἑαυτῷ συναγαγεῖν ἐπὶ τῆς γῆς, ἵνα μὴ πᾶσα αὕτη ἔρημος ᾖ τῆς τοῦ θεοῦ γνώσεως, τῶν λοιπῶν ἁπάντων ἀνθρώπων τῇ εἰδωλολατρείᾳ προσκειμένων. Ἦν ἐκκλησίαν ἔδει τοῖς τοῦ θεοῦ νόμοις, ὥσπερ βασιλικοῖς παρασήμοις, διακρίνεσθαι τῶν πολυθέων ἐθνῶν. Καὶ ὅτι, ἐπειδὴ προώρισε σαρκωθῆναι τὸν μονογενῆ αὐτοῦ υἱὸν καὶ ἐναθρωπῆσαι δι' ἡμᾶς, ἐχρῆν προπαρασκευασθῆναι γενεάν τινα θεοσεβῆ, ἐξ ἧς αὐτὸς γεννηθεὶς σώσει τοὺς ἀσεβεῖς.

Ἔτι ἐπειδὴ γεννηθεὶς ἔμελλε πολλὰ καὶ μεγάλα μυστήρια τοῖς ἀνθρώποις ἀναγγεῖλαι, ἔδει ταῦτα προκηρυχθῆναί τινι γενεᾷ καὶ προφητευθῆναι, ἵν' ἐκ τῆς προκηρύξεως τὸ εὐπαράδεκτον σχοίη παρόντα, ἄλλως δυσπαράδεκτον δοκοῦντα διά τε τὸ ὑπὲρ φύσιν εἶναι, καὶ διὰ τὸ μὴ ὑποπίπτειν ἀνθρωπίνῳ λόγῳ.

Διὰ ταύτας οὖν τὰς αἰτίας συνάγει ἑαυτῷ ἐκκλησίαν καὶ νόμον ταύτῃ δίδωσι, συνιστάμενον ἔκ τε τῆς διηγήσεως καὶ ἀγγελίας τοῦ αὐτοῦ θελήματος, ἔκ τε τοῦ νομοθετικοῦ καὶ βεβαιωτικοῦ· δι' ὧν ποῖ μὲν νομοθετεῖ προστάττων, ἀπαγορεύων, ἐπιτρέπων· ποῖ δὲ βεβαιοῖ τὰς ἐπαγγελίας καὶ ἀπειλάς· εἶθ' ὑπακοὴν ἄκραν ἐπαιτῶν, τὴν δὲ παρακοὴν καὶ ἐν μικροῖς γοῦν καταδικάζων, τελευταῖον τοὺς μὴ ἐμμένοντας πᾶσι τοῖς ἐγγεγραμμένοις τῷ βιβλίῳ ἐκείνῳ ἐπικαταράτους καθιστῶν.

Ὅθεν ὁ νόμος μόνοις τοῖς μὴ ἁμαρτάνουσι ζωὴν ἐπαγγελλόμενος βαρύς τις ἐδόκει καὶ ἥκιστα σῶσαι τὸν ἄνθρωπον δυνάμενος. Ἀλλὰ πῶς ὁ Θεὸς ἀγαθὸς καὶ δίκαιος ὢν βαρέα καὶ ὑπὲρ δύναμιν ἐπιτάττει; Οὔ φημι καθ' αὑτὰ βαρέα εἶναι τὰ ἐπιτατόμενα, ἀλλὰ κατὰ τὴν ἀνθρωπίνην ἀσθένειαν ἢ μᾶλλον εἰπεῖν ῥᾳθυμίαν καὶ κατὰ τὸ πρὸς μὲν τὰ κακὰ ἐπιῤῥεπὲς καὶ εὐόλισθον, πρὸς δὲ τἀγαθὰ δυσανάγωγον. Καὶ

ἵνα δείξῃ, οἵους εἶναι δεῖ τοὺς τοῦ θεοῦ, πρὸ δὲ καὶ ἵνα τῆς εὐαγγελικῆς παραγινομένης γνωσθήσεται τὸ διάφορον τὸ μεταξὺ νόμου καὶ χάριτος.

Οὐκ ἴσχυσε τοίνυν ὁ νόμος τὴν ἡμετέραν φύσιν τῆς κατάρας ἐλευθερῶσαι, ἐδεῖτο δὲ μείζονος φαρμάκου, οὗ δὴ καὶ τυγχάνει τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. Αὐτὸς γὰρ ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ὁ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὁμοούσιος, συνάναρχός τε τούτοις καὶ συναΐδιος, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, εὐδοκίᾳ τοῦ πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου πνεύματος — κατ' οὐδὲν γὰρ ἄλλο κεκοινώνηκε τῆς σαρκώσεως τῷ υἱῷ ὅ τε πατὴρ καὶ τὸ ἅγιον πνεῦμα, εἰ μὴ κατὰ τὸ εὐδοκεῖν καὶ συνεργεῖν ἐν ταῖς θεοσημείαις — κάτεισι βοηθήσων τῷ τρισαθλίῳ τῶν ἀνθρώπων γένει. Κατάβασιν δὲ Θεοῦ λέγοντες οὐ μετάβασιν τοπικὴν κηρύττομεν, ἀλλὰ συγκατάβασιν θεϊκὴν ὁμολογοῦμεν. Πόθεν γὰρ καὶ ποῦ μεταβαίη ὁ ἀπερίγραπτος τοῦ Θεοῦ λόγος, ὁ τὰ πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα ὤν;

Ἐπεὶ δὲ οὐχ οἷόν τε ἦν ἡμῖν γυμνὸν θεὸν θεάσασθαι, φύσιν ἀόρατον καὶ πάσης αἰσθήσεως ἀνωτέραν, ἄλλως τε καὶ τοῦ ἀνθρωπίνου φυράματος οὕτω σαθρωθέντος καὶ παλαιωθέντος, ὡς μὴ δύνασθαι ἄλλως ἀνακαινισθῆναι εἰ μὴ Θεοῦ προσπελάσει καὶ ἑνώσει — οὐκ ἠπόρει ὁ Θεὸς ἄλλων τρόπων τοῦ σῶσαι ἡμᾶς, ἀλλ' οὕτως αὐτῷ ἄριστος ἔδοξε — σαρκοῦται ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀεὶ παρθένου καὶ θεοτόκου.

Σαρκοῦται δὲ οὐκ εἰς σάρκα μεταβάλλων τὴν αὐτοῦ θεότητα — ἄπαγε τῆς βλασφημίας — ἀναλλοίωτος γὰρ αὕτη καὶ πάσης τροπῆς ἀνεπίδεκτος· ἀλλὰ σαρκὶ τῆς ἡμετέρας φύσεως τῆς σεσαθρωμένης καθ' ὑπόστασιν ἑνοῦται. Οὐκ ἀνθρώπῳ τινὶ ἁγίῳ ἑνωθεὶς κατὰ τὸν δυσσεβῆ Νεστόριον, ἀλλ' αὐτὸς ὁ λόγος τοῦ Θεοῦ ἀνυπόστατα αἵματα λαβών, τὰ τῆς Παναγίας καὶ ἀεὶ παρθένου Μαρίας ὑπέστησεν ἑαυτῷ σάρκα, αὐτὸς τῇ σαρκὶ χρηματίσας ὑπόστασιν, μηδαμῶς συγχέων τὰς δύο φύσεις, ἀλλ' ἑκατέρας τὴν ἰδιότητα σῶαν φυλάξας.

Ἡ μὲν γὰρ θεότης μετέδωκε τῇ σαρκὶ τῶν ἑαυτοῖς αὐχημάτων· ὅθεν καὶ αὕτη υἱὸς Θεοῦ ὀνομάζεται καὶ ἔστι διὰ τὴν καθ' ὑπόστασιν τοῦ υἱοῦ ἕνωσιν καὶ Θεὸς καὶ δημιουργὸς καὶ παντοδύναμος, καὶ τἄλλα, ὅσα ἡ θεότης ἔχει, ἔχει καὶ ἡ σὰρξ διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὡς εἴρηται, κατὰ τό· Πάντα, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν. Αὐτὴ δὲ ἡ θεότης τὰ ταπεινὰ τῆς σαρκὸς ἀνεδέξατο μέχρι προσηγορίας διὰ τὴν πρὸς τὴν ταπεινὴν σάρκα κοινωνίαν. Κἀντεῦθεν τὸν κύριον τῆς δόξης ἐσταυρῶσθαί φαμεν καὶ τὸν Θεὸν ὑβρισθῆναι ὑπὸ ἀσεβῶν. Καὶ πολλὰ τοιαῦτα εὕρηται ἐν ταῖς ἁγίαις γραφαῖς. Οὗτος δ' ἐστὶν ὁ παρὰ τοῖς θεολόγοις λεγόμενος τρόπος ἀντιδόσεως.

Ὥσπερ οὖν ἐκ δύο φύσεων κηρύττομεν τὸν σωτῆρα, οὕτω καὶ δύο θελήματα, δύο τε ἐνεργείας τοῦτον ἔχειν ὁμολογοῦμεν. Πλὴν τοῦτο οἴδαμεν, ὅτι τὸ θέλημα τῆς ἀνθρωπότητος ὑπετάσσετο πάντοτε τῷ θελήματι τῆς θεότητος κατὰ τό· μὴ τὸ θέλημά μου γενέσθω, ἀλλὰ τὸ σόν. Ἑνωβεὶς οὖν τῇ ἀνθρωπίνῃ φύσει ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς ἠνώθει ὅλῳ τῷ ἀνθρώπῳ, ψυχῇ τε καὶ σώματι. Οὐ γάρ τὴν ἄνουν

καὶ ἄλογον καὶ θνητὴν ψυχήν, ἣν ἔχει καὶ τἄλογα ζῶα, τὸν Κύριον ἀνειληφέναι φαμέν, καθάπερ ὁ ἀνοητότατος Ἀπολλινάριος ἐλήρει, ἀλλ' ὅλον τὸν ἄνθρωπον, τοῦτ' ἐστι σάρκα, κατὰ τό· Καὶ ὁ λόγος σὰρξ ἐγένετο ἤγουν σαρκὶ καθ' ὑπόστασιν ἡνώθη ψυχήν, κατὰ τό· Νῦν δὲ ἡ ψυχή μου τετάρακται· καί· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· καί· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. Αὕτη γὰρ ἡ ψυχὴ ἀθάνατος οὖσα μᾶλλον ἐδεῖτο τῆς ἰάσεως. Εἶτα καὶ τὸ σῶμα δι' αὐτὴν ἀπολαύει τῆς θεραπείας, ἵνα μετὰ τὴν ἀνάστασιν συνδιαιωνίζῃ τῇ ψυχῇ, σκῆνος αὐτῆς ὂν καὶ ἐνδιαίτημα.

Ἀλλ' οὐδὲ τὰ πάθη τὰ τοῦ ἀνθρώπου ἀπεσείσατο ὁ τοῦτον ἀνακαινίσαι βουλόμενος Θεός. Ἀναδέχεται δὲ κἀκεῖνα, ἰθύνων αὐτά, κατὰ τὸ αὐτῷ δοκοῦν, καὶ κυριεύων τούτων, οὐ κυριευόμενος ὑπ' αὐτῶν. Θέλων γὰρ ἐπείνησεν, ὅμοιον ἐκοπίασεν, ὕπνωσε καὶ τὰ λοιπά, ἅπερ ἠδύνατο μὴ παθεῖν, ἀλλ' ἔπαθεν ἑκών, ὑποτάσσων, ταῦθ' ἑαυτῷ, ὡς εἴρηται· καὶ τοὺς εἰς αὐτὸν πιστεύοντας, πάσχοντας δέ τι τοιοῦτον, ἔξω πάσης αἰσχύνης καὶ ψόγου ἀποφαίνων. Ἀλλὰ δὴ καὶ ἐπιθυμίᾳ εἰς δέον ἐχρήσατο. Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν. Ἔτι καὶ θυμὸν εὐπρεπῶς προσήκατο, μάστιγι τοὺς θεοκαπήλους ἐξελαύνων τοῦ ναοῦ, ὃν οἶκον προσευχῆς ὄντα οἶκον ἐμπορίου ἐποίουν οἱ ἀσεβεῖς.

Τοιοῦτος οὖν ὑπάρξας ἡμέτερος σωτὴρ καὶ δεσπότης, τοῦτ' ἔστι, τέλειος Θεός, καὶ τέλειος ἄνθρωπος, ὡμίλησε τοῖς ἀνθρώποις ἀναγγέλλων αὐτοῖς τὴν μεγάλην βουλὴν τοῦ πατρός, ὅθεν καὶ μεγάλης βουλῆς ἄγγελος προεκηρύχθη τε καὶ προσηγόρευται. Εἶτα καὶ τὸν διὰ σταυροῦ θάνατον ὑπὲρ ἡμῶν ὑφίσταται — αὐτοῦ γὰρ τῷ μώλωπι ἡμεῖς πάντες ἰάθημεν — τῆς θεότητος αὐτοῦ παντελῶς ἀπαθοῦς μενούσης.

Σταυροῦται δὲ καὶ ὑβρίζεται ὁ Σωτὴρ ὑπό τε Ἰουδαίων καὶ Ῥωμαίων εἰτοῦν Λατίνων· τῶν ἡμεδαπῶν καὶ ὁμοφύλων μοι Ἑλλήνων μηδαμῶς κοινωνησάντων ἐκείνοις τῆς κατὰ τοῦ Χριστοῦ ὕβρεως. Ἀλλὰ καὶ μετ' αἰδοῦς αὐτῷ προσέρχονται οἱ Ἕλληνες πρὸ τοῦ κοσμοσωτηρίου πάθους, οὐκ ἀμέσως, διὰ τῶν μαθητῶν δέ, ὑπ' ἄκρας εὐλαβείας, ἣν εἶχον πρὸς ἐκεῖνον· βουλόμενοι θεάσασθαι τὸ ὡς ἀληθῶς θεοείκελον ἐκείνου πρόσωπον. Ὁ δὲ ἥδεται καὶ ἀποδέχεται τὴν τῶν Ἑλλήνων πρὸς αὐτὸν ἔλευσιν, καί φησιν εἰς δόξαν αὐτοῦ ταύτην εἶναι, Νῦν, λέγων, ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, νῦν, ὅταν οἱ Ἕλληνες ζητοῦσί με, νῦν, ὅταν οἱ Ἕλληνες μέλλουσιν ἀποπτύσαι τοὺς αὐτῶν ψευδωνύμους θεοὺς καί με Θεὸν καὶ Σωτῆρά σφισιν αὐτοῖς ἐπιγράψασθαι. Τῶν Ἑλλήνων οὖν προσερχομένων μοι ἐδοξάσθην· ἐγὼ ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ Θεὸς ἀνεφάνην, δυνάμενος τοιαῦτα κατεργάσασθαι. Ταῦτα δέ φησιν οὐχ ὡς δεόμενος τῆς παρ' ἀνθρώπων δόξης· ἀνενδεὴς γὰρ ταύτης αὐτοδόξαστος ὤν· ἀλλὰ φιλάνθρωπος ὢν τὴν τῶν Ἑλλήνων ναὶ δὴ καὶ τῶν ἄλλων ἐθνῶν πρὸς αὐτὸν ἐπιστροφὴν δόξαν ἰδίαν καλεῖ. Σταυρωθεὶς τοίνυν ὑφ' ὧν εἴρηται καὶ πάντα τὰ τοῖς τέσσαρσιν εὐαγγελισταῖς ἐμπεριεχόμενα διὰ τὴν ἡμῶν σωτηρίαν ὑποστάς, θνήσκει τὸ ἀνθρώπινον, τῆς ὑπεραγίας αὐτοῦ ψυχῆς διαιρεθείσης τῆς σωτηρίου σαρκός, τῆς θεότητος δὲ ἀδιαιρέτου μεινάσης, καὶ παντελῶς ἀπαθοῦς.

Εἶτα κάτεισι καὶ εἰς τὸν ᾅδην κατὰ τό· Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Οὔτε γὰρ διαφθορὰν ὑπέστη τὸ πανάγιον ἐκεῖνο σῶμα, εἰ καὶ φθορὰν λέγεται παθεῖν μετὰ τὸ τὴν ψυχὴν ἐκεῖθεν χωρισθῆναι — ἔστι δὲ κατὰ τὴν προκειμένην ἔννοιαν φθορὰ μὲν ψυχῆς ἀπὸ σώματος χωρισμός, διαφθορὰ δὲ ἥ τε τῶν χυμῶν εἰτοῦν προσεχεστέρων στοιχοίων εἰς τὰ πρότερα, ἐξ ὧν συνεχέθη, ἀνάλυσις καὶ ἡ τῶν μελῶν ἀπ' ἀλλήλων διάῤῥευσις· ἧς διαφθορὰς ἀνώτερον ἐφάνη τὸ κυριακὸν σῶμα — οὔθ' ἡ μακαρία καὶ τρισόλβιος αὐτοῦ ψυχὴ ἐγκαταλέλειπται εἰς τὸν ᾅδην· τοῦτ' ἐστιν οὐ συνεχωρήθη παθεῖν, ὅσας ἀνίας καὶ θλίψεις ἔπασχον αἱ λοιπαὶ ψυχαὶ αἱ ἐν τῷ ᾅδῃ κατεχόμεναι· ἀλλὰ μόνος αὐτὸς ἐλεύθερος ἐν νεκροῖς ἀναδέδεικται, ἅτε ἀναμάρτητος μόνος ἁπάντων τῶν ἀνθρώπων ὢν καὶ ἁμαρτωλούς, πάσης ποινῆς καὶ ἐνοχῆς ῥυόμενος.

Πολλαὶ δὲ ῥήσεις τῆς θεοπνεύστου γραφῆς μαρτυροῦσι τὴν τοῦ κυρίου εἰς ᾅδου κατάβασιν, ἥ τε· Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου· καὶ ἡ· Τίς καταβήσεταί εἰς τὴν ἄβυσον; τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν· καὶ τὸ δὲ ἀνέβη τί ἐστιν, εἰμὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; καί· Ὅτι ἐκ λάκκου τῶν θεσμῶν ἐξελεύσεται τοῦ βασιλεῦσαι, καί· Θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ τῷ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν· ἣν δὴ φυλακὴν νοοῦμεν αὐτὸν τὸν ᾅδην· νῦν μὲν πρὸ τῆς ἐσχάτης κρίσεως οὕτω καλούμενον, μετ' ἐκείνην δὲ γέενναν καὶ κόλασιν αἰώνιον κληθησόμενον.

Ἀλλὰ καὶ τὸ φρόνημα τῆς καθολικῆς ἐκκλησίας τῆς ἀπ' ἀρχῆς καὶ μέχρι σήμερον ἀριδήλως βεβαιοῖ τὴν τοπικὴν εἰς ᾅδην τοῦ κυρίου κατάβασιν. Αἱ αἰτίαι δὲ τοῦ καὶ μέχρις ᾅδου τοῦτον καταβῆναι, τοῦτο μέν, ἵνα θριαμβεύσῃ, κατὰ τοῦ ἐχθροῦ καὶ ἀποστάτου τυράννου καὶ τὴν ὀφρὺν αὐτοῦ τὴν ἐπηρμένην ταπεινώσῃ, ἀσθενῆ καὶ ἀνίσχυρον ταύτην τοῦ λοιποῦ ἡμῶν ἀποφαίνων· τοῦτο δέ, ὃ καὶ μεῖζον καὶ ἀναγκαιότερον, ἵνα τοὺς ἐκεῖσε κατεχομένους διὰ τὴν προπατορικὴν ἁμαρτίαν τῶν δεσμῶν καὶ τῶν θλίψεων ἀπαλλάξῃ, διδάσκων αὐτοὺς τὰ περὶ αὐτοῦ, καὶ τὴν ἄνοδον τούτοις προοδοποιῶν, εἰς αὐτὸν ἤδη πιστεύσασιν· αὐτὸς πρωτότοκος τῶν νεκρῶν γενόμενος, ὡς μηκέτι ἀποθανούμενος, ἀλλὰ καὶ ζωοποιῶν οὓς βούλεται.

Τριήμερος δ' ἐκεῖθεν ἀνίσταται, εἰ καὶ ἐκ μέρους ἀλλὰ μὴ ἐξ ὁλοκλήρου τῶν ἡμερῶν ἀριθμουμένων· οὐδὲ γὰρ ἀναγκαῖον τοῦτο. Ἀνίσταται δὲ πάντα τὰ τῆς σαρκὸς πάθη ἀποσεισάμενος — οὐδὲ πρότερον μὲν κυριευθεὶς ὑπ' αὐτῶν, ἀλλ' ἐθελοντὴς ὑπὲρ ἡμῶν ταῦτα προσήκατο, ὡς εἴρηται. Νῦν δὲ παντελῶς ταῦτα ἀπεβάλετο· εἰ δὲ βεβρωκέναι καὶ πεπωκέναι μετὰ τὴν ἀνάστασιν λέγεται, ἀλλ' οἰκονομικῶς τοῦτο πέπραχε καὶ οὐχ ὡς χρείαν ἔχων.

Πρὸς δὲ καὶ τῷ κάλλει ὡραῖος ἐν δεδοξασμένῳ προσώπῳ, οἷος ὤφθη ἐπὶ τοῦ ὄρους μεταμορφούμενος· ὡς χαλεπῶς πιστεύεσθαι ὑπό τινων τῶν μαθητῶν, αὐτὸν ἐκεῖνον εἶναι τὸν χθὲς καὶ πρότριτα τεθνηκότα. Οὐ γὰρ ὁ Θωμᾶς μόνον ἐδίστασεν, ἀλλὰ καὶ ἄλλοι. Ἰδόντες

αὐτόν, φησί. προσεκύνησαν, οἱ δὲ ἐδίστασαν. Προσεκύνησαν μὲν εὐθέως οἱ θεασάμενοι τοῦτον ἐπὶ τοῦ ὄρους μεταμορφούμενον, ὥσπερ ἀναμνησθέντες τῆς δόξης τοῦ προσώπου αὐτοῦ καὶ τοῦ ἀμηχάνου ἐκείνου κάλλους, οὗ θεαταὶ ἐγένοντο καὶ διὰ τοῦτο μὴ καταπληττόμενοι ἐπὶ τοῖς παροῦσιν. Οἱ δὲ τῇ μεταμορφώσει μὴ παραγενόμενοι — οὐ γὰρ πάντες παρῆσαν ταύτῃ, ὡς ἀκούομεν παρὰ τῶν ἱερῶν λογίων ὁρῶντες τοιοῦτον κάλλος ἄφραστον καὶ ἀνεκλάλητον, εἰκότως διστάζουσιν.

Ὅμως μέντοι πολλοῖς καὶ ἀναντιῤῥήτοις τεκμηρίοις βεβαιώσας αὐτοῖς ἑαυτόν, ἐφ' ὅλαις τεσσαράκοντα ἡμέραις συναναστρεφόμενος τούτοις, τελευταῖον ἄνεισι μετὰ σαρκὸς εἰς τὸν οὐρανόν, τῶν μαθητῶν τοῦτο ὁρώντων· λαχών τὴν ἐκ δεξιῶν τοῦ πατρὸς καθέδραν, τοῦτ' ἔστι τὴν ἐπέκεινα καὶ ἀνωτάτω τιμήν. Οὐδὲ γὰρ σωματικῶς τὸ ἐκ δεξιῶν νοοῦμεν κατὰ τοῦ ἀσωμάτου καὶ ἀπεριγράπτου Θεοῦ.

Ὅθεν προσδοκῶμεν αὐτὸν ἐλευσόμενον κριτὴν παγκόσμιον ἀναστήσοντα πάντας τοὺς ἀπ' αἰῶνος ἀνθρώπους μετὰ τῶν ἰδίων σωμάτων, καὶ ἐν ἄλλῃ ποιότητι καὶ ἀποδώσοντα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Καταλλάξας οὖν τὸν πατέρα τῷ ἀνθρωπίνῳ γένει διὰ τοῦ ἰδίου αἵματος καὶ τὴν καταλλαγὴν ἐπικυρῶν πέμπει παρὰ τοῦ πατρός — ὡς αὐτὸς ἔφη — τοῖς αὐτοῦ μαθηταῖς τὸ παντοδύναμον καὶ πανάγιον αὐτοῦ πνεῦμα· καθοπλίζων αὐτοὺς διὰ τούτου καὶ πάσης σοφίας ἐμπιπλῶν, ἀποστέλλων τε τούτους ἁπανταχοῦ τῆς οἰκουμένης, κηρύξοντας μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν τοῖς εἰς αὐτὸν πιστεύσουσιν, οἵ ὡς προεγνωσμένοι αὐτῷ, οὕτω καὶ προωρισμένοι καὶ ἐκλελεγμένοι ὑπῆρχον πρὸ καταβολῆς κόσμου. Καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. Ἐπεὶ δὲ προγνώσεως καὶ τῶν λοιπῶν ἐμνήσθην, οὐκ ἄκαιρον ἂν εἴη, ὀλίγα καὶ περὶ τούτων εἰπεῖν· ἵνα κἂν τούτοις φανῇ τὸ τῆς καθολικῆς ἐκκλησίας εὐσεβὲς καὶ ὀρθόδοξον φρόνημα. Ἐρῶ δὲ λίαν συντόμως καὶ ἁπλῶς, ὡς ἔνι λίαν.

Κεφάλαιον 4.

Περὶ τῆς προγνώσεως.

Παῦλος ὁ θεσπέσιος, ὁ ἐκ κοιλίας μητρὸς ἀφωρισμένος εἰς τὴν τοῦ εὐαγγελίου διακονίαν, ὁ μέχρι τρίτου οὐρανοῦ φθάσας καὶ τὰ ἀπόῤῥητα μυηθείς, βαθμὸν καὶ τάξιν ἡμᾶς τῶν τοιούτων διδάσκων, ὧδέ πως ταῦτα τάττει· Οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν. Ἐντεῦθεν οὖν ἡμεῖς μαθόντες οὕτω περὶ τούτων φρονοῦμεν. Ἐδόξασεν ὁ Θεὸς τῇ αὐτοῦ χάριτι, οὓς ἐδικαίωσε τῷ αἵματι τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ· ἐδικαίωσε δέ, οὓς ἐκάλεσε διὰ τοῦ ἁγίου αὐτοῦ πνεύματος· ἐκάλεσε δέ, οὓς εἰς τοῦτο προώρισε τῇ ἰδίᾳ δικαιοκρισίᾳ· προώρισε δέ, οὓς προέγνω ἀξίους ἔσεσθαι τῆς αὐτοῦ χάριτος.

Ἀλλ' ἐνταῦθα περὶ τῆς ἀξίας τῶν ἐκλεκτῶν ἅπασα ἡ ζήτησις· πότερον ἐκ τοῦ προγινώσκοντος αὕτη ἢ ἐκ τῶν προγινωσκομένων. Εἰ μὲν ἐκ τοῦ προγινώσκοντος, ἀνάγκη καὶ τὴν ἀναξιότητα τῶν ἀποβλήτων ἐξ ἐκείνου. Ἀλλὰ φεῦ τῶν κακῶν. Οἴχεται γὰρ ἡ τοῦ Θεοῦ ἀγαθότης καὶ δικαιοσύνη· ἡνίκα πάντων ἐπίσης πλάστης ὢν τοῖς μὲν ἀγαθὰ προνοεῖται, τοῖς δὲ τἀναντία. Ποῦ δὲ θήσωμεν τό, Εὐλογητὸς ὁ Θεὸς ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; Εἰ δ' αὖ ἐκ τῶν προγινωσκομένων ἡ ἀξία, ποῦ θήσωμεν τό· Χάριτί ἐστε σεσωσμένοι καὶ πολλὰ τούτῳ παρόμοια ἐν τῇ θεοπνεύστῳ γραφῇ κείμενα; Δοκεῖ μὲν ὡς ἀληθῶς χαλεπὸν εἶναι τὴν περὶ τούτου ἀπόκρισιν.

Πλὴν εἴ τις ἐθελήσει ζητῆσαι πρῶτον, τί ἐστιν ἐκεῖνο, ὃ ὁ θεὸς εὑρίσκων ἐν τοῖς ἀνθρώποις, οὐχ εὑρίσκων δὲ μόνον, ἀλλὰ καὶ προγινώσκων — καὶ γὰρ προγνώσεως οἷδε τὰ πάντα — προορίζει τε καὶ καλεῖ καὶ δικαιοῖ καὶ δοξάζει, οὐκ ἂν χαλεπὸν δόξειε. Λέγει τοίνυν ἡ ἐκκλησία, οὐδὲν ἕτερον τοῦτ' εἶναι, ἢ τὴν κατὰ λόγον χρῆσιν τοῦ φυσικοῦ φωτός. Ὁ θεὸς γάρ, πλάσας τὸν ἄνθρωπον, ἔδωκεν αὐτῷ τὸ φυσικὸν φῶς, ὅπερ ἡμεῖς κοινότερον ἔμφυτον εἰτοῦν φυσικὸν νόμον καλοῦμεν καὶ ἔδωκε μέντοι ἀνεξάλειπτον καὶ ἀναπόνιπτον τῆς φύσεως. Ἔδωκε δὲ τῷ αὐτῷ ἀνθρώπῳ καὶ δύναμιν πορισικὴν καὶ καθεκτικὴν τοῦ θείου φωτός· τοῦτ' ἔστι τῆς γνώσεως τῶν θείων πραγμάτων· ἅμα δὲ καὶ θέλημα ἐλεύθερον, ὅπερ ἡμῖν ἔθος αὐτεξούσιον καλεῖν, χρῆσθαι ἀνεμποδίστως τῇ δυνάμει ἐκείνῃ τῇ πορισικῇ καὶ καθεκτικῇ τοῦ θείου καὶ πνευματικοῦ φωτός, οὐκ ἐν ῥαστώνῃ μέντοι τοῦτο πορίζεσθαι καὶ κατέχειν, ἵνα μὴ εὐκαταφρένητα δόξῃ τὰ θεῖα. Τὰ γὰρ εὐκόλως ποριζόμενα ἐν ὀλίγῳ τίθεται· ἀλλὰ μετὰ πολλῆς ἐπιμελείας κατὰ τό· Ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι καὶ φυλάττειν αὐτόν. Τί ἐστι τὸ ἐργάζεσθαι καὶ φυλάττειν τὸν παράδεισον; Μῶν σκαπάνης καὶ δικέλλης ἐδεήθη ὁ πρωτόπλαστος ἢ σφενδόνης καὶ τόξου; Οὐδαμῶς· ἀλλ' ἐπιμελῶς τοῦτον οἰκεῖν καὶ μετὰ σκέψεως καὶ σπουδῆς μεγάλης τὴν πνευματικὴν διδασκαλίαν πορίζεσθαι διὰ τῆς θέσεως καὶ θεωρίας τῶν θείων φυτῶν, καὶ ταύτην πάσει δυνάμει φυλάττειν καὶ παρακατέχειν. Ἐν παραβάσει δὲ γενόμενος οὗτος τὴν μὲν πορισικὴν καὶ καθεκτικὴν ἐκείνην δύναμιν τοῦ πνευματικοῦ φωτός, εἰτοῦν πνευματικῆς διδασκαλίας, ἀπώλεσε, τεθνηκότος ἅμα καὶ τοῦ περὶ ταύτην αὐτεξουσίου, καὶ αὐτὸς ἔρημος τούτων κατέστη. Ἐναπελείφθη δ' αὐτῷ τὸ φυσικὸν φῶς, ἦγουν ὁ φυσικὸς νόμος, ὅς ἐστι τὸ φυσικῶς διακρίνειν τὸ ἀγαθὸν τοῦ κακοῦ· ᾧ φυσικῷ νόμῳ ἐξουσίαν ἔχει εὖ καὶ κακῶς χρήσασθαι.

Θεωρεῖται δὲ ἡ κατὰ λόγον χρῆσις τοῦ φυσικοῦ φωτός, οὐχ ἁπλῶς εἰς τὸ μὴ ποιεῖν τι κακόν· τοῦτο γὰρ πνευματικὸν ἂν εἴη καὶ θεοῦ πρὸς τὰ λογικὰ μέγιστον δῶρον· ἀλλὰ ποιοῦντα τοῦτο εἰδέναι ὅτι κακὸν καὶ αἰσχύνεσθαι ἀλλὰ μὴ ἰσχυρίζεσθαι καλὸν τοῦτο παραστῆσαι, καυχᾶσθαί τε ἐπὶ τούτῳ καὶ σεμνύνεσθαι, ὥς φησιν ὁ θεῖος Δαβῖδος· Ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. Τοῦτο γάρ ἐστι τὸ καταχρῆσθαι τῷ φυσικῷ φωτί, τὸ μὴ ἐθέλειν εἰς αἴσθησιν ἐλθεῖν τοῦ κακοῦ, μηδὲ αἰσχύνεσθαι ἐπὶ

τούτῳ, εἰ καὶ μὴ διὰ τὸν Θεὸν — καὶ τοῦτο γὰρ πνευματικόν ἐστιν — ἀλλὰ γοῦν διὰ τὴν τιμὴν τοῦ λογικοῦ, συνεχῶς καθ' ἑαυτὸν λέγοντα τὴν γνώμην ἐκείνην, λίαν μὲν συνᾴδουσαν τῇ ἀληθείᾳ, ἐθνικὴν δὲ οὖσαν· οἷον· Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ. Καὶ αὐτοὶ γὰρ οἱ ἐθνικοὶ φαίνονται πολὺν λόγον ποιούμενοι περὶ τοῦ αἰσχύνεσθαι ἐπὶ τοῖς κακοῖς τῶν ἔργων· ὡς πάρεστιν ἰδεῖν παρά τε τῷ Ἰσοκράτῃ ἐν τοῖς πρὸς Δημόνικον καὶ παρὰ τῷ Πλάτωνι ἐκείνῳ, καὶ παρ' αὐτῷ τῷ δαιμονίῳ Ἀριστοτέλει πολλαχοῦ μὲν τῶν αὐτοῦ συγγραμμάτων, μάλιστα δὲ ἐν τῇ καθ' αὐτὸν ἠθικῇ φιλοσοφίᾳ· καὶ παρὰ πολλοῖς ἄλλοις τοιούτοις, οἷς ὁπωσοῦν λόγου καὶ φρονήσεως μέτεστιν.

Ὥστ' εἰ καὶ τῆς ἁγίας γραφῆς λεγούσης που, τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπιμελῶς ἐγκεῖσθαι ἐπὶ τὰ πονηρά, οὐ παρὰ τοῦτο ἔχων ἄν τις εἰπεῖν, ἀδύνατον τὸν ἄνθρωπον κατὰ λόγον χρῆσθαι τῷ φυσικῷ φωτί. Πρῶτον μέν, ὅτι ἡ ἁγία γραφὴ οὔ φησι, διὰ τοῦτο μὲν ἄλλως δύνασθαι τὸν ἄνθρωπον ἢ τοῖς πονηροῖς διαπαντὸς προσανέχοντα, καὶ τούτοις ἀεὶ συμφυρόμενον, καθάπερ ὗς τῷ βορβόρῳ, μηδὲ δυνάμενον πρὸς ἓν γέ τι τῶν πονηρῶν ἀνθίστασθαι. Εἰ γὰρ τοῦτο ἦν, πῶς ἂν ὁ δίκαιος θεὸς δίκας εἰσέπραττε τοὺς κακούς, νῦν μὲν Σοδομίτας ἐμπιπρῶν, νῦν δὲ Αἰγυπτίους καταποντίζων καὶ πάντας τοὺς κακουργοῦντας τιμωρῶν; Οὐδὲν ἄρα τοιοῦτον. Ἀλλὰ τὸ ἐπιμελῶς τοῖς πονηροῖς ἐγκεῖσθαι τὴν διάνοιαν τοῦ ἀνθρώπου σημαίνει μὲν τὸ ἐπιθυμητικῶς πρὸς τὴν ἁμαρτίαν ἔχειν, κλίνειν τε καὶ ὁρμᾷν ἐπὶ ταύτην, οὐ μὴν δέ το πᾶσαν κακίαν οὕτω βιαίως καὶ τυραννικῶς ποιεῖν, ὡς μὴ δύνασθαι ὅλως πρὸς ταύτην ἀνθίστασθαι. Οὐδὲ γὰρ δίκας εἰσεπράττοντο οἱ κακουργοῦντες, ὡς εἴρηται, εἴγε τοῦτο ἦν.

Δεύτερον δὲ τὴν μετὰ λόγου χρῆσιν τοῦ φυσικοῦ φωτὸς οὐχ ὅλως τὸ μὴ ἁμαρτάνειν λέγομεν, ὡς καὶ ἄνω προείρηται, ἀλλὰ τὸ μὴ ταῖς τῆς διανοίας ὀρέξεσιν πάντοτε ἕπεσθαι, καθάπερ τὰ ἄλογα ζῶα· περιπεσόντα δέ τινι τούτων εἰς αἴσθησιν τοῦ κακοῦ εὐθέως ἔρχεσθαι, ἀνιᾶσθαί τε καὶ αἰσχύνεσθαι ἐπὶ τούτῳ, ἅτε λογικὸν ὄντα τὰ τῶν ἀλόγων πεποιηκότα. Ἄλογον γὰρ ἡ ἁμαρτία καὶ ἀλόγοις προσήκουσα.

Πᾶσιν οὖν τοῖς τῷ φυσικῷ φωτὶ εὖ κατὰ λόγον χρωμένοις, τούτοις ὁ πανάγαθος Θεὸς ἐπιλάμπει καὶ τὸ πνευματικὸν φῶς· τοῦτ' ἔστιν, ἐπανάγει αὐτοῖς τὴν τούτου πριστικὴν καὶ καθεκτικὴν δύναμιν, ἣν ἀπώλεσαν, καὶ τὸ περὶ ταύτην αὐτεξούσιον ἤδη νεκρωθὲν τῇ παραβάσει ἀνίστησι τῇ αὐτοῦ χάριτι.

Οὓς καὶ πρὶν τοῦτο ποιῆσαι, προγινώσκει τοῦτο ποιήσοντας καὶ εἰς ἀγαθὸν τέλος τούτους προορίζει καὶ πρὸς ἑαυτὸν καλεῖ διὰ τοῦ ἁγίου πνεύματος καὶ δικαιοῖ τῷ τοῦ μονογενοῦς αἵματι καὶ δοξάζει τῇ αὐτοῦ χάριτι. Οὐ δυνάμεθα δὲ εἰπεῖν τούτων τῶν ἀγαθῶν αἴτιον τὴν μετὰ λόγον χρῆσιν τοῦ φυσικοῦ φωτός· οὐ γὰρ παρὰ τοῦτο τοῖς σὺν λόγῳ τῷ ἐμφύτῳ νόμῳ χρωμένοις ὀφείλει ὁ Θεὸς τὰ προειρημένα ἀγαθὰ δοῦναι, ἀλλὰ φρόνιμος ὢν οὐ βούλεται τοῖς ἑκουσίως καταχρωμένοις τῷ φυσικῷ φωτὶ τὸ πνευματικὸν φῶς ἐμπιστεῦσαι· κατὰ τό· Εἰ ἐν τῷ ἰδίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀλλότριον τίς ὑμῖν πιστεύσει; ὥστε

εἰ ἐν τῷ ἰδίῳ πιστοὶ ἐγένεσθε, καὶ τὸ ἀλλότριον πιστεύσει τις ὑμῖν πάντως.

Ἵνα δὲ σαφέστερον ᾖ ὃ λέγω, χρήσομαι καὶ παραδείγματι ἑνὶ καὶ δευτέρῳ. Δοκεῖ γὰρ τὰ παραδείγματα μέγα δύνασθαι πρὸς σαφήνειαν τῶν ἀσαφῶν δοκούντων.

Ἔστω τοίνυν ἀνήρ τις καλὸς καὶ ἀγαθὸς καὶ φιλόπτωχος μάλιστα· ὃς ὑπὸ τῆς ἰδίας ἀγαθότητος κινούμενος αὐτὸς ἑαυτῷ νόμον τιθέσθω καθ' ἑκάστην ἡμέραν δραχμὴν διδόναι τινὶ τῶν πενήτων. Ἐξελθὼν οὖν τῆς οἰκίας ζητησάτω τὸν ἐλεημοσύνης δεόμενον· συναντησάτω δὲ δυσὶ προσαίταις, ὧν ὁ μὲν ἔστω μέθυσος, λῆρος, ἀπονενοημένος, πάνθ' ὅσα συλλέγει πόρναις καὶ καπηλείοις καταναλίσκων. Ἕτερος δὲ τῶν προσαιτῶν ἔστω πρᾶος, ταπεινός, ἐλεεινὸς ἰδεῖν, οἰκτρὸς λαλῆσαι. Τίνι τούτων ὁ τὴν δραχμὴν ἐξ ἰδίας ἀγαθότητος κινηθεὶς δοῦναι ἔδωκεν ἄν; Τῷ δευτέρῳ πάντως, ἕκαστος νοῦν ἔχων φήσειεν. Τίς δ' ἡ αἰτία; Τοῦ μὲν ἁπλῶς κινηθῆναι τὸν ἀγαθὸν ἐκεῖνον ἄνθρωπον δραχμὴν διδόναι τινὶ τῶν πενήτων ἐστὶ μόνη ἡ τοῦ διδόντος ἀγαθότης· τοῦ δὲ τούτῳ διδόναι καὶ μὴ ἐκείνῳ πρώτη μὲν καὶ μείζων αἰτία ἐστὶν ἡ τοῦ διδόντος φρόνησις, δευτέρα δὲ καὶ ἐλαχίστη ἡ τοῦ λαμβάνοντος ἐλεεινότης, ἣν κατῴκτειρεν ὁ ἀγαθὸς ἐκεῖνος καὶ φρόνιμος.

Δεύτερον δὲ παράδειγμα. Ἔστω βασιλεὺς νεοστεφής, ἄρτι τὰ τῆς βασιλείας σκῆπτρα διαδεξάμενος, ὃς μέλλων ὑπουργοὺς ἐν τῇ αὐλῇ εἰτοῦν παλατίῳ ἐκλέξαι, οἷον οἰκονόμον, θησαυροφύλακα, λογιστήν, ἀρχιμάγειρον, ἀρχιτρίκλινον, καὶ ἄλλους, οἷς οἱ βασιλεῖς εἰώθασι χρῆσθαι. Ὁποτέρους ἂν ἐξελέξατο; Πότερον τοὺς τὴν πατρικὴν οὐσίαν πόρναις καὶ κύβοις καταναλώσαντας καὶ εἰς ἐσχάτην πενίαν καταντήσαντας καὶ παρὰ πάντων μισουμένους, ἢ τοὺς τὸν πατρῷον κλῆρον αὐξήσαντας, βίον τε χρηστὸν ἐπιδεικνυμένους καὶ παρὰ πάντων ἀγαπωμένους; Πάντως τοὺς δευτέρους φήσομεν, εἰ μὴ μέλλοιμεν ἀφροσύνης καὶ μωρίας διώκεσθαι. Τί δὲ τὸ τούτων αἴτιον; Τοῦ μὲν ἁπλῶς ἐθέλειν τὸν βασιλέα μεταδιδόναι καὶ ἄλλοις τῆς βασιλικῆς τιμῆς καὶ μεγαλοπρεπείας, ἔστι μόνη ἡ τοῦ βασιλέως ἀγαθότης. Τοῦ δὲ τούτους ἐκλέξαι καὶ ἐκείνους, ἔστι μὲν τὸ πρῶτον καὶ μέγιστον ἡ τοῦ βασιλέως φρόνησις, δεύτερον δὲ καὶ οὐ πάνυ ἰσχυρὸν ἡ τῶν ἐκλεχθέντων ἐπιείκεια.

Οὕτω δὲ κἀπὶ Θεοῦ νοητέον. Τοῦ μὲν γὰρ ἁπλῶς ἐθέλειν αὐτὸν μεταδιδόναι τισὶν τῆς ἑαυτοῦ χάριτος, αἰτίαν μόνην λέγομεν τὴν αὐτοῦ ἀγαθότητα. Τοῦ δὲ μὴ τούτοις, ἀλλὰ τούτοις, πρώτη μὲν καὶ μεγίστη ἐστὶν ἡ τοῦ Θεοῦ φρόνησις καὶ σοφία, ἡ πάντα σαφῶς οἰκονομοῦσα. Δευτέρα δὲ τὸν τῶν λαμβανόντων δεκτικόν, καίπερ οὐκ οἰκοθεν τοῦτο ἔχει τὸ ἰσχύον τοσοῦτον, ὥστε καὶ ἐπισπάσασθαι πρὸς ἑαυτὸ τὰ τηλικαῦτα μεγάλα καὶ αἰώνια τοῦ Θεοῦ δῶρα· ἀλλὰ τῇ ἐκείνου σοφίᾳ καὶ ἀγαθότητι ἔδοξεν εἶναί τι.

Καὶ αὕτη ἐστὶν ἡ γνώμη, ἣν ἔχομεν περὶ τῶν τοιούτων, παριστάνοντες ταύτην σαφέστατα ἐκ τῆς θεοπνεύστου γραφῆς. Διὰ μὲν γὰρ τοῦ τὸν ἀπόστολον προτάξαι τὴν πρόγνωσιν τοῦ προορισμοῦ καὶ τῶν ἄλλων, ἔδειξεν εἶναί τι ἐν τοῖς προοριζομένοις. Διὰ δὲ τοῦ τὸν Κύριον εἰπεῖν.

Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ μου ἑλκύσῃ αὐτόν, ἐνέφηνε σαφῶς τό τι ἐκεῖνο, ὅπερ ἐν τοῖς ἐκλεγομένοις εὑρίσκεται, ἀνίσχυρον καὶ ἄχρηστον εἶναι καθ' ἑαυτό, καὶ οὐδενὸς ἄξιον ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς τε καὶ χάριτος.

Κεφάλαιον 5.

Περὶ μυστηρίων.

Τούτους τοίνυν τοὺς κατὰ πρόγνωσιν προωρισμένους καὶ ἐκλελεγμένους συνάγων ὁ Θεὸς διὰ τοῦ κηρύγματος καὶ οἰκειοποιῶν αὑτῷ μεταδόσει τῆς ἑαυτοῦ χάριτος ἠθέλησε τὴν χάριν ἐκείνην μὴ μόνον νοητῶς αὐτοῖς μεταδίδοσθαι — καίτοιγε οὐκ ἦν αὐτῷ ἀδύνατον τοῦτο· πάντα γάρ, ὅσα ἠθέλησε, ἐποίησε καὶ ποιεῖ — ἀλλὰ διά τινων σημείων αἰσθητῶν, οἷον ἐνεχύρων ἀσφαλεστάτων τῆς ἐκείνου πρὸς τοὺς ἐκλεκτοὺς ἐπαγγελίας.

Τοῦτο μέν, ὅτι διπλῶν ἐκείνων ὄντων διπλοῦν ἐχρῆν καὶ τὸν τῆς μεταδόσεως τρόπον εἶναι ἔκ τε ὕλης αἰσθητῆς καὶ ἐκ πνεύματος ἁγίου· ὥστερ οἱ ταῦτα δεχόμενοι ἔκ τε σώματος αἰσθητοῦ καὶ ψυχῆς νοερᾶς σύγκεινται. Τοῦτο δέ, ἵν' ἔχωσι μᾶλλον πληροφορεῖσθαι διὰ τῶν τῇ αἰσθήσει ὑποπιπτόντων ἐνεχύρων τοῦ Θεοῦ, ὅτι προεγνώσθησάν τε καὶ προωρίσθησαν εἰς ζωὴν αἰώνιον τῇ τοῦ προγινώσκοντος καὶ προορίζοντος χάριτι. Ἄλλως γὰρ τάχ' ἂν ἀμφιβάλλοντες ἦσαν οἱ τοιοῦτοι, πότερον ἤδη ἐξελέχθησαν ἢ οὔπω· καὶ εἰ ἐκλεχθήσονταί ποτε ἢ οὐδαμῶς. Νῦν δὲ πᾶσ' ἀμφιβολία οἴχεται παρὰ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ ἀποβλεπόντων εἰς τὰ ἐκείνου ἐνέχυρα, καθάπερ εἰς χειρόγραφα βασιλικὰ καὶ ἀμετάθετα. Ἔστι δὲ ταῦτα τὰ λεγόμενα μυστήρια, τό τε ἅγιον βάπτισμα καὶ ἡ ἁγία κοινωνία, ἐξ ὕλης ὁρατῆς καὶ πνεύματος ἁγίου συγκείμενα.

Ἐπεὶ δὲ τὸ αὐτεξούσιον θέλημα τῶν ἐκλεκτῶν πρὸς τὸ ὄντως ὂν ἀγαθόν, ὃ ἐν Ἀδάμῳ τέθνηκε, τοῦτο ὁ Θεὸς ἐν τοῖς ἐκλεκτοῖς ἀνέστησε μὲν καὶ ἀνεκαίνισεν, οὐ μὴν δὲ ἐχαρίσατό πω τούτοις τὴν τελείαν ἐπαγγελίαν, ἣν ἐπηγγείλατο — ἔστι δὲ αὕτη ἡ παντελὴς ἐλευθερία τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν· τοῦτ' ἔστι, τὸ παντελὲς ἀναμάρτητον καὶ ἡ μετὰ Θεοῦ αἰώνιος διαγωγὴ — ἀλλ' εἴασεν αὐτοὺς ἀντιμάχεσθαι τῇ ἁμαρτίᾳ καὶ τῷ ταύτης ἀρχιτέκτονι διαβόλῳ, ἅτε δὴ τοῦ παρόντος χρόνου ἀγῶνος χρόνου ὄντος, ἀλλ' οὐχὶ θριάμβου, ἵνα διὰ τῆς πάλης τῶν ἐκλεκτῶν τοῦ Θεοῦ ταπεινοῦται ἡ ὑπέροφρυς ἀλαζονία τοῦ τυράννου. Εἰδὼς ὁ τὰ πάντα σοφῶς οἰκονομῶν τὸ τῆς ἀνθρωπίνης φύσεως εὐόλισθον καὶ πρὸς τὴν ἁμαρτίαν εὔτρεπτον ἐπενόησεν αὐτοῖς ἡ ἄπειρος ἐκείνου σοφία ἕτερον φάρμακον ἀλεξητήριον τοῦ τοιούτου ὀλίσθου. Λέγω δὴ τὴν μετάνοιαν· ὡς εἶναι τὰ πρὸς σωτηρίαν ἀναγκαῖα μυστήρια τρία· βάπτισμα, κοινωνία, μετάνοια· ἀναγκαῖα μέν, ὅτι ἂς ἀπειλάς, καὶ ἐπαγγελίαν ἔφη περὶ ἑνὸς τούτων, τὰς αὐτὰς καὶ περὶ τῶν λοιπῶν. Εἴ τις οὐκ ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται. Ἐὰν

μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. Ἐὰν μὴ μετανοῆτε, πάντες ἀπολεῖσθε. Μετανοήσατε, ἵνα σωθῆτε.

Τρία δὲ ταῦτα εἰς τύπον τῆς ὑπεραγίας καὶ ὁμοουσίου Τριάδος. Τὸ μὲν ἅγιον βάπτισμα σημεῖον τῆς τοῦ πατρὸς πρὸς ἀνθρώπους καταλλαγῆς, ἐν τῷ αἵματι τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, δι' οὗ καὶ υἱοθεσίας ἡμᾶς ἀξιοῖ διὰ τοῦ βαπτίσματος· δι' ἧς καταλλαγῆς καὶ υἱοθεσίας λυτρούμεθα τῆς ἀρχεγόνου ἀρᾶς καὶ τέκνα Θεοῦ κατὰ χάριν γινόμεθα.

Ἡ ἁγία κοινωνία σύμβολον τῆς συσσωματώσεως καὶ ἐγκεντρίσεως ἡμῶν πρὸς τὸν ἐνανθρωπήσαντα υἱὸν καὶ λόγον τοῦ Θεοῦ· δι' ἧς ἐγκεντρίσεως δὲ λυτρούμεθα τοῦ αἰωνίου θανάτου. Τῆς ῥίζης γὰρ ὑγιαινούσης καὶ ἀεὶ θαλλούσης, οὐκ ἔσθ' ὅπως μὴ καὶ τοὺς κλάδους συνυγιαίνειν ταύτῃ καὶ συνθάλλειν διαπαντός.

Ἡ μετάνοια τεκμήριον τῆς ἐν ἐμοὶ διαμονῆς τοῦ ἁγίου πνεύματος, νύττοντός μου τὴν καρδίαν, ὁσάκις ἁμαρτάνω τοῦ πρέποντος· μεταμέλεσθαί τε ἐρεθίζοντός με καὶ χρηστὰς ἐλπίδας μοι ὑποτείνοντος. Δι' ἧς μετανοίας, ὅσην ζημίαν τῆς θείας χάριτος ὑπέστην, ἁμαρτήσας μετὰ τὴν ἐκλογήν, ἀνακτῶμαι ταύτην αὖθις καὶ πλείονος τυγχάνω, ὅτι τραυματίας γενόμενος ἐν τῇ μάχῃ νενίκηκα σὺν Θεῷ. Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις.

Παρὰ ταῦτα δὲ τὰ τρία ἀναγκαῖα μυστήρια εἰσὶ καί τινες τελεταὶ μυστικαὶ μυστήρια κἀκεῖναι ὁμωνύμως καλούμεναι παρὰ τῇ ἐκκλησίᾳ διὰ τὸ μυστικόν τε καὶ πνευματικὸν ταύταις ἐμπεριέχεσθαι· οἷον τὸ μετὰ τὸ ἅγιον βάπτισμα εὐθὺς παραλαμβανόμενον ἅγιον χρίσμα, ἡ τάξις τῶν ἱερέων, ὁ πρῶτος γάμος καὶ τὸ εὐχέλαιον. Περὶ ὧν ὕστερον ἐρῶ· λεκτέον δὲ πρότερον περὶ ἐντολῶν Θεοῦ.

Κεφάλαιον 6.

Περὶ ἐντολῶν.

Τούτοις τοῖς ἐκλεκτοῖς ὁ ἐκλεξάμενος αὐτοὺς Θεὸς ἐντολὰς ἔδωκεν εἴς τε τὴν δόξαν αὐτοῦ καὶ εἰς τὸ ἐκείνοις συμφέρον ἀφορώσας, ἅμα δὲ καὶ τεκμήριον ὥσπερ ἀπαιτῶν τῆς ἐκείνων πρὸς τὸν δεσπότην εὐνοίας τε καὶ εὐπαθείας.

Αἱ δὲ ἔχουσιν οὕτως· α'. Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι· β'. Οὐ λήψῃ τὸ ὄνομα τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· γ'. Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν· δ'. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς· ε'. Οὐ φονεύσεις· ς'. Οὐ μοιχεύσεις· ζ'. Οὐ κλέψεις· η'. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ· θ'. Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου· ι'. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν παῖδα, οὐδὲ τὴν παιδίσκην, οὐδὲ τὸ κτῆνος αὐτοῦ κ. ἔτ.

Ταύτας τὰς ἐντολὰς ἔδωκεν ὁ Θεὸς οἷς ἐξελέξατο, κελεύων αὐτοὺς φυλάττειν πάσῃ δυνάμει. Καὶ φυλάττουσι μὲν ἐπαγγέλλεται ἔλεος αὐτοῦ παρεκτείνειν αὐτοῖς τε καὶ τοῖς ἐξ αὐτῶν εἰς χιλίας γενεάς. Παραβαίνουσι δὲ τὰ χείριστα ἀπειλεῖ, ὥστ᾽ οὐ μόνον αὐτοὺς κολάσαι φησίν, ἀλλὰ καὶ τοὺς ἐξ αὐτῶν μέχρι τρίτης καὶ τετάρτης γενεᾶς.

Ὅθεν τοῖς ἐκλεκτοῖς τοῦ Θεοῦ ἀνάγκη ἐπίκειται τοῦ ταύτας φυλάττειν πάσῃ δυνάμει. Πλὴν παραβαίνοντες ἐνίοτε ταύτας, ἄνθρωποί γε ὄντες καὶ ἀσθενείᾳ ὑποκείμενοι, οὐκ ἀποβάλλονται μὲν παρὰ τοῦ ἐκλέξαντος Θεοῦ, ὅτι τε ἀμεταμέλητα τὰ τούτου χαρίσματα καὶ ὅτι οὓς ἀγαπᾷ ὁ Θεός, εἰς τέλος ἀγαπᾷ — ἀγαπήσας τοὺς ἰδίους εἰς τέλος ἠγάπησεν αὐτούς, ὑπόκεινται δὲ τῇ προσκαίρῳ τοῦ Θεοῦ ῥάβδῳ καὶ μάλα εἰκότως. Μανθάνομεν δὲ τοῦτο πολλῶν μὲν καὶ ἄλλων παραδείγματι, ἐκλεκτῶν μὲν ὄντων, προσκεκρουκότων δὲ τῷ Θεῷ, καὶ διὰ τοῦτο τῆς ἐκείνου δικαίας καὶ πατρικῆς ῥάβδου ἐνδίκως πειραθέντων, μάλιστα δὲ τῷ τοῦ θείου Δαβίδου· ὅς γε καὶ ἐκλεκτὸς ὢν καὶ προφήτης καὶ τῷ Θεῷ εἰς τὰ μάλιστα φίλος, παραβὰς δὲ τὸν τοῦ Θεοῦ νόμον οὐκ ἠδυνήθη διαδρᾶναι τὴν ἐκείνου ῥάβδον.

Πλὴν τοὺς αὐτοῦ ἐκλεκτοὺς ὁ Θεὸς παιδεύων ἢ πειρασμοῖς τούτους συγχωρῶν περιπεσεῖν, οὗθ᾽ ὑπὲρ τὴν ἐκείνων δύναμιν τοῦτο ποιεῖ. Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι παρ᾽ ὃ δύνασθαι, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν. Οὔτε μὴν ἄνευ χρηστῆς ἐλπίδος· ἀλλ᾽ ἅμα τῇ παιδείᾳ καὶ ἀγαθὰς ἐλπίδας τούτοις ὑποτείνει. Καὶ τοῦτο βούλεται τό· Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡ γὰρ τοῦ Θεοῦ ἐπὶ τοὺς ἐκλεκτοὺς ποινή, καθ᾽ ὃ μὲν ἀλγεινὴ καὶ ὀδυνηρά, εἰκότως ῥάβδος ἂν λέγοιτο, παίουσα τούτους ἁμαρτάνοντας καὶ εἰς σωφρονισμὸν ἐκκαλοῦσα. Καθ᾽ ὃ δὲ βρόχῳ ἀπογνώσεως οὐκ ἐᾷ τοὺς παιδευομένους ἀποπνιγῆναι, ἀλλὰ παρακαλεῖ τούτους καὶ τὴν ἐκείνων διάνοιαν ὑποστηρίζει, δεόντως ἂν βακτηρία καλοῖτο· ᾗ ἐπιβακτηρευόμενοι οὐ καταπίπτουσιν οἱ τοῦ Θεοῦ ἐκλεκτοί.

Ἀναγκαίως οὖν παρὰ τῶν ἐκλεκτῶν, τῆς εὐθείας ἐνίοθ᾽ ἁμαρτανόντων, πρὸς τῇ συντριβῇ τῆς καρδίας καὶ τῇ ἀληθεῖ μετανοίᾳ καὶ ἀποχῇ τοῦ κακοῦ ἀπαιτεῖται καὶ ἀγαθοεργία, οἷον νηστεῖαι, προσευχαί, ἀγρυπνίαι, χαμευνίαι, χαμοκοιτίαι καὶ πρὸς τούτοις ἔλεος καὶ οἶκτος πρὸς τοὺς τούτων δεομένους μετὰ ταπεινοφροσύνης· ἵνα διὰ τούτων δυνήσονται φυγεῖν τὴν πρόσκαιρον τοῦ Θεοῦ ῥάβδον ἢ ἀλλὰ γοῦν μετριωτέρας καὶ ἠπιωτέρας ταύτης πειραθῆναι. Καὶ τοῦτό ἐστι τό· Ἐκ τῶν ἔργων σου δικαιωθήσῃ καὶ ἐκ τῶν ἔργων σου κατακριθήσῃ.

Διττὴν γὰρ τὴν δικαίωσιν οἶδεν ὁ λόγος· τὴν μὲν ἐκ τῆς προπατορικῆς καὶ ἀρχεγόνου ἁμαρτίας, δι᾽ ἣν ἐπίσης πάντες ἐχθροὶ γεγενήμεθα τῷ Θεῷ· ἣν δὴ δικαίωσιν ἔχομεν ἐκ μόνης τῆς εὐδοκίας τοῦ πατρός, ἐν τῷ αἵματι τοῦ μονογενοῦς καὶ ἀγαπητοῦ αὐτοῦ υἱοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χάριτι τοῦ παναγίου αὐτοῦ πνεύματος, ἡμῶν μηδὲν συμπραξάντων ἢ συνεισενεγκόντων εἰς τοῦτο. Ὅπερ δηλοῦται διὰ τοῦ· Χάριτί ἐστε σεσωσμένοι. Τὴν δὲ ἐκ τῶν ἰδίων ἡμῶν ἁμαρτιῶν,

ἥτις προημένως μὲν χρήζει τῆς τοῦ Θεοῦ εὐδοκίας, ἧς ἄνευ πάντα τὰ ἡμέτερα νεκρὰ καὶ ἀνενέργητα· ἑπομένως δὲ καὶ τῆς ἡμῶν σπουδῆς καὶ ἐπιμελείας· καθ' ὃ εἴρηται τό· Ἐκ τῶν ἔργων σου δικαιωθήσῃ καὶ ἐκ τῶν ἔργων σου κατακριθήσῃ.

Δοκοῦσι δὲ αἱ ἀγαθοεργίαι κἂν τῇ στάσει τῇ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ συμβάλλειν ὁπωσοῦν. Τὸ μὲν γὰρ ἁπλῶς ἔνδον τοῦ νυμφῶνος γενέσθαι, δωρεὰν ἐλάβομεν ἐκ μόνης τῆς χάριτος τοῦ καλέσαντος Θεοῦ. Ἐπεὶ δ' ἀκούομεν, ἐν τῇ οἰκίᾳ τοῦ Θεοῦ πολλὰς καὶ διαφόρους μονὰς εἶναι, καὶ ὅτι ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, συνίεμεν ἐκ τούτων εἶναί τινα διαφορὰν ἐν τῇ στάσει τῶν ἐκλεκτῶν.

Τὸ γοῦν τοιᾶσδε ἢ τοιᾶσδε στάσεως ἐκεῖσε τυχεῖν, ἐκ τῶν ἑκάστου ἔργων προσγίγνεσθαι πιστεύομεν· καθ' ὃ γάρ τις ἔσπειρεν, οὕτω καὶ θερίσει. Διὸ ἀναγκαῖα τοῖς ἐκλεκτοῖς τὰ καλὰ ἔργα. Πρῶτον ἵνα φαίνηται ἡ ἐν αὐτοῖς πίστις μὴ νεκρὰ οὖσα, ἀλλὰ ζῶσα καὶ καρποφόρος· δι' ἧς καρποφορίας αὐτοί τε καλὸν παράδειγμα εἶεν ἀλλήλοις, καὶ ὁ Θεὸς δοξάζοιτο δι' αὐτῶν. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ἔπειτα καὶ ἵνα δι' αὐτῶν φύγωσι τὴν πρόσκαιρον ποινήν, ᾗ ὑπόκεινται, ἐπὰν τοῦ δέοντος ἁμάρτωσι. Πρὸς δὲ καί, ἵνα μείζονος ἀπολαύσωσι καὶ κρείττονος στάσεως τύχωσιν ἐν τῇ τῶν πρωτοτόκων ἐκκλησίᾳ, ἥτις ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενοι, ἑπόμενον ἂν εἴη καὶ περὶ τῆς ἐπὶ γῆς ἔτι στρατευομένης ἐκκλησίας τινὰ εἰπεῖν.

Κεφάλαιον 7.

Περὶ ἐκκλησίας.

Ἐκκλησία ἐστίν, ὡς μέν τινες βούλονται, σύστημα πάντων τῶν τῷ εὐαγγελικῷ κηρύγματι ὁπωσοῦν πεισθέντων, ὀρθοδόξων φημὶ καὶ αἱρετικῶν. Ἄλλοι δὲ θέλουσιν εἶναι ταύτην σύστημα μόνων τῶν ὀρθοδόξων καὶ περὶ τὸν χριστιανισμὸν κατὰ πάντα ὑγιαινόντων· ὅθεν καὶ ἁγία προσηγόρευται.

Φησὶ τὸ σύμβολον τῶν ἁγίων καὶ οἰκουμενικῶν ἀρχαίων συνόδων. Πιστεύω εἰς μίαν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. Μίαν μὲν ταύτην ἐκάλεσαν οἱ πατέρες διὰ τὸ μονοειδὲς καὶ ἁπλοῦν τῆς πίστεως. Μία πίστις, φησὶν ὁ ἀπόστολος, ἓν βάπτισμα. Ἁγίαν δέ, διὰ τὸ ἁγίους εἶναι, ἐξ ὧν συνίσταται, ἁγιασθέντας τῷ παναγίῳ τοῦ Θεοῦ πνεύματι. Καθολικήν, διὰ τὴν ἕνωσιν τῶν ἁπανταχοῦ διεσπαρμένων μερικῶν καὶ κατὰ χώραν ἐκκλησιῶν, αἳ πᾶσαι τῷ συνδέσμῳ τοῦ παναγίου πνεύματος μίαν καθολικὴν ἀποτελοῦσιν. Ἀποστολικήν, ὅτι τῶν ἀποστόλων διδασκαλίαν κατέχει καὶ οὐκ ἄλλην τινὰ νόθον καὶ ἔκφυλον. Ἐκκλησίαν δέ, ὅτι οὐκ ἀφ' ἑαυτῆς αὕτη συνήχθη, ἀλλ' ἄλλος ταύτην εἰς τοῦτο ἐκάλεσεν, ὅς ἐστιν ὁ εἷς ἐν Τριάδι Θεός.

Μᾶλλον οὖν τοῦ σκοποῦ στοχάζονται οἱ ἐξ ἁγίων ταύτην συγκεῖσθαι λέγοντες. Οὐ γὰρ πᾶσιν ἔπεσθαι χρὴ ἢ πάντας μιμεῖσθαι, ἀλλὰ μόνους τοὺς ἁγίους καὶ μιμητὰς τοῦ Χριστοῦ· ὥς φησιν ὁ Μακάριος Παῦλος· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Τοιγαροῦν εἰς ἁγίαν ἐκκλησίαν πιστεύομεν καὶ ταύτην κατὰ πάντα μιμούμεθα.

Καλεῖται δὲ αὕτη παρὰ τῇ θεοπνεύστῳ γραφῇ πῇ μὲν νύμφη Χριστοῦ· Ἐμνηστευσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· πῇ δὲ οἶκος Θεοῦ καὶ ἐκκλησία Θεοῦ ζῶντος, στύλος τε καὶ ἑδραίωμα τῆς ἀληθείας, ἄλλοτε σῶμα Χριστοῦ· Ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους.

Πιστεύοντες οὖν εἰς τὸ ἅγιον πνεῦμα τὸ τοιαύτας προσηγορίας ἐπιθὲν τῇ ἐκκλησίᾳ, ἀναγκαίως πιστεύομεν καὶ εἰς τὴν ἁγίαν ἐκκλησίαν τὴν τοιαύτας προσηγορίας δεξαμένην παρὰ τοῦ παναγίου πνεύματος.

Οὐ κατὰ τὸν αὐτὸν μέντοι λόγον πιστεύομεν εἴς τε τὸ ἅγιον πνεῦμα ἤγουν εἰς αὐτὸν τὸν Θεὸν καὶ εἰς τὴν ἁγίαν ἐκκλησίαν, ἀλλὰ κατὰ ἄλλον καὶ ἄλλον. Εἰς μὲν γὰρ τὸν Θεὸν πιστεύοντες, πιστεύομεν ὡς εἰς Θεὸν δημιουργὸν καὶ κυβερνήτην πάσης ἀοράτου καὶ ὁρωμένης κτίσεως, ὡς εἰς δυνάμενον πάντα, ὡς εἰς πάντα ἀληθεύοντα. Εἰς δὲ τὴν ἁγίαν ἐκκλησίαν πιστεύοντες οὔτε ὡς εἰς Θεὸν πιστεύομεν οὔτε ὡς εἰς δυναμένην πάντα, ἀλλὰ μόνον ὡς εἰς ἀληθεύουσαν κατὰ πάντα, ἅτε ὑπὸ τοῦ Θεοῦ ἀγομένην καὶ φερομένην καὶ τῆς εὐθείας παρατραπῆναι μὴ δυναμένην.

Ἀπορία δὲ μεγάλη δοκεῖ κατὰ τὸν νῦν χρόνον, ποῦ τὴν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν ζητητέον. Τῶν ἀνθρώπων γὰρ ὑπὸ ἔριδος καὶ φιλονεικίας εἰς πολλὰ τμήματα διαιρεθέντων καὶ ἐκκλησίας ἑαυτοῖς συγκροτησάντων, ἑκάστη τούτων φιλοτιμεῖται ἑαυτῇ τὸ ὀρθόδοξον καὶ ἀποστολικὸν περιάψαι. Καὶ εἴγε ἦν ἔθνος τι τῶν μήπω τῷ εὐαγγελικῷ ζυγῷ ὑποταγέντων, ἐθέλον δὲ νῦν τῷ χριστιανισμῷ προσελθεῖν, ἠπόρησεν ἄν, τίνι τῶν ἐκκλησιῶν προσδραμητέον. Οὕτω τὸ πρᾶγμ' ἀσαφὲς καὶ ἀμφίβολον δοκεῖ, ἑκάστων ἑαυτοὺς μόνον εὐσεβεῖν οἰομένων, τοὺς δὲ λοιποὺς ἐν οὐδενὶ λόγῳ τιθεμένων.

Καὶ μὴν οὐκ ἀτέκμαρτον ὁ θεὸς εἴασε τὴν αὑτοῦ ἐκκλησίαν· ἀλλ' ἔθετο λαμπρὰ ταύτῃ τὰ γνωρίσματα τοῖς γε σωφρόνως ζητεῖν ἐθέλουσιν. Ἔστι δὲ τὰ κυριώτερα τῆς ἀρχαίας καθολικῆς καὶ ἀποστολικῆς γνωρίσματα ταῦτα.

Πρῶτον τὸ συνᾴδειν πάντας τοὺς ταύτης διδασκάλους καὶ ποιμένας καὶ ἐν πᾶσιν ἀλλήλοις ὁμοφωνεῖν, ὅπερ ἐν ταῖς ἄλλαις οὐχ εὑρίσκεται. Ἐκείνων γὰρ οἱ προστατοῦντες φαίνονται καὶ γράφοντες καὶ λέγοντες κατ' ἀλλήλων οὐκ ὀλίγα.

Δεύτερον τὸ πάντα τὰ ὑπὸ πολλῶν καὶ ἀξιοπίστων ἀνδρῶν παραδιδόμενα καὶ μαρτυρούμενα προθύμως ἀποδέχεσθαι, ἄνευ τῆς οἱασοῦν προσθαφαιρέσεως· ἕκαστον μέντοι μετὰ τοῦ προσήκοντος λόγου ἀλλὰ μὴ καταχρηστικῶς· τοῦ κινδύνου ἐν ἀμφοτέροις ὁμοίου ὄντος, ἔν τε τῇ τούτων ὀλιγωρίᾳ καὶ ἐξουθενώσει, ἔν τε τῇ καταχρήσει.

Τρίτον τὸ μηδένας μὲν ταύτην διώκειν, διώκεσθαι δὲ ὑπὸ πάντων καὶ μηδέποτε τοῖς διωγμοῖς ἐνδιδόναι, ἀλλ' ἀνενδότως τούτοις ἀεὶ ἀνθίστασθαι καὶ θείᾳ δυνάμει τῶν διωκόντων περιγίγνεσθαι.

Τέταρτον καὶ σαφέστατον ταύτης γνώρισμα τὸ πιστῶς καὶ ἀδόλως παρακατέχειν τὸ θεῖον ῥῆμα, ὅ θεὸς ἐξέθετο διὰ Προφητῶν καὶ Ἀποστόλων καὶ τοῦτο τῇ ἐκκλησίᾳ ὥσπερ φύλακι παρακατέθετο, καθάπερ θησαυρόν τινα μέγαν καὶ οὐράνιον.

Διαιρεῖται δὲ τὸ θεῖον ῥῆμα εἴς τε τὸ γραπτὸν καὶ ἄγραφον. Καὶ ἄγραφον μὲν εἶεν ἂν αἱ ἐκκλησιαστικαὶ παραδόσεις, περὶ ὧν ὕστερον ἐρῶ. Γραπτὸν δὲ ἡ ἁγία καὶ θεόπνευστος γραφή, τοῦτ' ἔστι τὰ κανονικὰ καὶ αὐθεντικὰ τριάκοντα τρία βιβλία. Τῆς μὲν παλαιᾶς Διαθήκης εἴκοσι δύο, ταῦτα· Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον — αὕτη πεντάτευχος τοῦ θεόπτου Μωϋσέως. Εἶτα Ἰησοῦς τοῦ Ναυῆ, Κριταὶ μετὰ τῆς Ῥούθ, Βασιλειῶν πρώτη καὶ δευτέρα, Βασιλειῶν τρίτη καὶ τετάρτη, Παραλειπομένων πρώτη καὶ δευτέρα, Ἔσδρας καὶ Νεεμίας, Ἐσθήρ, Ἰώβ, Ψαλτήριον, Παροιμίαι Σολομῶντος, Ἐκκλησιαστὴς τοῦ αὐτοῦ, Ἆσμα ᾀσμάτων τοῦ αὐτοῦ, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιήλ, Δανιήλ, οἱ λοιποὶ δώδεκα Προφῆται ὁμοῦ.

Τῆς νέας δὲ ἕνδεκα, ταῦτα· Εὐαγγέλιον κατὰ Ματθαῖον, κατὰ Μάρνον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην, Πράξεις τῶν Ἀποστόλων, τοῦ ἁγίου Παύλου αἱ δεκατέσσαρες ἐπιστολαὶ ἅμα, τοῦ ἁγίου Πέτρου αἱ δύο ἅμα, τοῦ ἁγίου Ἰωάννου αἱ τρεῖς ἅμα, ἡ τοῦ ἁγίου Ἰακώβου, ἡ τοῦ ἁγίου Ἰούδα, ἡ τοῦ ἁγίου Ἰωάννου Ἀποκάλυψις.

Τριάκοντα δὲ τρία εὑρίσκεται πάντα τὰ αὐθεντικὰ καὶ κανονικὰ βιβλία, ὅτι καὶ τὸν Σωτῆρα ἡμῶν φασι τριάκοντα καὶ τρεῖς ἐνιαυτοὺς διατρίψαι σωματικῶς ἐπὶ τῆς γῆς, ἵνα μηδὲ ὁ ἀριθμὸς τῶν ἱερῶν βιβλίων ἄμοιρος ᾖ μυστηρίου τινὸς θείου.

Τὰ λοιπὰ δὲ βιβλία, ἅπερ τινὲς βούλονται συγκαταλέγειν τῇ ἁγίᾳ γραφῇ, οἷον τὸ τοῦ Τωβὶτ, τὸ τῆς Ἰουδείθ, Σοφίαν τοῦ Σολομῶντος, Σοφίαν Ἰησοῦ υἱοῦ Σιράχ, Βαροὺχ καὶ τὰς τῶν Μακκαβαίων ἀποβλήτους μὲν οὐχ ἡγούμεθα· πολλὰ γὰρ ἠθικά, πλείστου ἐπαίνου ἄξια, ἐμπεριέχεται ταύταις. Ὡς κανονικὰς δὲ καὶ αὐθεντικὰς οὐδέποτ' ἀνεδέξατο ἡ τοῦ Χριστοῦ ἐκκλησία, ὡς μαρτυροῦσι πολλοὶ μὲν καὶ ἄλλοι, μάλιστα δὲ ὅ τε ἅγιος Γρηγόριος ὁ θεολόγος καὶ ὁ ἅγιος Ἀμφιλόχιος καὶ τελευταῖος πάντων ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός. Διὸ οὐδὲ τὰ δόγματα ἡμῶν πειρώμεθα ἐκ τούτων παραστῆσαι, ἀλλ' ἐκ τῶν τριάκοντα τριῶν κανονικῶν καὶ αὐθεντικῶν βιβλίων· ἃ δὴ καὶ θεόπνευστον καὶ ἁγίαν γραφὴν καλοῦμεν.

Ἥτις ἁγία γραφὴ ἐνεπιστεύθη τῇ ἐκκλησίᾳ ὑπὸ θεοῦ, καθάπερ μεγάλου θησαυροῦ παρακαταθήκη, ὡς εἴρηται· ὡς δοκεῖν τὴν ἐκκλησίαν φύλακα καὶ ὁδηγὸν εἶναι τῆς θεοπνεύστου γραφῆς. Φύλακα μέν, ὅτι πιστῶς καὶ ἀδόλως ταύτην φυλάττει, οὐχ ὅπως αὕτη μηδὲν προστιθεῖσα ἢ ἀφαιροῦσα ἐκεῖθεν — τοῦτο γὰρ ἄντικρυς ἱεροσυλία — ἀλλὰ καὶ τοὺς τοιοῦτόν τι τολμῶντας ἐλέγχει καὶ καταφωρᾷ. Ὁδηγὸν δέ, ὅτι πρὸς

ταύτην ἡμᾶς ὁδηγεῖ, τὰ ἀσαφῆ δοκοῦντα σαφηνίζουσα καὶ ἀνακαλύπτουσα τὰ κεκαλυμμένα πάνυ ὀρθοδόξως καὶ θεαρέστως.

Καὶ τοῦτό ἐστιν, οἶμαι, τὸ στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας τὴν ἐκκλησίαν καλεῖσθαι. Ἀλήθεια μὲν ἡ ἁγία γραφή, ὡς ἐκ τοῦ θεοῦ τῆς αὐτοαληθείας προαχθεῖσα. Στύλος δὲ καὶ ἑδραίωμα ταύτης ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, ὡς ὑποστηρίζουσα καὶ διατηροῦσα καὶ ὀρθοδόξως ταύτην ἑρμηνεύουσα καὶ ταύτης μέχρι θανάτου ὑπερασπίζουσα.

Ἄγραφον δὲ ῥῆμα θεοῦ λέγεται αἱ τῆς ἐκκλησίας παραδόσεις, ἃς τὸ πνεῦμα τὸ ἅγιον ἀγράφως καὶ μυστικῶς ταύτῃ παρέδωκε. Θεωροῦνται δὲ αἱ παραδόσεις περί τε τὰς τελετὰς τῶν ἁγίων μυστηρίων καὶ περὶ ἄλλα τινὰ χρήσιμα καὶ τὴν ἐκκλησίαν κοσμοῦντα.

Ἡ μὲν γὰρ ἁγία γραφὴ προστακτικῶς ἡμῖν ἐπιτάττει τὰ μυστήρια· πῶς δὲ καὶ τίνι τρόπῳ ταῦτα ἱερουργητέον, οὐ λέγει. Ἡ ἐκκλησία δὲ ἐξ ἁγίου πνεύματος κινουμένη τὸν τρόπον διατάττει, τὰ πολλὰ μέντοι ἐκ τῆς ἁγίας γραφῆς συλλέγουσα.

Οἷον ἡ ἁγία γραφὴ κελεύει ἡμᾶς βαπτίζεσθαι ὕδατι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· τὸν δὲ τρόπον οὐ σαφηνίζει. Ἡ δὲ ἐκκλησία τοῦτον δηλοῖ, ὅτι ἐν τῷ ναῷ τοῦ θεοῦ, ὅτι ἐν μιᾷ κολυμβήθρᾳ πάντας τοὺς τῆς ἐνορίας ἐκείνης, ὅτι μετὰ εὐχῶν καὶ ἐξορκισμῶν — ἔχομεν δὲ ἐξορκισμοὺς παρὰ τῶν ἀρχαίων πατέρων θαυμασίως συντεθειμένους, ὧν καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος μέμνηται ἐν τῷ εἰς τὸ ἅγιον βάπτισμα λόγῳ — εἶτα, ὅτι πρὸς τῷ ὕδατι παραληπτέον καὶ ἔλαιον κατὰ τό· Καὶ ἔλαιον ὑπὲρ κεφαλῆς σου ἐκχύσθω, καί· Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. Ὅτι δὲ περὶ τοῦ ἐν τῷ βαπτίσματι ἐλαίου, δῆλον τῷ εὐθὺς ἐπιφέρειν τὸν ψαλμῳδόν· Καὶ τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον. Εὐθὺς γὰρ μετὰ τὸ δι' ὕδατος καὶ ἐλαίου βάπτισμα μετέχομεν τοῦ κυριακοῦ δείπνου, ὅπου τὸ καὶ κράτιστον ποτήριον. Ἄλλη δέ τις ὕλη ἐν τούτῳ τῷ μυστηρίῳ οὐ παραλαμβάνεται, ὅτι οὐδὲ φαίνεται παρὰ τοῖς ἀρχαίοις. Εἶτα ὅτι τοὺς βαπτιζομένους καταδύεσθαι χρὴ τρὶς ἐν τῷ ὕδατι· ἐπεὶ καὶ ὁ σωτὴρ κατέδυ εἰς τὸ ὕδωρ ὑπὲρ ἡμῶν. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδε σχιζομένους τοὺς οὐρανούς. Ἀνέβη δέ, ὅτι καὶ κατέβη πρότερον. Ἀλλὰ καὶ οἱ Ἀπόστολοι οὕτως ἐποίουν. Κατέβησαν εἰς τὸ ὕδωρ ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος καὶ ὅτε ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπασε τὸν Φίλιππον. Ἔτι τὸ βάπτισμά ἐστιν εἰκὼν καὶ ὁμοίωμα τοῦ τοῦ σωτῆρος θανάτου· Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ κ. τ. ἑ. Ὁμοιωθησόμεθα δὲ τῷ θανάτῳ ἐκείνου πῶς ἄλλως, εἰ μὴ κρυβῶμεν τρὶς ἐν τῷ ὕδατι, ὥσπερ ἐκεῖνος τριήμερος ἐν τῇ γῇ; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος· τοῦτ' ἔστι, κρυβέντες ἐν τῷ ὕδατι συνετάφημεν τῷ κυρίῳ. Τρὶς οὖν οἱ βαπτίζοντες τοὺς βαπτιζομένους ἐν τῷ ὕδατι καταδύοντες ἐν ἑκάστῃ καταδύσει ἐπιφωνοῦσι μίαν τῶν θεαρχικῶν ὑποστάσεων τῆς ὁμοουσίου τριάδος, ὧδε λέγοντες· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ πατρὸς (ἰδοὺ μία κατάδυσις), καὶ τοῦ υἱοῦ (ἰδοὺ δευτέρα κατάδυσις) καὶ τοῦ ἁγίου πνεύματος, ἀμὴν (ἰδοὺ τρίτη

κατάδυσις). Εἶτ' εὐθὺς μετὰ τρίτην κατάδυσιν ἀνατίθησιν ὁ πρεσβύτερος τὸν βαπτισθέντα ταῖς χερσὶ τοῦ ἀναδόχου, χρώμεθα δ' ἑνὶ ἀναδόχῳ. Διωρισμένην ἡμέραν, πότε βαπτιστέον τὰ βρέφη, οὐκ ἔχομεν. Οἱ μὲν γὰρ ὀκταήμερα ταῦτα βαπτίζουσιν, οἱ δὲ δεκαήμερα, οἱ δὲ πλέον, οἱ δὲ ἔλαττον. Ἀνάγκης δὲ κατεπειγούσης εὐθὺς μετὰ τὴν γέννησιν βαπτίζεται τὸ γεννηθέν. Κἂν πρεσβύτερος μὴ πάρεστιν, ἢ μαῖα τοῦτο ποιεῖ, λέγουσα τὸ ἄνωθεν θεῖα ῥήματα. Εἰ δὲ τὸ βρέφος ἀναῤῥωθῇ, ἀρκεσθήσεται τούτῳ τῷ βαπτίσματι.

Κεφάλαιον 8.

Περὶ τοῦ ἁγίου μύρου.

Τοὺς οὖν ἀξιωθέντας τοῦ ἁγίου βαπτίσματος κελεύει ἡ ἐκκλησία εὐθέως χρίειν τῷ ἁγίῳ μύρῳ, προκατασκευασθέντι πρότερον ὑπὸ ἀρχιερέων, ὑφ' ὧν διανέμεται πάσαις ταῖς ἐκκλησίαις ταῖς ὑπὸ τὴν ἐκείνων διοίκησιν τελούσαις· ὅτι καὶ τῷ σωτῆρι εὐθέως ἀναβαίνοντι ἀπὸ τοῦ ὕδατος ἐπιφοιτᾷ τὸ πανάγιον πνεῦμα, οὗ εἰς τύπον παραλαμβάνεται τὸ ἅγιον μύρον.

Ἔτι ὥσπερ τοὺς βασιλικοὺς θησαυροὺς εἰσαχθέντας εἰς μαρσύπια εἰώθασιν εὐθέως ἐπισφραγίζειν· οὕτω καὶ ἡ ἐκκλησία τὸ ἅγιον βάπτισμα, ὅπερ ἐστὶ μέγιστος καὶ βασιλικώτατος θησαυρὸς μετὰ τὸ ἐπενεχθῆναι τοῖς βαπτισθεῖσιν ὥσπερ μαρσυπίοις εὐθὺς ἐπιτίθησι τὸ ἅγιον μύρον ὥσπερ τινὰ βασιλικὴν σφραγίδα, φόβον ἅμα καὶ ἀπειλὴν ἐπάγουσαν τοῖς κοινοῖς ἐχθροῖς, τοῖς τὸν βασιλικὸν θησαυρὸν λυμάναι πειρωμένοις. Ὁ δὲ χρίων ἐν τῷ χρίειν ἐπιφέρει ταῦτα καὶ μόνα τὰ ῥήματα· Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου ἀμήν.

Τὴν μὲν οὖν δύναμιν τοῦ ἁγίου μύρου τοιαύτην εἶναί φησιν ἡ ἐκκλησία· τοῦτ' ἐστι σφραγίδα βασιλικὴν ἐπικυροῦσαν ὥσπερ καὶ βεβαιοῦσαν τὸ ἅγιον βάπτισμα, καθάπερ ἡ λέξις ἀμὴν ἐπικυροῖ καὶ βεβαιοῖ τὸ ἅγιον σύμβολον. Τὴν δὲ τοῦ ἁγίου βαπτίσματος δύναμιν τηλικαύτην, ὅτι τοὺς τελουμένους ἀποπλύνει καὶ ἀποκαθαίρει τῆς προγονικῆς ἁμαρτίας, ἥτις ἐστὶν ἡ πρὸς πᾶσαν κακίαν ῥοπὴ καὶ ἄλογος ἐπιθυμία, ὅτι καταλλάττει αὐτοὺς τῷ Θεῷ καὶ πατρὶ διὰ τοῦ ὁμοιώματος τοῦ θανάτου τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ ἐν τῇ χάριτι τοῦ παναγίου πνεύματος καὶ υἱοθετεῖ τούτους αὐτῷ, δι' οὗ καὶ ἐν ᾗ εἴρηται· δύναμίν τε καὶ παῤῥησίαν τούτοις ἐντίθησι τοῦ ἀφόβως καὶ θαῤῥαλέως τὸν χριστιανισμὸν ὁμολογεῖν ἔμπροσθεν τυράννων καὶ διωκτῶν, ὀλιγωροῦντας ποινῶν καὶ μαστίγων καὶ δὴ καὶ αὐτοῦ τοῦ θανάτου ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ.

Ἔτι τὴν ποριστικὴν καὶ καθεκτικὴν ἐκείνην δύναμιν τοῦ θείου καὶ πνευματικοῦ φωτός, ἣν οἱ πρωτόπλαστοι διὰ τῆς παρακοῆς ἀπώλεσαν, ἐπανάγει αὖθις.

Ὁμοίως καὶ τὸ αὐτεξούσιον τοῦ τῇ δυνάμει ἐκείνῃ ἐλευθέρως χρῆσθαι, ἤδη νεκρωθὲν ἐν τοῖς πρωτοπλάστοις, ἀναζωπυρεῖ καὶ ἀνίστησι τὸ ἅγιον βάπτισμα, ἢ μᾶλλον εἰπεῖν, ὁ Θεὸς διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ πρὸς πᾶν ἔργον θεάρεστον προθύμους τοὺς βαπτισθέντας ἀπερ-

γάζεται. Οὐ μέντοι μετὰ χλιδῆς καὶ ῥᾳστώνης τοῦτο τελεῖν, ἀλλὰ σὺν πόνῳ καὶ μόχθῳ· καὶ τοῦτο πολλῶν ἕνεκα, τοῦ τε ζητεῖν ἀεὶ κἀπὶ πᾶσι τὴν τοῦ Θεοῦ βοήθειαν καὶ προσφεύγοιεν ἐκείνῳ θλιβόμενοι, ὅτι ψυχὴ κάμνουσα ἐγγύς ἐστι Θεοῦ κατὰ τὸν μακάριον Πέτρον καὶ τοῦ ταπεινότερον ὑπὲρ ἑαυτῶν φρονεῖν, ἐπάν τι τῶν ἀγαθῶν κατορθώσειαν, ὡς οὐκ ἐξ ἑαυτῶν ἀλλὰ Θεοῦ τὸ δῶρον· καὶ ἵνα διὰ τοῦ ἐπιπόνως ἐνθάδε κατορθοῦν τἀγαθόν, ὡς καὶ διὰ τῶν ἄλλων θλίψεων ἐπάχθωνται μὲν τῷ βίῳ τούτῳ, ἐπιθυμῶσι δὲ τῆς μελλούσης ζωῆς, ἥτις ἐστὶν ἡ παντελὴς καὶ ἄπονος τρυφὴ καὶ ἡ ἐν Χριστῷ ἀπέραντος εἰρήνη καὶ γαλήνη ἄληκτος. Ὅμως καὶ σὺν πόνῳ οἱ ἐκλεκτοὶ φαίνονται κατορθοῦντες ἐνίοτε τἀγαθόν, ἀλλὰ καὶ οὕτω πλεῖστον διαφέρουσιν οὗτοι τῶν ἀποβλήτων, τάγε ἐν τῇ ἀσκήσει τἀγαθοῦ φημί. Ἐκεῖνοι γὰρ κακῶς χρησάμενοι τῷ φυσικῶς αὐτοῖς ἐμπιστευθέντι φωτί, εἰτοῦν ἐμφύτῳ νόμῳ, οὐκ ἠξιώθησαν τῆς πνευματικῆς ἐπιλάμψεως. Διὸ καὶ πρὸς πᾶν ἀγαθὸν οὐ μόνον ῥᾳθύμως διάκεινται, ἀλλὰ καὶ στυγερῶς, ἀποτρεπόμενοι τοῦτο καθάπερ οἱ λυσσόδηκτοι τὸ ὕδωρ. Οἱ ἐκλεκτοὶ δέ, ὧν τό τε αὐτεξούσιον ἀνέστη, καὶ ἡ τοῦ θείου φωτὸς πριστικὴ καὶ καθεκτικὴ δύναμις ἤδη ἐπανῆλθεν αὐτοῖς διὰ τῆς θείας χάριτος καὶ ῥοπὴν ἔχουσι πρὸς τἀγαθὸν καὶ κλίνουσιν ἐπ' αὐτὸ καὶ ἐγχειροῦσι τούτῳ καὶ κατορθοῦσιν αὐτὸ Θεοῦ χειραγωγίᾳ. Αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν αὐτοῖς καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν.

Τοιαύτην μὲν δόξαν ἡ καθολικὴ ἐκκλησία ἔχει περὶ τὸ ἅγιον βάπτισμα. Ἴδωμεν δέ, τί καὶ περὶ τοῦ κυριακοῦ δείπνου φρονεῖ.

Κεφάλαιον 9.

Περὶ τοῦ κυριακοῦ δείπνου.

Ἐν τῷ κυριακῷ δείπνῳ ἀπαιτεῖται πρῶτον ἡ ὕλη ἡ ὑπὸ τοῦ κυρίου παραδοθεῖσα. Ἔστι δὲ αὕτη ἄρτος, ἔνζυμος εἷς, καὶ κρᾶμα· τοῦτ' ἔστιν, οἶνος ὕδατι κεκραμένος κατὰ τό· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλοις ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον κ. τ. ἑ. Κιρνᾷν δὲ οὐδὲν ἕτερον σημαίνει ἢ δύο ὑγρὰ συμμιγνύναι ἀλλήλοις. Πρὸς ταῦτα εἴ τις ἀντιλέγει ἑτοίμως ἔχομεν ἀποκριθῆναι.

Πρὸς μὲν τὸν ἔνζυμον ἄρτον, ὅτι καὶ ὁ κύριος τοιούτῳ φαίνεται χρησάμενος. Ὅ δῆλον ἀπό τε τοῦ ὀνόματος καὶ ἀπὸ τοῦ χρόνου. Οὔτε γὰρ τὰ ἄζυμα ἄρτον ἁπλῶς εὕροι ἄν τις καλούμενα παρὰ τῇ θείᾳ γραφῇ, ἀλλ' ἢ ἄζυμα ἢ ἄρτον ἄζυμον· ἀλλ' οἱ Εὐαγγελισταὶ πάντες φασὶ περὶ τοῦ κυρίου· Λαβὼν τὸν ἄρτον οὐ τὰ ἄζυμα, οὐδὲ τὸν ἄζυμον ἄρτον, ἀλλ' ἁπλῶς τὸν ἄρτον, ὃ δηλοῖ τὸν ἔνζυμον.

Ἀλλά, φασίν, εἰς Ἐμμαοὺς λέγεται τὸν Κύριον ἄρτον λαβεῖν, οὗ ἐν τῇ κλάσει γνωσθεὶς ἅφαντος ἐγένετο. Τοῦτο δ' ἐπράχθη ἔνδον τῆς ἑορτῆς τοῦ πάσχα, ἡνίκα πᾶσαν ἀπείργηται ἡ τοῦ ἐνζύμου ἐδωδή. Ἀνάγκη οὖν, ἄζυμον ὑπάρξαι τὸ κλώμενον, καὶ πῶς οὐχ ἁπλῶς ἄρτος κέκληται;

Ἡμεῖς πρὸς ταῦτα, ὅτι ἡ Ἐμμαοὺ ἦν πόλις ἐθνῶν καὶ οὐκ Ἰουδαίων, ἐν ᾗ οὐκ ἐγινώσκετο ἡ τῶν ἀζύμων χρῆσις. Ἀλλὰ τί τοῖς μαθηταῖς τοῦ κυρίου καὶ τοῖς ἐθνικοῖς; Καὶ πῶς ἠδύναντο οὗτοι ἐνζύμῳ ἄρτῳ χρήσασθαι ἔνδον τῆς ἑορτῆς τοῦ πάσχα;

Πρῶτον ἴσως ἦσαν προσήλυτοι, ἄρτοι τῷ κυρίῳ προσελθόντες, καὶ διὰ τοῦτο οὔπω ἦσαν μεμυημένοι, πάντα τὰ Ἑβραϊκὰ τοσοῦτον ἀκριβῶς παρατηρεῖν, ὥστε καὶ τὰ ἄζυμα διόλου ἀποστρέφεσθαι.

Δεύτερον ἔμαθον παρὰ τοῦ κυρίου ὀλιγωρεῖν τῶν τοιούτων ἀνωφελῶν παρατηρήσεων, ὥσπερ καὶ τὴν τοῦ σαββάτου ἀκριβῆ φυλακήν· ἀκούσαντες παρ᾽ ἐκείνου· τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον. Δῆλον δὲ τῷ τοσαῦτα στάδια ἀνύσαι τούτους κατὰ τὸν χρόνον τῆς ἑορτῆς, καθ᾽ ὃν οὐκ ἐξῆν πλέον ἢ σαββάτου ὁδὸν ἀνύειν, ἥτις ἐστὶ δισχίλια καὶ τεσσαράκοντα βήματα ποδῶν. Αὐτοὶ δὲ ἑξήκοντα στάδια φαίνονται ἀνύσαντες κατὰ τὴν ἡμέραν ἐκείνην, οὖσαν δευτέραν τοῦ Ἰουδαϊκοῦ πάσχα, ὧν ἕκαστόν ἐστι ποδῶν ἑξακοσίων εἴκοσι πέντε τὸ μῆκος. Ὥσπερ δὲ ἐν τῇ βαδίσει φαίνονται παραβαίνοντες τὴν Ἑβραϊκὴν παρατήρησιν· οὕτω κἂν τῇ χρήσει τοῦ ἀζύμου.

Τὸ δὲ μεῖζον, ἀνάγκῃ δουλεύοντες τοῦτο πεπράχασιν. Ἐπειδὴ γὰρ εἰς ἐθνῶν πόλιν ἐγένοντο, οὗ ἀμήχανον εὑρεῖν ἄζυμα· τί ἔδει αὐτοὺς φαγεῖν, εἰ μὴ ἔνζυμον ἄρτον, μιμησάμενοι ἐν τούτῳ τὸν θεῖον Δαβίδον, ὃς ἐν καιρῷ ἀνάγκης ἔφαγε τοὺς ἄρτους τῆς προθέσεως καὶ τοῖς μετ᾽ αὐτοῦ διένειμεν, οὓς οὐκ ἐξῆν ἄλλοις, εἰ μὴ τοῖς ἱερεῦσι καὶ μόνοις φαγεῖν;

Ὅτι δὲ ἄρτος ἦγουν ἔνζυμος ἦν, ὃν ἐν τῇ Ἐμμαοῖ ὁ κύριος ἔκλασε, δῆλον τῷ τε τὴν πόλιν ἐθνικὴν εἶναι, οὗ ἀμήχανον ἄζυμον εὑρεθῆναι καὶ τῷ μηδαμοῦ τῆς ἁγίας γραφῆς τὰ ἄζυμα καλεῖσθαι ἄρτον, ἀλλ᾽ ἢ ἄρτον· ἄζυμον, ἢ ἄζυμα μόνον. Ἐκεῖνο δὲ τὸ κλασθὲν ἄρτον ἁπλῶς ἐκάλεσεν ὁ Εὐαγγελιστής, ὃς δηλοῖ πάντως τὸν ἔνζυμον.

Οὔτε καθ᾽ ὃν χρόνον ὁ κύριος τὸ πάσχα ἐτέλεσεν ἤδη ἦν ἐκλελοιπὼς ὁ ἔνζυμος ἄρτος κατὰ τὸν Ἰουδαϊκὸν νόμον. Ἐκλείπει γὰρ ἀφανιζόμενος οὗτος μετὰ τὸ ἄριστον τῆς ἡμέρας ἐκείνης, ἧς τῇ ἑσπέρᾳ μέλλει βρωθῆναι τὸ πάσχα. Ἀλλ᾽ οἱ Ἰουδαῖοι οὐ τῇ ἑσπέρᾳ ἐκείνῃ, καθ᾽ ἣν καὶ ὁ σωτήρ, ἐτέλεσαν τὸ πάσχα, ὥστε οὐδ᾽ ὁ ἔνζυμος ἄρτος ἦν τότε ἐκλελοιπώς, ἵν᾽ ὁ κύριος ὡς ἀπορῶν τούτῳ ἀναγκαίως χρήσηται τοῖς ἀζύμοις. Δυοῖν δὲ θατέρου ἕνεκα οὐχ ἅμα συνεόρτασαν οἱ Ἰουδαῖοι τῷ σωτῆρι, νομίμως καὶ ταῦτα ἑορτάσαντι. Ἡ γὰρ ἂν πολλὰς κατηγορίας κατ᾽ ἐκείνου πλάσσαντες οἱ συκοφάνται, ταύτην ἂν ἰσχυροτέραν ἐποιήσαντο, εἰ παράνομος ἐκεῖνος τοῦτ᾽ ἐτέλεσεν, καὶ οὐκ ἂν ἄλλης ἐδεήθησαν. Ἀλλὰ νῦν μηδεμίαν μνήμην ἐν ταῖς κατηγορίαις περὶ τούτου ποιούμενοι δῆλοί εἰσιν αἰσχύνεσθαι καὶ δεδιέναι, μή ποτε ἐλεγχθῶσιν ὑπ᾽ ἐκείνου αὐτοὶ μᾶλλον παρανομήσαντες. Καὶ γὰρ τῇ ἑσπέρᾳ ἐκείνῃ, καθ᾽ ἣν καὶ ὁ Σωτήρ, ἐχρῆν αὐτοὺς φαγεῖν τὸ πάσχα κατὰ τὴν Μωσαϊκὴν νομοθεσίαν, τῆς σελήνης τηνικαῦτα τεσσαρεσκαιδεκαταίας οὔσης. Αὐτοὶ δὲ ὑπερέθεντο τοῦτο δυοῖν θατέρου ἕνεκα, ὡς εἴρηται. Ἡ γάρ, ἵνα τὴν κατὰ τοῦ σωτῆρος μανίαν πληρώσωσιν, ἐπειδὴ ἐν αὐτῇ τῇ

ἑορτῇ τοῦ πάσχα οὐκ ἐξῆν αὐτοῖς τοῖς κριτηρίοις φοιτᾷν καὶ ἐγκαλεῖν καὶ διαδικάζεσθαι· ἢ κατά τινα παράδοσιν τῶν γερόντων τοῦτο πεποιήκασιν. Ἔχει δὲ ἡ παράδοσις οὕτως, ὡς φασιν οἱ ταῖς Ἑβραϊκαῖς βίβλοις προσανέχοντες. Μετὰ τὸ τοὺς Ἰσραηλίτας ἐπιβῆναι τῆς γῆς τῆς ἐπαγγελίας, ἐπειδὴ τὸ κλίμα τῆς Παλαιστίνης θερμότερον ἐδόκει, ἢ ὥστε εἰς δύο ἡμέρας ἀφθόρως διατηρεῖσθαι βρώματα καὶ νεκρούς — ἀπείργεται γὰρ αὐτοῖς οἷον δή ποτε ἔργον ἐν τῇ πρώτῃ ἡμέρᾳ τοῦ πάσχα, καθάπερ καὶ ἐν τῇ τοῦ σαββάτου — συνέθεντο, ἐπὰν τὸ πάσχα συμβῇ κατὰ τὴν ἕκτην τῆς ἑβδομάδος, ὑπερτιθέναι αὐτὸ εἰς τὴν ἐπ᾽ αὔριον, ἥτις ἐστὶν σάββατον· εἰ δὲ τῇ κυριακῇ παρεμπέσῃ, προεορτάζειν αὐτὸ αὖθις κατὰ τὸ σάββατον, ὅπερ δὴ τότε ξυμβὰν διττῶν πάρεστιν εἰδέναι παρὰ τῷ Εὐαγγελιστῇ· τῷ τε λέγειν αὐτὸν τοὺς ἀρχιερεῖς τῇ ἐπαύριον μὴ εἰσεληλυθέναι εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ᾽ ἵνα φάγωσι τὸ πάσχα — δῆλον ἄρα μήπω ἦσαν φαγόντες τοῦτο — καὶ τῷ τὴν ἡμέραν τοῦ σαββάτου ἐκείνου μεγάλην ὀνομάζειν. Ἦν γάρ, φησί, μεγάλη ἡ ἡμέρα τοῦ σαββάτου ἐκείνου. Τί βούλεται τοῦτο ἢ ὅτι ἡ ἡμέρα ἐκείνη ἦν καὶ σάββατον, ἑβδομαδιαία ἑορτὴ τῶν Ἰουδαίων, ἦν καὶ πρώτη τοῦ πάσχα.

Ἀλλ᾽ ἡ ἐκκλησία πρὸς τούτοις καὶ ἄλλην τιν᾽ εὔλογον αἰτίαν προβάλλεται ὑπὲρ τοῦ μὴ χρῆσθαι ἀζύμοις ἐν τῷ μυστηρίῳ.

Πᾶν ὅπερ ὑπὸ αἱρετικῶν εὑρέθη ἐπὶ κακῇ ἐννοίᾳ καὶ βλάβῃ τῆς ἐκκλησίας ἀπόβλητόν ἐστιν· ἀλλὰ τὸ ἄζυμον εὑρέθη πρῶτον ὑπὸ τοῦ αἱρεσιάρχου Ἀπολλιναρίου ἐπὶ κακῇ ἐννοίᾳ καὶ βλάβῃ τῆς ἐκκλησίας, ἄρα ἀπόβλητον τὸ ἄζυμον. Ἐκεῖνος γὰρ δογματίζων, τὸν κύριον σάρκα ἄψυχον καὶ ἄνουν ἀνειληφέναι, καὶ τὴν αἵρεσιν εἰτοῦν βλασφημίαν ταύτην βεβαιῶν οὐ προσέφερε τῷ μυστηρίῳ ἄρτον, ἀλλ᾽ ἄζυμα, φάσκων· ὅ, τι ἡ ψυχὴ τῷ σώματι, τοῦτο ἡ ζύμη τῷ ἄρτῳ. Ἦν αἵρεσιν ἀποπτύουσα ἡ ἐκκλησία ἄρτον ἔνζυμον οἷον ἔμψυχον προσφέρει τῷ μυστηρίῳ τοῦ σάρκα καὶ ψυχὴν νοερὰν λογικὴν καὶ ἀεικίνητον ὑπὲρ ἡμῶν ἀνειληφότος.

Ἔστι δὲ τοῦτο οὐκ ἀνόμοιον τῷ τοῦ Νεστορίου. Παρ᾽ ἐκείνου γὰρ εὑρεθεῖσαν τὴν χριστοτόκος λέξιν ἐπὶ λύμῃ τῆς ὀρθοδοξίας ἡ καθολικὴ ἐκκλησία ταύτην ὡς ἀδόκιμον ἀπέβαλε. Πρὸς δὲ καὶ ἀνάθεμα ἐξεφώνησε κατὰ τῶν χριστοτόκον τὴν ἀειπάρθενον Μαρίαν λεγόντων, ἀλλὰ μὴ Θεοτόκον ταύτην ὁμολογούντων καὶ κηρυττόντων. Καίτοιγ᾽ ἡ λέξις καθ᾽ αὑτὴν οὐ δοκεῖ τῶν κακῶν εἶναι. Τίς γάρ οὐκ οἶδε, τὴν δέσποιναν ἡμῶν καὶ ἀειπάρθενον Μαρίαν γεννήσασαν μήτε γυμνὸν Θεόν, μήτε ψιλὸν ἄνθρωπον, ἀλλὰ τὸ συναμφότερον, Θεὸν καὶ ἄνθρωπον, ὅς ἐστι Χριστός; Ὅμως γε μέντοι, ἐπειδὴ καὶ παρ᾽ αἱρεσιάρχου εὑρέθη ἡ λέξις καὶ ἐπὶ κακῇ ἐννοίᾳ ἄχρηστος τοῦ λοιποῦ ἔδοξε τῇ ἐκκλησίᾳ καὶ ἀπόβλητος.

Εἰ δ᾽ οἱ ἀντικείμενοι προβάλλονται τὴν τῆς ζύμης διαβολήν, ὡς ἔστιν οὗ τῆς θείας γραφῆς ἐπ᾽ οὐ καλῷ ταύτην λαμβανομένην, παράγοντες τὸν Ἀπόστολον, κελεύοντα ἐκκαθάραι τὴν παλαιὰν ζύμην καὶ ἑορτάσαι ἐν ἀζύμοις εἰλικρινείας· ἔχομεν καὶ περὶ τούτων ἀποκριθῆναι.

Πολλὰ παρὰ τῇ θεοπνεύστῳ γραφῇ εὕρηται τὰ αὐτὰ καὶ ἐπαινούμενα καὶ διαβαλλόμενα, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι, ἀλλ' ἐπ' ἄλλῳ καὶ ἄλλῳ. Οἷον ὁ ὄφις πάλαι μὲν ἤκουσε κατάρατος καὶ τὸ ἐπὶ στήθους ἕρπειν κατεδικάσθη· ὕστερον δὲ Χριστὸν ἐξεικόνισεν ἐπὶ Μωϋσέως. Ἀλλὰ κἀπὶ φρονήσει οὕτως ἐπαινεῖται, ὡς καὶ ἡμᾶς τὴν ἐκείνου φρόνησιν ἀναγκάζεσθαι μιμεῖσθαι· Γίνεσθε, φησί, φρόνιμοι ὡς οἱ ὄφεις. Ἡ περιστερὰ ἐπ' ἀνοίᾳ πάλαι διαβληθεῖσα· Ἐγένετο Ἐφραὶμ ὡς περιστερὰ ἄνους· ἀλλ' ὕστερον ὑπὸ τοῦ κυρίου ἐπ' ἀκεραιότητοι ἐπαινεῖται, καθ' ἣν καὶ ἡμεῖς ὀφείλομεν εἶναι· Γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Οὕτω δὴ καὶ ἡ ζύμη. Αὕτη ἡ παρὰ τῷ Ἀποστόλῳ διαβάλλεσθαι δοκοῦσα παρὰ τῷ κυρίῳ ἐπαινεῖται, καὶ τῇ βασιλείᾳ τῶν οὐρανῶν παρεικάζεται· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ κ. τ. ἑ.

Ἄλλως τε οὐ περὶ τῆς ζύμης τοῦ φυραματός ἐστι τῷ Ἀποστόλῳ ὁ λόγος, ἀλλὰ περὶ τῆς ψευδοδιδασκαλίας καὶ κακοηθείας. Εἰ δέ τις περὶ τῆς ἐν τῷ φυράματι ζύμης βούλεται τὰ ἀποστολικὰ ῥήματα ἐκλαβεῖν, βλεπέτω, μή ποτε ἀσύνετος ἀκούσῃ, καθάπερ κἀκεῖνοι παρὰ τοῦ κυρίου, οἳ τὴν τῶν Φαρισαίων ψευδοδιδασκαλίαν ζύμην συμβολικῶς κεκλημένην μὴ νοήσαντες, ἀλλὰ περὶ κοινῆς ζύμης νομίσαντες, ἀσύνετοι ἤκουσαν παρὰ τοῦ κυρίου· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε λέγοντος. Ὅψὲ δὲ μετὰ τὴν πικρὰν ἐπιτίμησιν συνῆκαν αὐτὸν περὶ τῆς τῶν Φαρισαίων διδασκαλίας λέγειν, ἀλλ' οὐ περὶ τῆς ἐν τῷ ἄρτῳ ζύμης.

Εἷς δὲ ἄρτος παραλαμβάνεται ἐν τῇ εὐχαριστίᾳ καὶ οὐ πολλοί, ὅτι εἷς ἐστιν ὁ Χριστὸς καὶ οὐ πολλοί. Ἔπειτα ὅτι κοινωνία Χριστοῦ καὶ ἀνθρώπων. Κοινωνία δέ ἐστι τὸ πολλοὺς μετέχειν ἑνός. Ἑνὸς λέγω κατὰ τὸ ποσόν, οὐ κατὰ τὸ ποιόν· ὡς φησιν ὁ Ἀπόστολος. Ὁ ἄρτος, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; Ὅτι εἷς ἄρτος, ἓν σῶμα οὐ πολλοί. Τὸ δὲ εἷς καὶ ἓν περὶ τοῦ ποσοῦ λαμβάνεται, οὐ περὶ τοῦ ποιοῦ. Κατὰ γὰρ τὸ ποιὸν πάντα τὰ ἀνθρώπινα σώματα ἕν ἐστιν· ἀλλ' ὁ Χριστὸς κατὰ τὸ ποσὸν βούλεται ἡμᾶς ἑνῶσαι· ἵν' ᾖ αὐτὸς μόνος μία κεφαλὴ ἡμῶν. Ἀλλὰ τὰ κατὰ τὸ ποιὸν ἓν εἶναι λεγόμενα σώματα οὐκ ἐνδέχεται μίαν κεφαλὴν ἔχειν. Εἰ δὲ παράδοξον δοκεῖ τὰ διωρισμένα σώματα ἓν συνεχὲς ἐν Χριστῷ εἶναι ὑπὸ μίαν καὶ μόνην κεφαλήν, ἀλλὰ πνευματικῶς μοι ταῦτα νόει καὶ μὴ σαρκικῶς. Ἓν γὰρ ὀφείλομεν εἶναι κατὰ τὴν ἐνικὴν σύμπνοιαν, ἣν ὀφείλομεν ἔχειν ἐν τοῖς περὶ τὴν θρησκείαν, καθάπερ τὸ ὑπὸ μίαν κεφαλὴν τελοῦν σῶμα. Οὗ δὲ πολλαὶ κεφαλαί, ἀδύνατον σύμπνοιαν καὶ ὁμοφωνίαν εἶναι. Ὅσαι γὰρ κεφαλαί, τόσαι γνῶμαι. Οὐκ ἄρα κατὰ τὸ ποιὸν ἐκλαμβάνειν χρὴ τὸ εἷς ἄρτος, ἀλλὰ κατὰ τὸ ποσόν. Ἔτι ὁ θεῖος Ἰγνάτιος ὁ θεοφόρος ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ· Ἕνα ἄρτον, φησί, κλῶντες, ὅ ἐστι φάρμακον ἀθανασίας κ. τ. ἑ. Ὁ δὲ ἐν ἁγίοις Διονύσιος προστίθησι καὶ τὸ ταὐτοῦ, οὕτωσὶ λέγων· Ἐκ τοῦ ἑνὸς καὶ ταὐτοῦ ἄρτου.

Παραλαμβάνεται δὲ καὶ ὕδωρ, ὅτι οὕτως ὁ κύριος παρέδωκε. Δῆλον δὲ τῷ τὴν ἀρχαιοτάτην ἐκκλησίαν οὕτως ἐκδέξασθαι, οὗ μάρτυρες πολλοὶ

τῶν ἀρχαίων πατέρων. Ἀλλὰ πρὸς τὸ παρὸν ἕνα νομίζω ἀρκέσειν. Ἔστι δ' οὗτος ὁ ἐν ἁγίοις Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, οὕτωσὶ λέγων· Ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες καὶ εὐχὰς προσφέρομεν, καὶ, ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς, ἄρτος προσφέρεται καὶ οἶνος καὶ ὕδωρ. κ. τ. ἑ.

Μετέχουσι δὲ πάντες ἑκατέρου εἴδους τῶν ἐν τῇ δεσποτικῇ τραπέζῃ τοῦ τε ἄρτου φημὶ καὶ τοῦ ποτηρίου, ἐκκλησιαστικοί τε καὶ λαϊκοί, ἄνδρες καὶ γυναῖκες. Ἀλλὰ δὴ καὶ αὐτὰ τὰ βρέφη ἀρξάμενα εὐθὺς ἀπὸ τοῦ ἁγίου βαπτίσματος μετέχει τοῦ λοιποῦ, ὁσάκις οἱ γονεῖς βούλονται.

Εἰ δέ τις ἡμῖν μέμφεται μεταδιδοῦσι τοῖς βρέφεσι τοῦ κυριακοῦ δείπνου, ῥᾳδίως αὐτὸν ἐπιστομίζομεν. Εἰ μὲν γὰρ τῶν Ἀναβαπτιστῶν εἴη ὁ τοιοῦτος, χρησόμεθα κατ' ἐκείνου τῷ· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε αὐτά, καὶ τῷ· Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ἀλλὰ καὶ ἡ προφῆτις Ἄννα οὐκ ὀλίγον ἡμῖν εἰς τοῦτο συμπράττει, ἐκ βρέφους τὸν Σαμουὴλ ἀφιεροῦσα τῷ Θεῷ, ὃς καὶ τὰ πρωτότοκα τῶν Ἰουδαίων ἀπαιτεῖ ἀπ' αὐτῆς τῆς γενέσεως, μήπω τοιαύτην αἴσθησιν ἔχοντα. Εἰ δὲ μὴ Ἀναβαπτιστὴς εἴη ὁ ἀντιλέγων, οἷς ἂν ἐκεῖνος χρήσηται κατὰ τῶν Ἀναβαπτιστῶν ὑπὲρ τοῦ δεῖν τὰ νήπια βαπτίζεσθαι, τοῖς αὐτοῖς ἡμεῖς χρησόμεθα κατ' ἐκείνου ὑπὲρ τοῦ δεῖν τὰ νήπια ὥσπερ βαπτίζεσθαι, οὕτω καὶ τοῦ κυριακοῦ δείπνου μετέχειν. Καὶ οὕτω σὺν Θεῷ νενικήκαμεν.

Ἡ αἰτία δὲ τοῦ πάντας τοῦ κυριακοῦ δείπνου ἐν ἑκατέρῳ εἴδει μετέχειν, ὅτι πάντες δέονται, ἧς ἀδύνατον τυχεῖν ἄνευ τῆς μεταλήψεως τοῦ κυριακοῦ σώματος καὶ αἵματος. Αὐτὸς γὰρ ἔφη· Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Καθάπερ γὰρ οἱ πρόγονοι ἡμῶν διὰ τῆς ἀπηγορευμένης βρώσεως θάνατον ἑαυτοῖς ἐμνηστεύσαντο, ὁμοίως δὲ καὶ οἱ ἀπ' ἐκείνων τῷ αὐτῷ θανάτῳ ὑπόδικοι ἐγένοντο οὕτως καὶ οἱ τοῦ κυριακοῦ σώματος καὶ αἵματος μετέχοντες, ἰατρευόμενοι τοῦ προπατορικοῦ θανάτου, τῆς ἀθανασίας τυγχάνουσιν.

Ἔστι γὰρ ὡς ἀληθῶς σῶμα Χριστοῦ ὁ ἱερουργούμενος ἄρτος καὶ τὸ ἐν τῷ ποτηρίῳ αἷμα Χριστοῦ ἀναμφιβόλως. Ὁ δὲ τρόπος τῆς τοιαύτης μεταβολῆς ἄγνωστος ἡμῖν καὶ ἀνερμήνευτος· τεταμίευται γὰρ τοῖς ἐκλεκτοῖς ἡ περὶ τῶν τοιούτων σαφήνεια ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἵνα διὰ τῆς ἁπλῆς καὶ ἀπεριέργου πίστεως μείζονος χάριτος τύχοιεν παρὰ τοῦ Θεοῦ. Οἱ δὲ βουλόμενοι περὶ πάντων λόγον ζητεῖν, ἀναιροῦσι λόγον, ἅμα δὲ τὸ εἰδέναι, κατὰ τὸν Θεόφραστον. Ἐπεὶ οὖν ἀληθῶς σῶμα Χριστοῦ καὶ αἷμα Χριστοῦ ἐστὶ τὸ μυστήριον τοῦτο, προσφόρως παρὰ τῷ θείῳ Ἰγνατίῳ καλεῖται φάρμακον ἀθανασίας, καθαρτήριον ἀνεξίκακον καὶ ἀντίδοτον τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

Οὐχ ἁπλῶς δὲ καὶ ἀνεξετάστως πᾶσιν ἡ ἐκκλησία μεταδίδωσι τούτου τοῦ θείου μυστηρίου, ἀλλὰ τοῖς ἑτοίμως ἔχουσι, καὶ παρεσκευασμένοις οὖσι πρὸς τὴν τοιαύτην μετάληψιν.

Ἔστι δὲ ἡ ἑτοιμασία τῶν ὀρθοδόξων προηγουμένως μέν, πᾶσιν εἶναι κατηλλαγμένους καὶ κατ᾽ οὐδενὸς βυσσοδομεύειν τι ἐν τῇ καρδίᾳ. Εἶτα δὲ νηστείαν μετρίως ἀπαιτοῦνται, τοῦτ᾽ ἔστι, τῇ πρὸς τῆς μεταλήψεως ἡμέρᾳ ἀπέχεσθαι σιτίων, εἰ μὲν οἷόν τε, δι᾽ ὅλου. Εἰ δέ τις ἀσθένεια σωματικὴ κωλύει τοῦτο διανηστίζονται. Πλὴν ὁ διανηστισμὸς γίνεται δι᾽ ὀπωρῶν εἴτε προσφάτων, ἤγουν σταφυλῶν, σύκων, μήλων, ἀπίων καὶ τοιούτων, εἴτε ξηρῶν, οἷον σταφίδων, ἰσχάδων, καὶ τῶν ὁμοίων, μεθ᾽ ὧν οὐδὲ βραχὺς ἄρτος ἀπείργηται τούτοις. Τὸ δὲ πόμα ὕδωρ, τοῖς δὲ νοσερῶς ἔχουσιν ἐξ ἀνάγκης συγκεχώρηται καὶ βραχὺς οἶνος, κεκραμένος μέντοι. Ἀγρυπνοῦσι δὲ κατὰ τὴν νύκτα ἐκείνην οἱ μεταληψόμενοι. Εἰ δέ που δεήσει ἀπονυστάξαι, ἐπὶ σκίμποδος ἢ καθέδρας τοῦτο ποιοῦσιν, ἀλλὰ μὴ ἐπὶ κλίνης. Εἰ δὲ σύζυγες εἶεν οἱ μεταληψόμενοι, πάντως ἀπέχονται ἀλλήλων κατὰ τὴν νύκτα ἐκείνην. Πρὸς δὲ καὶ ἐλεημοσύνας ποιοῦσι πρό τε τῆς μεταλήψεως καὶ κατ᾽ αὐτὴν τὴν ἡμέραν τῆς μεταλήψεως. Τελευταῖον δὲ ἕκαστον τῶν μεταληψομένων ἐξομολογήσασθαι χρὴ τὰ αὐτοῦ πλημμελήματα παρά τινι τῶν εἰς τοῦτο τεταγμένων πνευματικῶν πατέρων, καὶ οὕτω προσελθεῖν τῷ μυστηρίῳ.

Οἱ μεταλαβόντες ἀσπάζονται ἀλλήλους, θἀτέρου μὲν λέγοντος ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν· θἀτέρου δ᾽ ἀποκρινομένου· καὶ ἔστι καὶ ἔσται. Ἀπὸ δὲ τοῦ πάσχα ἕως τῆς Ἀναλήψεως λέγουσιν ἐν τῷ ἀσπασμῷ, ὁ μέν· Χριστὸς ἀνέστη, ὁ δέ· ἀληθῶς ἀνέστη. Τοὐντεῦθεν δὲ τὰ πρότερα καθ᾽ ὅλον τὸν ἐνιαυτόν. Πλὴν ὁ τοῦ πάσχα ἀσπασμὸς οὐ μόνον ἐν τῇ μεταλήψει γίνεται, ἀλλὰ κἂν ταῖς πλατείαις καὶ ταῖς ἀγυιαῖς συναντῶν ἀλλήλοις ἀσπάζονται ἀμοιβαδόν, τοῦ μὲν λέγοντος· Χριστὸς ἀνέστη· τοῦ δὲ ἀποκρινομένου· Ἀληθῶς ἀνέστη. Ἕως τῆς Ἀναλήψεως τοῦτο γίνεται. Οὕτω καὶ αἱ γυναῖκες πρὸς ἀλλήλας ποιοῦσιν.

Οὐ πολλάκις δὲ τῆς ἡμέρας ἱερουργοῦμεν ἐν τῷ αὐτῷ ναῷ, οὔτε πολλὰς ἁγίας τραπέζας ἔχομεν ἐν ἑνὶ ναῷ, ἀλλὰ μίαν μόνην ἐν ἑκάστῳ ἐκ λίθου μαρμάρου· ὅτι καὶ ὁ Χριστὸς εἷς ἐστιν ὁ ἀληθὴς καὶ ἀκρογωνιαῖος λίθος. Ὅτι δὲ οὐ πολλάκις ἐσταυρώθη ἐν τῷ κόσμῳ, ἀλλ᾽ ἅπαξ καθ᾽ ὅλον τὸν ἀπ᾽ ἀρχῆς ἕως τέλους αἰῶνα, ὧν εἰκόνες ὥσπερ τοῦ μὲν αἰῶνος ἑκάστη ἡμέρα, τοῦ δὲ κόσμου ἕκαστος ναός· οὕτω καὶ ἡμεῖς οὐ πολλάκις τῆς ἡμέρας, ἀλλ᾽ ἅπαξ καθ᾽ ἑκάστην ἡμέραν ἐν ἑκάστῳ ναῷ ἱερουργοῦμεν τὸ κυριακὸν δεῖπνον. Τὸ δὲ ἅπαξ οὐκ ἀναγκαίως λέγω. Οὐδὲ γὰρ ἀναγκαζόμεθα πάντως καθ᾽ ἑκάστην ἱερουργεῖν τὸ ἅγιον μυστήριον ἐν τῷδε τῷ ναῷ, ἀλλ᾽ εἴ που τῆς τοιαύτης ἱερουργίας δεήσειεν· ἅπαξ τῆς ἡμέρας τοῦτο ποιοῦμεν καὶ οὐ πλέον.

Ταμιεύομεν δὲ ἐκ τοῦ ἱερουργηθέντος μυστηρίου τοῖς νοσοῦσι καὶ αἰφνιδίως τὸν βίον ἐκλείπουσιν, ἵνα μηδεὶς αὐτῶν ἀπέλθῃ ἄνευ τοῦ ἐσχάτου καὶ ἀναγκαίου ἐφοδίου· κατὰ τὸ δόγμα τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου πιστεύοντες, τὸ ταμιευόμενον μυστήριον πάντοτε μυστήριον εἶναι ἅγιον, καὶ μηδέποτε ἀποβάλλειν τὸν ἁγιασμόν, ὃν ἅπαξ προσέλαβε. Καθάπερ γὰρ τὸ ἔριον ἅπαξ χρωματισθὲν οἱῳδήποτε χρώματι μένει τοῦ λοιποῦ ἀναπόνιπτον· οὕτω καὶ ὁ ἁγιασμὸς ἐν τούτῳ τῷ μυστηρίῳ μένει διαπαντὸς ἀνεξάλειπτος. Καὶ καθάπερ τὰ ἀπὸ βασιλι-

κῆς τραπέζης ἀρθέντα λείψανα, ἐν ὅσῳ χρόνῳ διαμένει κἂν εἰς πολλοὺς ἐνιαυτοὺς ταῦτα φυλάττοι τις, οὐκ ἔσθ' ὅπως μὴ λείψανα βασιλικῆς τραπέζης καλοῖτο· οὕτω καὶ τὰ ταμιευόμενα λείψανα τοῦ ἁγίου μυστηρίου ἀδύνατον μὴ εἶναι λείψανα σώματος καὶ αἵματος Χριστοῦ.

Οὐ περιφέρομεν δὲ τοῦτο τὸ ἅγιον μυστήριον διὰ τῶν πλατειῶν, ἀλλ' ἢ μόνον, ὅταν κομίζηται εἰς οἶκον νοσοῦντος· ὅτι οὐ δέδοται ἡμῖν τοῦτο, ἵνα περιφέρηται διὰ τῶν πλατειῶν, ἀλλ' ἵνα εὐλαβῶς μετέχηται εἰς ἄφεσιν ἁμαρτιῶν, κατὰ τὰ δεσποτικὰ ῥήματα.

Ἔτι καὶ τοῦτο ἰστέον, ὅτι ὁ τόπος, ὅπου ἱερουργεῖται τὸ ἅγιον μυστήριον, ὃν ἡμεῖς ἱερατεῖον καλοῦμεν καὶ ἅγιον βῆμα, κεχωρισμένος ἐστὶ τοῦ λοιποῦ ναοῦ. Κιγκλίδες γὰρ τοῦτον διαστέλλουσιν εὖ ἀπεξεσμέναι καὶ συνετῶς πεποικιλμέναι. Πρὸ ὧν κιγκλίδων ἐπίκειται παραπέτασμα, ὅπερ μετὰ τὸ τεθῆναι τὸ ἅγιον μυστήριον ἐπὶ τῆς ἱερᾶς τραπέζης ἐφέλκεται κατὰ τῶν κιγκλίδων, ὡς μὴ δύνασθαι τὸν λαὸν καθορᾶν τοὺς ἱερεῖς ἱερουργοῦντας. Μετὰ δὲ τὴν ἐπεξέλευσιν τοῦ ἁγίου συμβόλου ἀφέλκεται παντελῶς, ὡς δύνασθαι πάντα τὸν λαὸν καθορᾶν διὰ τῶν κιγκλίδων τούς τε ἱερουργοῦντας καὶ αὐτὰ τὰ ἱερουργούμενα. Ἡ ἔννοια τούτου αὕτη· ὅτι, ἐὰν εὐσεβῶς καὶ ὀρθοδόξως ἔχωμεν περὶ τὴν πίστιν, καὶ ἐὰν μὴ ταύτην μετὰ παρρησίας ὁμολογῶμεν, οὐκ ἀξιούμεθα τῆς τῶν θείων ἀποκαλύψεως. Ὅταν δὲ ὀρθοδόξως καὶ μετὰ παρρησίας τὴν πίστιν κηρύττωμεν· τότε ὁ Θεὸς ἀποκαλύπτει ἡμῖν τὰ αὐτοῦ μυστήρια.

Κεφάλαιον 10.

Περὶ τῶν ἐν μετάνοιᾳ τελετῶν.

Ὁ Θεὸς φύσει φιλάνθρωπος ὢν καὶ πολλὰ τεκμήρια τῆς αὐτοῦ φιλανθρωπίας ἡμῖν ἐπιδειξάμενος οὐδὲ τοῦτο παρέλιπεν. Εἰδὼς γὰρ τὸ ἀσθενὲς καὶ εὐόλισθον τῆς ἡμετέρας φύσεως καὶ ὅτι ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἔγκειται, προὐνοήσατο ἡμῖν τὸ τῆς μετανοίας φάρμακον.

Διδάσκει τοίνυν ἡ καθολικὴ ἐκκλησία, τοὺς ἁμαρτάνοντας καὶ μετανοεῖν αἱρουμένους ἐξομογεῖν τὰ σφῶν πλημμελήματα παρά τινι τῶν εἰς τοῦτο τεταγμένων πρεσβυτέρων καὶ πνευματικῶν πατέρων, ἵνα δι' ἀνθρωπίνου στόματος ἀκούσωσι τὴν συγγνώμην καὶ οὕτω λάβωσι παρὰ Θεοῦ δι' ἀνθρώπου τὴν ἄφεσιν τῶν πεπλημμεληκότων, κατὰ τό· Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· ἔτι· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

Ὥσπερ οὖν τό τε ἅγιον βάπτισμα καὶ τὸ κυριακὸν δεῖπνον ἠθέλησεν ὁ Θεὸς δι' ἀνθρώπων ἱερουργεῖσθαι, καὶ ἄλλους μὲν εἶναι τοὺς ἱερουργοῦντας, ἄλλους δὲ τοὺς μετέχοντας — πλὴν τοῦ κυριακοῦ δείπνου, ὃ δύναται ὁ ἱερουργῶν πρεσβύτερος καὶ μεταλαβεῖν — οὕτω καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δι' ἀνθρώπων ὁ Θεὸς ἐθέλησε χορηγεῖσθαι ταύτην, καὶ ἄλλους μὲν εἶναι τοὺς χορηγοῦντας, ἄλλους δὲ τοὺς ταύτην λαμβάνοντας.

Ἀπαιτεῖται δὲ παρὰ τῶν μετανοούντων ἀποχὴ τῆς ἁμαρτίας εἰς τὸ ἑξῆς καὶ συγγνώμης αἴτησις παρὰ τοῦ Θεοῦ μετὰ συντετριμμένης καρδίας ἐπ' ἐλπίδι τῇ εἰς αὐτὸν τὸν Θεὸν σταθερᾷ καὶ βεβαίᾳ· ὅτι πνεῦμα συντετριμμένον καὶ τεταπεινωμένον ὁ Θεὸς οὐκ ἐξουδενώσει. Εἶτα καὶ ποινή τις ἐπάγεται τοῖς μετανοοῦσι παρὰ τῶν ἀκροασαμένων τὰ τούτων εἴς τε σωφρονισμὸν τοῦ μηκέτ' ἀτάκτως βιοῦν καὶ ἵνα διὰ τῆς ἑκουσίου καὶ προαιρετικῆς θλίψεως μετριωτέρας πειραθῶσι τῆς τοῦ Θεοῦ προσκαίρου ῥάβδου.

Ὁ δὲ τρόπος τῆς ποινῆς οὗτος. Πάλαι μὲν ἡ ἐκκλησία φαίνεται διττῶς κολάζουσα τοὺς ἁμαρτάνοντας. Εἰ μὲν γὰρ ἐπ' αὐτοφώρῳ τούτους κατέσχεν ἀσελγαίνοντας, ἐκέλευεν αὐτοὺς ἐνδεδυμένους χιτῶνα λευκόν, κλάδον τε ἐλαίας ἤ τινος ἀειθαλοῦς δένδρου κατέχοντας καὶ πρὸ τῶν θυρῶν τοῦ ναοῦ στάντας ὑποκύπτειν τοῖς εἰσιοῦσι καὶ ἐξιοῦσι, συγγνώμην παρ' ἐκείνων αἰτοῦντας. Ἐγένετο δὲ τοῦτο ἐπὶ τρισὶ συνάξεσι πολυανθρώποις, ἐνίοτε καὶ πλείοσι· δηλαδὴ κατὰ τὴν ποιότητα τοῦ ἁμαρτήματος καὶ κατὰ τὴν διάθεσιν τοῦ ἁμαρτηκότος. Μετέπειτα δέ, νουθετοῦσα τούτους ἀπέχεσθαι τοῦ λοιποῦ πάσης κακίας, σωφρόνως τε τοῦ λοιποῦ διάγειν, καὶ τὸν Θεὸν μετὰ συντετριμμένης καρδίας καὶ ἀγαθῆς ἐλπίδος ὑπὲρ τῶν σφῶν ἁμαρτημάτων ἱκετεύειν, ἀπέλυεν ἐν εἰρήνῃ.

Τοῖς δὲ λάθρα τι ἄτοπον πεποιηκόσιν, εἶτ' ἀφ' ἑαυτῶν εἰς αἴσθησιν καὶ τὸ ἁμαρτάνειν εἰς τὸν Θεὸν ἥλικον ἐστὶ κατανοήσασιν, αὐθαιρέτως τε ὁμολογεῖν τὴν ἁμαρτίαν προαιρουμένοις καὶ συγγνώμην αἰτεῖν ἐξ ὅλης καρδίας, οὐδὲν τῶν ῥηθέντων ἐπέταττε ποιεῖν. Ἄλλην δὲ ποινὴν αὐτοῖς ἐπετίθη· ἤγουν νηστείαν, προσευχήν, ἀγρυπνίαν, καὶ πρὸς τούτων ἐλεημοσύνην πρὸς τοὺς δεομένους. Εἶτα κἀκείνους τὰ εἰκότα νουθετοῦσα εἰρηνικῶς ἀπέπεμπεν.

Ταῦτα δὲ σώζεται παρὰ τῇ Ἀνατολικῇ ἐκκλησίᾳ μέχρι τῆς σήμερον· εἰ μὴ ὅτι τὸ πρῶτον, ὅπου ἐπικρατεῖ ἡ τοῦ Ἀντιχρίστου τυραννίς, οὐ παρατηρεῖται πολλῶν ἕνεκα, τὰ δὲ λοιπὰ ἀπαραλλάκτως μέχρι τοῦ νῦν. Ἐρωτῶσι μὲν οἱ ἀκροαταὶ τῆς τῶν ἁμαρτημάτων ἐξομολογήσεως κατ' εἶδος τὰ ἁμαρτήματα καὶ τὴν τούτων ποιότητα, ἵνα τὸ πρόσφορον φάρμακον ἐπάξωσι τῷ νοσοῦντι — ἐπεὶ καὶ ἰατρὸς οὐκ ἂν θεραπεύσειεν οἱονδήποτε νόσημα, μὴ κατανοήσας πρότερον τὸ ποιὸν τοῦ νοσήματος — οὐ μὴν δὲ καὶ τὰ πρόσωπα, μεθ' ὧν ἡ ἁμαρτία ἐπράχθη, τόν τε τρόπον καὶ τόπον. Περιττὸν γὰρ τοῦτο καὶ λίαν πονηρὰν ὑπόληψιν τῷ πολυπραγμονοῦντι καὶ περιεργαζομένῳ προσάπτον. Μαθόντες οὖν τὴν τοῦ ἁμαρτήματος ῥίζαν, καὶ μέλλοντες τὴν ποινὴν ἐπενεγκεῖν, εἰ οἱ μετανοοῦντες τῶν μετρίως γοῦν εὐπορούντων εἶεν, ἐπιτιθέασιν αὐτοῖς καὶ ἐλεημοσύνην, ὡς ἔφθην εἰπών. Διδάσκουσι δὲ τούτους χρήσασθαι ταύτῃ ἐπ' ἐλευθερίᾳ αἰχμαλώτων. Πολλοὺς γὰρ πολλαχόθεν οἵ τε Ἀγαρηνοὶ καὶ οἱ Σκύθαι παρ' ἡμῖν κομίζουσιν, οἷον ἐκ Ῥωσίας, Πολωνίας εἶτ' οὖν Σαρματίας, ἐκ τῆς ἄνω καὶ κάτω Μυσίας, αἳ νῦν Μολδόβια καὶ Βλαχία καλοῦνται, ἐκ Παιονίας τῆς νῦν Οὐγγαρίας, ἐκ Τριβαλλίας τῆς νῦν Τρασυλβανίας, ἐκ τῆς περὶ τὴν Ἕω Ἰβηρίας καὶ Κολχίας καὶ ἀλλαχόθεν, οὓς ὠνούμενοι οἱ χριστιανοὶ ἀποπέμπουσιν εἰς τὰ ἴδια. Εἰ

δ' ἐκεῖνοι ἐθελονταὶ παρ' ἡμῖν εὐδοκοῦσι μένειν, μένουσι, καὶ χρώμεθα τούτοις ἴσα καὶ ἀδελφοῖς. Εἰ δὲ νέοι εἶεν, προνοοῦνται οἱ ὠνισάμενοι καὶ γάμου καὶ προικὸς καὶ τῶν λοιπῶν ἀναγκαίων καδδύναμιν ἕκαστος.

Κεφάλαιον 11.

Περὶ ἱερωσύνης.

Ἀρχαῖον καὶ ἀποστολικὸν ἔθος παρεδόθη τῇ ἐκκλησίᾳ, μὴ πάντας τοὺς χριστιανοὺς χωρεῖν ἐπὶ τὴν διακονίαν τοῦ λόγου, καὶ τὴν τῶν μυστηρίων ἱερουργίαν, ἀλλ' ἐκλέγεσθ' ἐκ τούτων τοὺς κρείττους καὶ ἀρετῇ τῶν ἄλλων ὑπερέχοντας· εἶτα δι' ἐπιθέσεως τῶν χειρῶν, τῶν πρό ἐκείνων εἰς τοῦτο ταχθέντων, καὶ δι' εὐχῶν κοινῇ τῆς ἐκκλησίας ἀνάγεσθαι τούτους εἰς ταύτην τὴν διακονίαν. Ἐπεὶ δὲ τῇ τοῦ Θεοῦ χάριτι ὁ πανάγιος χριστιανισμὸς ἐπληθύνθη καὶ κατεκάλυψεν ἅπαν τὸ πρόσωπον τῆς γῆς καὶ διὰ τοῦτο πλειόνων διακόνων ἐδέησε τῇ ἐκκλησίᾳ, ὡς ἂν δὲ μὴ ἀταξία ᾖ μεταξὺ τούτων, ἀλλὰ ῥυθμῷ καὶ εὐσχημοσύνῃ βαίνωσιν, ἐπενοήθησαν καὶ τάξεις, ἵνα ὦσι κἂν αὐταῖς οἵ τε ἐπιτάττοντες καὶ ἐπιταττόμενοι.

Διῄρηνται τοίνυν αἱ τῆς ἱερωσύνης τάξεις εἰς ἑπτά, ὧν πρώτη καὶ ἀνωτέρα ἐστὶν ἡ τῶν Ἐπισκόπων, οὓς ὁ ἐν ἁγίοις Διονύσιος καὶ οἱ μετ' ἐκεῖνον διδάσκαλοι τῆς ἐκκλησίας Ἱεράρχας ἐκάλεσαν, μεθ' ἣν ἡ τῶν Πρεσβυτέρων, τρίτη τῶν Διακόνων, μετὰ ταύτην ἡ τῶν Ὑποδιακόνων, πέμπτη ἡ τῶν Ἀναγνωστῶν, ἕκτη τῶν Ἐξορκιστῶν, ἑβδόμη τῶν Πυλωρῶν. Εὕρηνται δὲ αἱ προσηγορίαι αὗται παρά τε τῷ ἁγίῳ Ἰγνατίῳ τῷ Θεοφόρῳ καὶ παρὰ πολλοῖς ἄλλοις.

Ἔργα δὲ τούτων ταῦτα. Τῶν μὲν Πυλωρῶν, φυλάττειν τὰς πύλας τοῦ ναοῦ, ἵνα μή τις τῶν ἀσεβῶν ἐπὶ κατασκοπῇ καὶ χλεύῃ τῆς ἐκκλησίας εἰσέλθῃ, καὶ ἵνα μή τις τῶν ἔνδον χριστιανῶν ὑπὸ ῥᾳθυμίας ἐξελθεῖν δύνηται πρὸ καιροῦ.

Τῶν Ἐξορκιστῶν ἔργον, ἐξορκίζειν τοὺς κατηχουμένους καὶ κατηχίζειν αὐτούς· οὐ τὸν τελευταῖον καὶ καθόλου ἐξορκισμὸν — οὗτος γὰρ τῶν πρεσβυτέρων ἐστὶν — ἀλλὰ τοὺς πρὸ τοῦ βαπτίσματος. Ἔθος γάρ, πολλάκις πρὸ τοῦ βαπτίσματος ἐξορκίζεσθαι καὶ κατηχίζεσθαι τοὺς τελεσθησομένους ὑπὸ τῶν ἐξορκιστῶν, εἶτα τελευταῖον ἐν αὐτῷ τῷ βαπτίσματι ὑπὸ τῶν πρεσβυτέρων.

Τῶν Ἀναγνωστῶν, ἀναγινώσκειν ἐπ' ἐκκλησίας κεφάλαιον τῆς θεοπνεύστου γραφῆς. Οὐδὲν γὰρ τῶν ἐν ἐκκλησίᾳ γίνεται ὡς ἔτυχεν, ἀλλὰ πάντα ῥυθμῷ καὶ τάξει βαίνει.

Τῶν Ὑποδιακόνων, ἐπιμελεῖσθαι τῶν ἱερῶν σκευῶν καὶ πάντων τῶν πρὸς ἱερουργίαν τῶν μυστηρίων ἐπιτηδείων· καλλύνειν δὲ τὴν ἁγίαν τράπεζαν καὶ τὴν ἁγίαν κολυβήθραν· προετοιμάζειν τὸν ἱερουργηθησόμενον ἄρτον καὶ τὸ κράμμα.

Τῶν Διακόνων, συλλειτουργεῖν τοῖς πρεσβυτέροις ἱερουργοῦσι τὰ μυστήρια, ἀναγινώσκειν ἐπ' ἐκκλησίας τὴν τῆς ἡμέρας εὐαγγελικὴν περικοπήν — ἡ μὲν γὰρ ἄλλων βιβλίων τῆς θεοπνεύστου γραφῆς ἀνάγνωσις

ἐφεῖται τοῖς ἀναγνώσταις· ἡ δὲ τοῦ εὐαγγελίου τῶν διακόνων ἐστὶ — προηγεῖσθαι τοῦ λαοῦ ἐν ταῖς παρὰ τοῦ Θεοῦ αἰτήσεσιν, ἐνίοτε δὲ καὶ δημηγορεῖν ἐπ' ἐκκλησίας, τοῦ πρεσβυτέρου ἄλλοις ἐνασχολουμένου ἢ κάμνοντος.

Οἱ Πρεσβύτεροι δύνανται μὲν πάντα ὅσα καὶ οἱ διάκονοι — ἀλλὰ καὶ πάντες τῶν ὑπερεχουσῶν τάξεων δύνανται τὰ τῶν ὑποδεεστέρων, ἀπόντων ἐκείνων· οἱ τῶν ὑποδεεστέρων δὲ οὐ δύνανται τὰ τῶν ὑπερεχουσῶν — ἐξαίρετον δὲ αὐτοῖς ἔργον ἡ τῶν μυστηρίων ἱερουργία καὶ ἡ τοῦ λόγου διακονία. Πρὸς τούτοις ἀπαιτεῖται παρ' αὐτῶν ἡ ἐπιμέλεια τῶν ὑπὸ τὴν ἑκάστου ἐνορίαν πτωχῶν καὶ ἀσθενῶν καὶ ἄλλως ἐνδεῶν ὄντων καὶ ἐπικουρίας χρηζόντων.

Οἱ Ἐπίσκοποι δύνανται τὰ τῶν πρεσβυτέρων· ἔξοχον δ' αὐτοῖς ἔργον ἡ χειροτονία τῶν ὑφ' αὐτοὺς τάξεων. Οὗτοι μὲν γὰρ χειροτονοῦνται ὑπὸ τριῶν ἐπισκόπων τοὐλάχιστον· ἕκαστος δὲ τούτων τὰς ὑποδεεστέρας τάξεις, συμπαρόντων αὐτῷ πρεσβυτέρων τε καὶ διακόνων ἀδιορίστων. Πρὸς τούτοις ἐπίκειται τοῖς ἐπισκόποις τὸ ἐπιμελεῖσθαι τὸν ὑφ' αὐτοὺς τάξεων, ὅπως ἂν ἕκαστος οἱασδήτινος τάξεως προθύμως καὶ σπουδαίως προσέχῃ τῷ καθήκοντι αὐτῷ. Καὶ τοὺς μὲν ἐπιμελῶς τὴν αὐτῶν διακονίαν ἐργαζομένους τιμῶσι λόγῳ καὶ ἔργῳ καὶ περὶ πλείονος ποιοῦνται· τοὺς δὲ ῥᾳθυμότερον διακειμένους πρὸς ὃ ἀνεδέξαντο θεῖον ἔργον διορθοῦσι παντὶ τρόπῳ. Ἔτι πρόνοιαν ποιοῦνται οἱ ἐπίσκοποι καὶ τῶν νοσούντων ἀνὰ πᾶσαν τὴν αὐτῶν διοίκησιν, ἢ πενίᾳ θλιβομένων ἢ ἄλλοις ἀνιαροῖς πιεζομένων, ἐπαρκοῦντες ἐκείνοις τὰ πρὸς χρείαν, αὐτοί τε οἴκοθεν τό γε εἰς αὐτοὺς ἦκον καὶ τοὺς εὐποροῦντας πείθουσι τοῦτο ποιεῖν.

Πάσαις οὖν ταῖς ῥηθείσαις τάξεσι πλὴν τῶν ἐπισκόπων συγκεχώρηται ὁ γάμος· οὐχ ὡς ἔτυχε δέ, ἀλλὰ μετὰ λόγου πάνυ ἐπαινετοῦ. Πρῶτον μὲν οἱ βουλόμενοι γαμεῖν, πρὸ τῆς χειροτονίας τοῦτο ποιοῦσι. Δεύτερον εἴ τινος γυνὴ ἔφθη τὸ ζῆν ἐκμετρήσασα, εἰ μὲν πρεσβύτερος ἢ διάκονός ἐστιν ὁ χηρεύσας, καὶ βούλεται δευτέρᾳ γυναικὶ προσομιλῆσαι, παύει τῆς τῶν μυστηρίων ἱερουργίας. Ἔχουσι δὲ μόνον εἰς παραμυθίαν, ὡς ἂν μὴ σκληροτέρῳ βρόχῳ τῆς λύπης σφίγγοιντο, ὁ μὲν τὴν μετὰ τῶν πρεσβυτέρων, ὁ δὲ τὴν μετὰ τῶν διακόνων καθέδραν. Οἱ δὲ μετὰ τούτους, οἷον ὑποδιάκονοι, ἀναγνῶσται, ἐξορκισταὶ καὶ πυλωροὶ τῆς μὲν τάξεως αὐτῶν οὐ καθαιροῦνται δὶς γαμήσαντες, προαχθῆναι δὲ εἰς μείζονα οὐ δύνανται. Μένει οὖν ἕκαστος, ἐν ᾗ εὑρέθη.

Τοὺς δὲ Ἐπισκόπους ἐκλέγει ἡ ἐκκλησία πάντοτε ἐκ τῆς τάξεως τῶν μοναχῶν ἤτοι ἐκ παρθένων ἢ ἐκ σωφρόνων. Παρθένους μὲν καλοῦμεν τοὺς μηδέποτε γυναῖκα ὁπωσοῦν ἐγνωκότας· σώφρονες δὲ κατὰ τὸ νῦν ἔθος τῆς ἐκκλησίας λέγονται οἱ μιᾷ καὶ μόνῃ νομίμῳ γυναικὶ συναφθέντες· οἱ μετὰ τὸν θάνατον τῆς σφῶν συζύγου ἢ τὴν ἑκούσιον διάζευξιν — συμβαίνει γὰρ, ἐνίοτέ τινας συζυγίας ἑκουσίως καὶ αὐθαιρέτως χωρίζεσθαι ἀλλήλων, καὶ τὸν μὲν εἰς ἀνδρῶον μοναστήριον, τὴν δὲ εἰς γυναικεῖον εἰσιέναι, πόθῳ κρείττονος βίου καὶ τελειοτέρου — αὐτομολήσαντες τῷ μοναχικῷ βίῳ, κἀπί τισιν ἔτεσι τούτῳ ἐνασκη-

θέντες, δόκιμοί τε καὶ σπουδαῖοι ἐν αὐτῷ φανέντες, ἐκλέγονται εἰς ἐπισκοπήν, ὥσπερ καὶ οἱ παρθένοι.

Ἰστέον δέ, ὅτι πολλὰ μὲν καὶ ἄλλα παρ' ἡμῖν κωλύει τοὺς μέλλοντας εἰς οἱανδήποτε τάξιν ἀνενεχθῆναι, οἷον μέθη, φυλαργυρία, αὐθάδεια, κακοήθεια, ὕβρις κατὰ τῶν ἐλαττόνων, ὑπερηφάνεια καὶ τὰ τούτοις παρόμοια. Ἃ καὶ ἀνενεχθέντας καταβιβάζει, εἰ μὴ φθάσειεν σφᾶς αὐτοὺς διορθῶσαι. Πέντε δὲ μᾶλλόν ἐστι τὰ παντελῶς ἀνίατα καὶ ἀσύγγνωστα, ὅσον εἰς ἀνάῤῥησιν ἱερωσύνης, ἐπιορκία, καὶ μάλιστ' εἰ δημοσίᾳ κἀπὶ δικαστηρίου ἐγένετο, φόνος, πορνείας οἱονδήποτε εἶδος, μαγγανεία, εἰτοῦν γοητεία, καὶ πρὸ τούτων ἡ τῆς πίστεως ἄρνησις. Τούτοις ἢ ἑνὶ γοῦν τούτων ὁ περιπεσὼν εἰ μὲν πρὸ τῆς χειροτονίας, οὐ δύναται χειροτονηθῆναι· εἰ δὲ μετὰ τὴν χειροτονίαν, καθαιρεῖται πάντως τῆς ἰδίας τιμῆς ὁποιασοῦν τάξεως ὤν, κἂν θερμὴν καὶ διηνεκῆ μετάνοιαν ἐπαγγέλλεται. Οὐ τὴν θύραν τῆς μετανοίας κλείοντες αὐτῷ — ἄπαγε τοῦ Ναβατισμοῦ — ἀλλὰ καὶ ἀποδεχόμεθα μετανοοῦντα, συγγνώμην τε καὶ ἄφεσιν τῶν ἡμαρτημένων ἀναγγέλλομεν αὐτῷ, ναὶ μὲν καὶ τοῦ κυριακοῦ δείπνου τοῦτον ἀξιοῦμεν μετὰ τὴν συμπλήρωσιν τῆς ἐπενεχθείσης αὐτῷ ποινῆς· εἰς ἱερωσύνην δέ οὐκ ἀνάγομεν πολλῶν σκανδάλων ἕνεκα.

Ἰστέον δέ, ὅτι ἐν ἑκάστῃ διοικήσει εἷς ἐπίσκοπός ἐστι καὶ οὐδέπη πλείους. Ἔστι δὲ τὰ ὅρια τῶν διοικήσεων παρὰ τῶν ἀρχαίων διορισθέντα, καὶ μέχρι τῆς σήμερον ἀσάλευτα μένοντα. Ὑπόκεινται δὲ ἑκάστῃ τῶν διοικήσεων τοὐλάχιστον ἑκατὸν κῶμαι, ἐνίοτε καὶ πλείους. Αἱ δὲ λοιπαὶ τάξεις οὐκ ἀναγκαίως ἀπαιτοῦνται ἐν πᾶσι τοῖς ναοῖς· ἀρκέσει γὰρ μόνος ὁ Πρεσβύτερος εἴς τε τὴν διακονίαν τοῦ λόγου καὶ εἰς τὴν τῶν μυστηρίων ἱερουργίαν. Προσήκουσι δὲ αἱ λοιπαὶ τάξεις τοῖς μεγάλοις ναοῖς, ὅπου ἀρχιερατικὸς θρόνος ἵδρυται, καὶ ὅπου βασιλέως παρουσία συχνῶς γίνεται.

Κεφάλαιον 12.

Περὶ γάμου.

Γάμος ἐστὶν ἔννομος σύζευξις ἀνδρὸς καὶ γυναικὸς ἐπὶ σωφρονισμῷ τῶν συζευγνυμένων ἐπινοηθεὶς καὶ ἐπὶ παιδοποιΐᾳ. Καλεῖται δὲ καὶ οὗτος μυστήριον παρὰ τῷ Ἀποστόλῳ, οὐχ ὅτι τῇ αἰωνίῳ ζωῇ συμβάλλει, ὡς τἄλλα δύο μυστήρια, ἀλλ' ὅτι ἀφομοιοῦται τῷ Χριστῷ καὶ τῇ Ἐκκλησίᾳ. Καθώς, φησίν, ἠγάπησεν ὁ Χριστὸς τὴν ἐκκλησίαν, οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας· ἔτι· μέγα τὸ μυστήριον· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. Τίμιον οὖν τὸν γάμον ἡγεῖται ἡ ἐκκλησία, καὶ τὴν κοίτην ἀμίαντον κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν.

Οὐδένα δὲ τῶν βουλομένων ὑπεισδῦναι τῷ τοῦ γάμου ζυγῷ κωλύει αὕτη, ἀλλὰ πᾶσι συγχωρεῖ ἐξετάσασα πρότερον τὰ εἰκότα· οἷον εἰ μή τις συγγένεια σαρκικὴ εἴη μεταξὺ τούτων, εἰ μὴ οἱ συζευχθῆναι βουλόμενοι ἔφθησαν ἄλλοις προσώποις ἀλλαχοῦ συζευχθέντες, καὶ ἄλλα ἄττα νομιζόμενα παρ' ἡμῖν, ὧν καθαρεύοντας τοὺς νυμφευθησομένους εὑροῦσα

συζεύγνυσιν ἀλλήλοις γαμικῇ ζυγίᾳ (πρότερον μέντοι ὁμολογήσαντας αὐτοὺς αὐθαιρέτως ἥκειν ἐπὶ τὴν τοιαύτην συζυγίαν, καὶ τούτῳ φιλήματι ἀμοιβαίῳ βεβαιώσαντας) δι' εὐχῶν καὶ ἱκεσιῶν πρὸς τὸν Θεὸν ἀνάμνησιν ἐχουσῶν τῆς πρώτης συζυγίας τῶν ἀρχεγόνων ἡμῶν· οἷον Ἀδάμου καὶ Εὔας, Ἀβραάμου καὶ Σάρρας, Ἰσαάκου καὶ Ῥεβέκκας, Ἰακώβου καὶ Λείας, καὶ ἄλλων ἁγίων νομίμῳ γάμῳ διαπρεψάντων. Εἶθ' ἱκετεύει τὸν Θεόν, ἐπινεῦσαι τοῖς νεονύμφοις καὶ εὐλογῆσαι τούτους, δωρήσασθαί τε αὐτοῖς ἀγάπην ἀμοιβαίαν διηνεκῆ καὶ ἀδιάσπαστον, καρπόν τε κοιλίας χαρίσασθαι εὐλογημένον, ἄξιον ἐσόμενον τοῦ Θεοῦ καὶ τῆς ἐκκλησίας. Μετὰ ταῦθ' ὁ πρεσβύτερος ἐγχειρίζει τούτοις τοὺς δακτυλίους ἀλλήλων, τοῦ μὲν νυμφίου τῇ νύμφῃ, τῆς δὲ νύμφης τῷ νυμφίῳ· εἶτ' ἀλλήλων τὰς δεξιὰς συνάψας ἐπιτίθησι ταῖς ἐκείνων κεφαλαῖς στεφάνους ἐξ ἀειθαλοῦς φυτοῦ. Τελευταῖον δὲ ποτήριον κοινοῦ οἴνου τούτους ὀρέγει, ἐξ οὗ βραχὺ πιόντες οἴκαδε χωροῦσι, τῆς τοῦ γάμου τελετῆς πέρας λαβούσης.

Ἕκαστον δὲ τούτων δοκεῖ μὴ εἰκῇ καὶ ὡς ἔτυχε γίγνεσθαι, ἀλλὰ μετά τινος συμβολικῆς σημασίας.

Ἡ μὲν γὰρ τῶν δακτυλίων περίθεσις δηλοῖ ἑκάτερον ἑκατέρῳ ἑαυτὸν ἐγχειρίζειν, καὶ μηδέτερον τοῦ λοιποῦ ἐξουσιάζειν ἑαυτοῦ, ἀλλ' ἕτερον ἑτέρου κατὰ τὴν Ἀποστολικὴν φωνήν, φάσκουσαν· Ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή, ὁμοίως καὶ ἡ γυνὴ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνήρ.

Ἡ δὲ τῶν χειρῶν συναρμογὴ τὴν ἀδιάσπαστον τούτων καὶ διηνεκῆ ἕνωσιν σημαίνει.

Ἡ δὲ τῶν στεφάνων ἀνάδοσις βραβεῖον, ὥσπερ τῆς ἐκκλησίας τούτοις βραβευούσης, ὅτι καταπτύσαντες τὴν κλεψογαμίαν ἤγουν τὴν πορνείαν καὶ τὰς μετὰ τῶν πολλῶν συνουσίας, τὰς ἀλόγοις ζώοις μᾶλλον προσηκούσας ἢ λογικοῖς ἀνθρώποις, εὐδόκησεν εἷς μιᾷ συναφθῆναι κατὰ τὸ θέλημα τοῦ Θεοῦ.

Ὁ δὲ οἶνος τὴν εὐφροσύνην σημαίνει, ἣν ἡ ἐκκλησία τούτοις θεόθεν ἐπεύχεται. Παραλαμβάνεται γὰρ ὁ οἶνος πολλαχοῦ τῆς γραφῆς ἐπ' εὐφροσύνῃ συμβολικός· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Μένουσι δὲ τοῦ λοιποῦ ἀδιάσπαστοι ἀλλήλων καὶ κατ' οὐδένα τρόπον δύνανται χωρισθῆναι, εἰ μὴ ἐπὶ λόγῳ πορνείας, κατὰ τὸ Εὐαγγέλιον.

Πάρεστι δὲ καὶ ὁ νυμφαγωγὸς ἐκεῖ που πλησίον, ἁπτόμενος τῶν στεφάνων ἐπικειμένων ταῖς κορυφαῖς τῶν νεονύμφων, ὃν νυμφαγωγὸν ἀνάδοχον ποιοῦσιν ὡς ἐπὶ τὸ πολὺ τοῦ πρωτοτόκου τέκνου, ἤγουν ἐκεῖνος ἀναδέχεται αὐτὸ ἐκ τοῦ ἁγίου βαπτίσματος.

Ἰστέον δέ, ὅτι οἱ νυμφευθησόμενοι παρ' ἡμῖν οὐδέποτε βλέπουσιν ἀλλήλους πρὸ τοῦ γάμου.

Συγκροτεῖται δὲ τὰ σύμφωνα τῆς μνηστείας διά τε τῶν γονέων καὶ τοῦ παρανύμφου, εἴτ' οὖν νυμφαγωγοῦ. Καὶ μέντοι τηλικοῦτος σύνδεσμος ἀγάπης θεόθεν αὐτοῖς ἐντίθεται, ὡς θᾶττον ἄν τις ἕλοιτο τὸν ἑαυτοῦ θάνατον ἢ τὸν τοῦ ἑτέρου.

Ἔτι οὐδὲ τοῦτο ἀγνοητέον, ὅτι ἡ καθολικὴ ἐκκλησία μέχρι μὲν δευτέρου καὶ τρίτου γάμου συγκαταβαίνει, τέταρτον δὲ γάμον οὐκ ἔχει.

Ἀλλὰ καὶ οἱ ῥηθέντες δύο ὅ τε δεύτερος καὶ τρίτος οὐκ ἄνευ αἰτίας συγχωροῦνται· δηλονότι, εἰ οἱ γαμήσοντες νέοι ἔτι τυγχάνουσι καὶ οὐ δύνανται φέρειν τὸν καύσονα τῆς σαρκός, καὶ πρὸς τούτῳ, εἰ ἄπαιδες ὄντες καὶ κληρονόμων δεόμενοι, τυγχάνουσι τῆς τοιαύτης συγγνώμης. Εἰ δ' ἀφήλικες ἤδη ἐγένοντο καὶ παῖδας εἰς διαδοχὴν τῆς οὐσίας ἐκ τῶν προτέρων συζύγων ἐσχήκασιν, οὐδαμῶς.

Κεφάλαιον 13.

Περὶ εὐχελαίου.

Εὐχέλαιόν ἐστι τελετὴ μυστικὴ δι' ἐλαίου καὶ προσευχῶν ὑπὸ τῆς ἐκκλησίας ἱερουργημένη ὑπὲρ πιστῶν νοσούντων. Χριόμενοι γὰρ οἱ κάμνοντες τῷ τοιούτῳ ἐλαίῳ μετὰ πίστεως καὶ ἀγαθῆς ἐλπίδος εἰς τὸν Θεὸν βοηθείας ἐκεῖθεν τυγχάνουσιν.

Αὕτη ἡ μυστικὴ τελετὴ τὴν ἀρχὴν μὲν ἔσχε παρὰ τοῦ νυμφίου καὶ κυρίου τῆς ἐκκλησίας, ὑπὸ μάρτυρι τῷ θείῳ Μάρκῳ τῷ Εὐαγγελιστῇ· Καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ ἐθεραπεύοντο. Οὐκ ἂν δέ, εἰ μὴ προσετάγησαν, ἐτόλμησαν ποιῆσαι οἱ μαθηταί. Ἐπετράπη δὲ καὶ πάσῃ τῇ ἐκκλησίᾳ παρὰ τῶν Ἀποστόλων, ὥς φησιν ὁ θεῖος Ἰάκωβος· Ἀσθενεῖ τις ἐν ἡμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας καὶ προσευξαύσθωσαν ὑπὲρ αὐτοῦ, ἀλείψαντες αὐτὸν ἐλαίῳ, καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα. Κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. Σώζεται τοίνυν παρὰ τῇ Ἐκκλησίᾳ τοῦτο μέχρι τοῦ δεῦρο.

Ἐπειδὴ γὰρ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις νοσήματα οὐ πάντα ἐκ δυσκρασίας καὶ ἀνωμαλίας τῶν στοιχείων, ἐξ ὧν τὰ σώματα σύγκειται, συμβαίνει εἰῶθεν· ἀλλὰ καὶ ἐξ ἁμαρτιῶν, οἷά τις ποινὴ θεήλατος ἐπιφερομένη τοῖς ἐκλεκτοῖς, ἁμαρτάνουσι τοῦ ὀρθοῦ, εἰς σωφρονισμὸν καὶ διόρθωσιν τοῦ ἐπιλοίπου βίου καὶ εἰς κουφισμὸν καὶ συστολὴν τῆς μετὰ θάνατον ποινῆς, ἣν μόνη ἡ ψυχὴ ὑφίσταται δίχα τοῦ σώματος, προσκαίρως μὲν καὶ μετὰ χρηστῆς ἐλπίδος, ὡς σωθήσεται ταύτης ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἀλγεινῶς δὲ ἄλλως καὶ λίαν δυσφόρως. Ὅτι δὲ ἐξ ἁμαρτιῶν συμβαίνουσι πολλαὶ τῶν νόσων, ἱκανῶς ἐμάθομεν παρὰ τοῦ Κυρίου λέγοντος πρὸς τὸν παράλυτον· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον σοί τι γένηται. Δῆλον ἄρα, τὴν παράλυσιν ἐξ ἁμαρτιῶν συμβᾶσαν τῷ παραλύτῳ· οὐκοῦν καὶ πολλοῖς ἄλλοις. Εἰκότως τοίνυν ἡ ἐκκλησία ἱκετεύει τὸν φιλάνθρωπον Θεόν, ἀφεθῆναι τῷ κάμνοντι τὰς ἁμαρτίας ἐκείνας, δι' ἃς τῇ παρούσῃ νόσῳ ὥσπερ πατρικῇ ῥάβδῳ ἔνοχος ἐγένετο. Τοῦτο γὰρ βούλεται τό· κἂν ἁμαρτίας ᾖ πεποικῶς, ἀφεθήσεται αὐτῷ. Οὐκ ἀπορεῖ Ἀπόστολος ἐνθάδε, εἴτις τῶν χριστιανῶν ἐστι ἁμαρτωλός, εἶδε γάρ, ὅτι πάντες ἐν ἀνομίαις συνελήφθημεν, καὶ ἐν ἁμαρτίαις ἐγεννήθημεν· καί· Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ψευδόμεθα. Ὥστε οὐχ ἁπλῶς εἰ ἁμαρτωλός ἐστιν,

ἀλλὰ κἂν ἐξ ἁμαρτίας συνέβη αὐτῷ ἡ νόσος ἀφεθήσεται οἱ μετὰ τῆς ποινῆς.

Ὁ δὲ τρόπος καὶ ἡ ἀκολουθία τῆς μυστηριώδους ταύτης τελετῆς οὕτως ἔχει. Νοσήσαντός τινος τῶν πιστῶν, προσκαλοῦνται ὑπὸ τῶν οἰκείων αὐτοῦ ἑπτὰ πρεσβύτεροι· δυνατὸν δὲ καὶ ἐλάττους τῶν ἑπτά, ὡς καὶ μέχρις ἑνὸς συστέλλεσθαι τὸν ἀριθμόν, μὴ παρόντων ἄλλων. Καὶ εἰ μὲν οἷόν τε τὸν κάμνοντα εἰς τὸν ναὸν ἰέναι, ἐκεῖ ἱερουργεῖται· εἰ δὲ μή, ἐν τῷ οἴκῳ τοῦ ἀρρωστοῦντος. Προτίθεται οὖν ἐπὶ τῆς τραπέζης σκευάριον, ἐν ᾧ οἶνος καὶ ἔλαιον, ὅτι ταῦτα καὶ ὁ ἐν παραβολῇ Σαμαρείτης προσέφερε τῷ λησταῖς περιπεσόντι. Φησὶ γάρ· Ἐπιχέων αὐτῷ ἔλαιον καὶ οἶνον, σημαντικὰ ὄντα τῆς τοῦ Θεοῦ χάριτος τῆς ἱλαρᾶς καὶ εὐφραντικῆς. Περὶ ὃ σκευάριον τίθενται ἑπτὰ θρυαλλίδες, δι' ὧν χρίσουσιν οἱ πρεσβύτεροι τὸν νοσοῦντα. Περιέχονται δὲ ἐν τῇ τελετῇ ἑπτὰ εὐχαὶ, ἑπτὰ περικοπαὶ τοῦ Εὐαγγελίου καὶ τοσαῦται ἀποστολικαί. Ἀναγινώσκει δὲ ἕκαστος τῶν πρεσβυτέρων μίαν περικοπὴν ἀποστολικὴν καὶ μίαν εὐαγγελικὴν καὶ μίαν εὐχήν. Μεθ' ὃ βάψας μίαν τῶν θριαλλίδων τῷ ἐλαίῳ, χρίει τὸν κάμνοντα ἐπὶ τοῦ μετώπου κἀπὶ τῶν στέρνων, ἐπί τε τῶν χειρῶν καὶ τῶν ποδῶν, σταυροῦ τύπῳ παντα-χοῦ, λέγων ἐν τῷ χρίειν ταύτην τὴν εὐχήν· Πάτερ ἅγιε, ὁ ἀποστείλας εἰς τὸν κόσμον τὸν μονογενῆ σου υἱὸν τὸν κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, πᾶσαν νόσον ἰώμενον καὶ πᾶσαν μαλακίαν θεραπεύοντα, αὐτὸς καὶ νῦν ἐν τῷ ὀνόματι τοῦ μονογενοῦς σου υἱοῦ χάριτι καὶ ἐπι-φοιτήσει τοῦ παναγίου πνεύματος ἴασαι τὸν δοῦλόν σου τὸν δεῖνα, ἀπαλλάττων αὐτὸν τῆς κατεχούσης νόσου, ἀνιστῶν τε τοῦτον ἀπὸ κλίνης ὀδυνηρᾶς, ἵνα ὑγιαίνων δοξάζῃ σε τὸν ἄναρχον πατέρα καὶ τὸν συνά-ναρχόν σου υἱὸν ἅμα τῷ συναϊδίῳ σου πνεύματι, ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσι καὶ μιᾷ οὐσίᾳ, ᾧ δόξα καὶ τιμὴ καὶ κράτος πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Τὰ αὐτὰ δὲ ποιεῖ ἕκαστος τῶν ἑπτὰ πρεσβυτέρων. Εἰ δ' ἐλάττους ὦσιν, ὡς εἴρηται, τινὲς τούτων ἀναγινώσκουσι διπλᾶ. Εἰ δὲ εἷς μόνος, ἐκεῖνος ἀναγινώσκει πάντα, καὶ ἑπτάκις χρίει τὸν κάμνοντα, ἑπτάκις ἐπιλέγων τὴν ἄνωθεν εὐχήν.

Καλεῖται δὲ τοῦτο εὐχέλαιον οὐκ ἐσχάτη χρίσις· οὐ γὰρ μένομεν τὰ λοίσθια τοῦ κάμνοντος καὶ τότ' εἰς ταύτην ἐρχόμεθα, ἀλλ' ἔτι ἐλπίδας ἀγαθὰς ἔχοντες ὑπὲρ τῆς ὑγιείας ἐκείνου χρώμεθα τούτῳ τῷ μυστηρίῳ εἰτοῦν μυστηριώδει τελετῇ, δεόμενοι τοῦ θεοῦ, ἰατρεῦσαι τοῦτον καὶ τῆς νόσου διὰ τάχους ἀπαλλάξαι. Ὥστε οὐχ ἅπαξ τοῦ βίου, ἀλλὰ καὶ πολ-λάκις ἔξεστι χρῆσθαι τούτῳ· καθὰ καὶ τοῖς ἰαματικοῖς φαρμάκοις το-σαυτάκις χρώμεθα, ὁσάκις νοσήσωμεν.

Κεφάλαιον 14.

Περὶ τῶν λοιπῶν τῆς ἐκκλησίας παραδόσεων.

Περὶ μὲν οὖν τῶν ἁγίων μυστηρίων καὶ τῶν περὶ ταῦτα τελετῶν ἀρκούντως ἤδη λέλεκται. Ἀπεδείχθη γάρ, τὰ μὲν μυστήρια εἶναι ἐκ προστάγματος Θεοῦ, τὰς δὲ τούτων τελετὰς παραδόσεις εἶναι τῆς παλαιᾶς

καὶ πρωτοτύπου ἐκκλησίας, συνειλεγμένας μέντοι ὡς τὰ πολλὰ παρὰ τῆς ἁγίας γραφῆς.

Παρὰ ταύτας δὲ ὁρῶμεν καὶ ἄλλας παραδόσεις, ἃς ἡ τοὺς Ἀποστόλους ἐκκλησία δεξαμένη παρέλαβέ τε καὶ τοῖς μετ' αὐτὴν παρέδωκε φέρουσα, χρησίμους τε οὔσας καὶ τὸ κοινὸν ταύτης πλήρωμα κοσμούσας, εἰ μόνον μετὰ τοῦ προσήκοντος λόγου καὶ ἄνευ καταχρήσεως λαμβάνοιντο. Πανταχοῦ γὰρ ἡ κατάχρησις κακόν, ὃ κἂν αὐτοῖς τοῖς πάνυ ἰαματικοῖς φαρμάκοις πάρεστιν ἰδεῖν. Κἀκεῖνα γὰρ μὴ προσηκόντως καὶ κατὰ λόγον προφερόμενα τοσοῦτον ἀπέχει τοῦ ἰᾶσθαι τοὺς καταχρωμένους, ὅσον καὶ βλάπτει τὰ καίρια, καίπερ ἰαματικῆς φύσεως λαχόντα. Ὅμως ὥσπερ ἐκεῖνα οὐκ ἀποδοκιμάζεται παρὰ τῶν ἰατρῶν διὰ τὴν τῶν ἀφρόνων κατάχρησιν, ἀλλὰ διδάσκουσιν οὗτοι ἐκείνους, οἷς σωφροσύνης μέτεστι καὶ φροντὶς τῆς σφῶν ὑγιείας, εὐλόγως τούτων μετέχειν καὶ τῆς ἀπ' αὐτῶν ἰάσεως καρποῦσθαι, οὕτω καὶ ἡ ἀληθὴς τοῦ Χριστοῦ ἐκκλησία, οὐ διότι τινὲς ἀλόγως καὶ ἀκόσμως ταῖς παραδόσεσι χρῶνται, ἀποβλήτους ταύτας ἡγεῖται, ἀλλὰ προτρέπεται τοὺς εὐσεβεῖν αἱρουμένους, εὐσεβεῖ λόγῳ ταύταις χρῆσθαι καὶ τῆς ἀπὸ τούτων ὠφελείας μὴ στερεῖσθαι.

Εἰσὶ μὲν οὖν αἱ κυριώτεραι παραδόσεις τῆς ἀρχαιοτάτης ἐκκλησίας, αἳ μέχρι τῆς σήμερον παρὰ τῇ ταύτην διαδεξαμένῃ Ἀνατολικῇ καὶ φωταυγεῖ ἐκκλησίᾳ σώζονται ἀκραιφνῶς καὶ ἄνευ τῆς οἱασοῦν προσθαφαιρέσεως αὗται.

Ἡ τιμὴ τῶν ἁγίων εἰκόνων καὶ τῶν ἁγίων λειψάνων· ἡ ἐπίκλησις τῶν ἁγίων· ἡ παρατήρησις τῆς τεσσαρακονθημέρου νηστείας πρὸ τοῦ πάσχα, ὁμοίως καὶ ἡ παρατήρησις τῶν τετάρτων καὶ ἕκτων ἡμερῶν, πασῶν τῶν τοῦ ἐνιαυτοῦ ἑβδομάδων· ἡ τάξις τῶν μοναχῶν· τὸ εὔχεσθαι ὑπὲρ τῶν κεκοιμημένων, τὸ εὔχεσθαι κατὰ ἀνατολάς, τὸ μὴ κλίνειν γόνυ ἐν ἡμέρᾳ κυριακῇ καὶ καθ' ὅλην τὴν Πεντηκοστήν.

Περὶ ἑκάστης τούτων τῶν παραδόσεων δύναται ἡ καθολικὴ ἐκκλησία τὸν πρόσφορον λόγον ἀποδοῦναι, ὡς μηδένα τῶν σωφρονούντων ἀντειπεῖν ἔχειν, ἀλλὰ πάντας συμφάσκειν αὐτῇ ὀρθῶς φρονούσῃ. Ὃν δὴ λόγον τάχ' ἂν πλατύτερον διεξῆλθον, ἀλλὰ τοῦ καιροῦ μὴ συγχωροῦντος, ἄλλως τε καὶ πρὸς ἄνδρας εἰδήμονας καὶ πολυμαθεστάτους ταῦτα γράφων πειράσομαι, ὡς ἔνι μάλιστα, διὰ βραχέων παραστῆσαι τὴν εὐσεβῆ καὶ ὀρθόδοξον γνώμην τῆς ἐκκλησίας, ἣν ἔχει περὶ τὰ τοιαῦτα.

Κεφάλαιον 15.

Περὶ ἁγίων εἰκόνων.

Αὐτὸ μὲν τὸ ποιεῖν ἁγίας εἰκόνας παρὰ τῆς ἁγίας γραφῆς δοκεῖ ἡ ἐκκλησία λαβοῦσα. Φαίνεται γὰρ ἐκεῖ ὁ Θεὸς κελεύων τὸν Μωϋσῆν ποιῆσαι Χερουβίμ, τοῦτ' ἔστιν εἰκόνας τῶν Χερουβίμ. (Ἔξοδ. κέ. 28.)

Τὸ δὲ μὴ ὡς ἔτυχε ταύταις προσφέρεσθαι, ἀλλὰ μετά τινος αἰδοῦς καὶ εὐλαβείας, παραδειγματικῶς καὶ τοῦτο ἐκεῖθεν συνάγεται. Καὶ γὰρ καὶ ἡ τῶν Ἰουδαίων συναγωγή, πάντα τὰ τῷ Θεῷ ἀφιερούμενα, εἴτε

τὴν κιβωτόν, εἴτε τὰ τῆς θυσίας σκεύη ἐξ οἱασδήποτ' ὕλης ὄντα, εἴτ' ἄλλ' ὁτιοῦν ἀνάθημα διὰ τιμῆς ἦγεν οὐ τῆς τυχούσης, ὡς μηδὲ ἅπτεσθαι τούτων γοῦν θεμιτὸν ἦν. Καὶ ὁ θεὸς ἀπεδέχετο καὶ τοῖς μὴ οὕτω πρὸς τὰ ἅγια διακειμένοις πολλάκις φαίνεται χαλεπήνας, ὡς τῷ Ὀζᾶν ἐκείνῳ, τολμηρῶς ἁψαμένῳ τῆς κιβωτοῦ, καὶ τῷ βαρβάρῳ βασιλεῖ, μὴ εὐλαβῶς χρησαμένῳ τοῖς ἁγίοις σκεύεσι, τὸν μὲν αἰφνιδίῳ θανάτῳ καταδικάσας, τὸν δὲ τῆς βασιλείας στερήσας καὶ τοῖς ἀλόγοις συνδιαιτᾶσθαι ποιήσας. Καὶ εἰκότως γε ταῦτ' ἄμφω πεπόνθατον, εἰς τὰ ἅγια ἐξυβρίσαντε. Ὧν γὰρ τὰ πρωτότυπα ἅγια, τούτων καὶ αἱ εἰκόνες ἅγιαι, καὶ ὧν τὰ πρωτότυπα τιμητέα, τούτων καὶ αἱ εἰκόνες τιμητέαι.

Τούτοις τοῖς παραδείγμασιν ἑπομένη ἡ ἀρχαία ἐκκλησία εἰκονίζειν ἤρξατο τὰ εἰκονικά, τοῦτ' ἔστιν ὅσα σῶμα περίκειται, ἢ ὅσα μὴ περίκειται μέν, ὤφθη δέ τισιν ἐν σώμασι, διὰ τὸ μὴ δύνασθαι ἄλλως ὁραθῆναι· οἷον ἄγγελοι ὤφθησάν τισι τῶν ἁγίων ἐν σχήμασι καὶ εἴδεσιν ἀνδρῶν. Τῆς θείας δὲ καὶ ἀσχηματίστου οὐσίας εἰκόνα οὐδεὶς ποτ' ἐπενόησε ποιῆσαι. Οὐ γὰρ θέμις, τὸν ἀπερίγραπτον θεὸν περιγραπτῇ εἰκόνι παρεικάζειν. Ἀλλ' ἐν πρώτοις τὸ τοῦ θεοῦ λόγου σαρκικὸν πρόσλημμα, ᾧ αὐτὸς καθ' ὑπόστασιν ἑνωθεὶς τὴν ἡμῶν σωτηρίαν κατειργάσατο, τά τε ἐκείνου ὑπὲρ ἡμῶν πάθη καὶ τὰς θεοσημείας· εἶτα καὶ τοὺς ἐκείνῳ εὐαρεστάσαντας καὶ διὰ τοῦτο ἁγίους ὀνομασθέντας, τάς τε ἀνδραγαθίας αὐτῶν, ὅσας ἐκείνου τῇ δυνάμει τοῦ ἐσταυρωμένου ἐποιήσαντο· πρὸ δὲ τῶν ἄλλων ἁγίων αὐτῆς τῆς τὸν πάντα ἁγιάζοντα ἀσπόρως κυησάσης καὶ ἀφθόρως τεκούσης, τῆς δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· Ἐνίοτε δὲ καὶ ἄγγελοι εἰκονίζονται, οὐ καθ' ὃ φύσεως ἔχουσιν· ἀόρατος γὰρ ἡμῖν αὕτη, ἀλλ' ὡς ὤφθησαν ἀνθρώποις βουλήματι θεοῦ, ὃ καὶ πρότερον εἴρηται.

Τούτων οὖν εἰκόνας ἡ Ἐκκλησία ἐποίει οὐ γλυπτάς, οὐδὲ λαξευτὰς ἀλλὰ γραπτὰς μόνον, ὡς πάρεστι μαθεῖν ἔκ τε τοῦ Εὐσεβείου καὶ Εἰρηναίου ἀνδρῶν ἀρχαιοτάτων καὶ ἐκ πολλῶν ἄλλων ἁγίων πατέρων τῆς πρωτοτύπου ἐκκλησίας.

Αἷς ἁγίαις εἰκόσι καὶ τιμὴν τὴν προσήκουσαν ἀπένεμεν· οὐ λατρευτικὴν ἣ δουλικήν, ἄπαγε· αὕται γὰρ θεῷ μόνῳ προσήκουσιν, ἀλλὰ σχετικὴν καὶ φιλικήν, ἀναφέρουσα μέντοι καὶ ταύτην ἐπὶ τὰ ἐκείνων πρωτότυπα, ὥς φησιν ὁ ἐν ἁγίοις Βασίλειος ὁ μέγας· Ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει.

Ὁ δὲ τρόπος τῆς τιμῆς ἐστιν οὗτος. Ἑορτῆς τινος ἀγομένης προτίθεται ἐν τῷ μέσῳ τοῦ ναοῦ εἰκών, τὴν ἀγομένην ἑορτὴν ἐξεικονίζουσα· οἷον, εἰ τὰ τοῦ Χριστοῦ γενέθλια ἄγεται, ταῦτα ἡ εἰκὼν περιέχει· εἰ δ' ἡ ἀνάστασις, ταύτην· εἰ δ' ἁγίου τινὸς ἑορτή, ἐκεῖνος εἰκονίζεται, ἣν εἰκόνα ἕκαστον τῶν ἐν τῷ ναῷ παρόντων Χριστιανῶν δεῖ ἀνακαλύψαντα τὴν κεφαλὴν κῦσαι, τοῦτ' ἔστι τοῖς χείλεσι φιλῆσαι.

Οὕτως ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος — ἑπτὰ γὰρ καὶ μόνας οἰκουμενικὰς συνόδους ἡμεῖς ἀποδεχόμεθα, κἀκ τῶν τοπικῶν, εἰτοῦν μερικῶν ὅσα αἱ οἰκουμενικαὶ ἑπτὰ ἐδέξαντό τε καὶ ἐβεβαίωσαν — ἡ ἐν Νικαίᾳ τὸ δεύτερον συναθροισθεῖσα τὸ προσκυνεῖν τὰς ἁγίας

εἰκόνας ἠρμήνευσεν. Ἐκθεῖσα γὰρ αὕτη ἀναθεματισμὸν οὕτως ἔχοντα· Εἴ τις οὐ προσκυνεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν περιγραπτὸν ἐν τῇ εἰκόνι, ἤτω ἀνάθεμα, ἠθέλησε καὶ τὸ προσκυνεῖν σαφηνίσαι, τί ἐνταῦθα βούλεται, παραγαγοῦσα μαρτυρίαν τῆς σημασίας ταύτης ἐκ τοῦ Ὁμήρου. Κύνησε δέ μιν. Εἶτ' ἐπιφέρει· ἔστι κυνέω ὥ τὸ φιλῶ τοῖς χείλεσι καὶ μετὰ τῆς πρὸς προθέσεως προσκυνέω ὥ, ὥσπερ τρώγω, κατατρώγω, πίνω, καταπίνω, τῶν προθέσεων οὐδὲν ἄλλο δηλουσῶν ἢ πλείονα ἔμφασιν· οὕτω κυνῶ καὶ προσκυνῶ. Ταῦτα τῆς Συνόδου ῥήματα.

Φαίνεται τὸ προσκυνεῖν μηδὲν ἕτερον ἐνταῦθα σημαίνειν ἢ τὸ τοῖς χείλεσι φιλεῖν οὐ μόνον ἐκ τῶν προσεχῶς ῥηθέντων, ἀλλὰ καὶ ἔκ τινος ὕμνου, ὃν κοινῇ ἐπ' ἐκκλησίας ψάλλομεν τῇ ἑορτῇ τοῦ ἁγίου σταυροῦ. Ὅς ὕμνος οὕτω κατὰ λέξιν ἔχει·

Ὅνπερ πάλαι Μωϋσῆς ἐν ἑαυτῷ προτυπώσας τὸν Ἀμαλὴκ καταλαβὼν ἐτροπώσατο, καὶ Δαβὶδ ὁ μελῳδὸς ὑποπόδιόν σου βοῶν προσκυνεῖσθαι διετάξατο, τίμιον σταυρόν σου, Χριστὲ ὁ Θεός, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ ἀναμνοῦντες βοῶμεν· Κύριε σὺν τῷ ληστῇ τῆς βασιλείας σου ἀξίωσον ἡμᾶς.

Σημειωτέον οὖν, τί ὁ ὕμνος φησί· σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις. Οὐκ εἶπε γόνασιν ἢ σώμασιν ἢ κεφαλαῖς, ἀλλὰ χείλεσιν. Ἔστι δ' οὗτος ὁ ὕμνος ἀρχαιότατος.

Εἰσὶ δέ τινες παρ' ἡμῖν, οἱ διαφορὰν ἐθέλουσι ποιεῖν ἐν τῇ τοιαύτῃ προσκυνήσει εἰτοῦν εὐλαβεῖ φιλήματι, λίαν ἐπαινετήν. Εἰ μὲν γὰρ ἡ προκειμένη εἰκὼν εἴη τοῦ κυρίου, περὶ τοὺς πόδας ταύτην θέλουσι φιλεῖν· εἰ δὲ τῆς ἀειπαρθένου ἐκείνου μητρός, περὶ τὰς χεῖρας· εἰ δέ του τῶν ἁγίων περὶ τὸ πρόσωπον· ἣν διαφορὰν οἱ ἐν ἡμῖν ἐπιεικέστεροι καὶ εὖμαθέστεροι καὶ ἄγανται καὶ ἀποδέχονται. Χρὴ γὰρ διαφορὰν εἶναι μεταξὺ δεσπότου καὶ δούλων.

Κεφάλαιον 16.

Περὶ ἁγίων λειψάνων.

Τὴν αὐτὴν δὲ τιμὴν ἀπονέμει ἡ ἐκκλησία καὶ τοῖς ἁγίοις λειψάνοις, εἰ μόνον ἀληθῆ καὶ ἀνόθευτα εἴη. Πολλαὶ γὰρ πανουργίαι καὶ καπηλίαι ἐπενοήθησαν περὶ ταῦτα, ὡς συμβαίνειν τὸν αὐτὸν ἅγιον, οὗ τὰ λείψανα ὀνομάζουσι τρικέφαλον καὶ τετρακέφαλον εἶναι, τοσαυτόχειρά τε καὶ τοσαυτόποδα. Πολλαχοῦ γὰρ δεικνύουσι τὰ αὐτὰ μέλη τοῦ αὐτοῦ ἁγίου, ὅπερ ὡς ἄτοπον καὶ καπηλευτικὸν ἡ ἐκκλησία μισεῖ καὶ ἀποτρέπεται.

Περὶ δὲ τῆς ὀφειλομένης τοῖς ὄντως ἁγίοις λειψάνοις τιμῆς τόν δε τὸν λόγον ἀποδίδωσι.

Ἐπειδὴ οἱ ἐθνικοί, οἱ διῶκται τῶν χριστιανῶν, ἐπονείδιστον καὶ ἐφύβριστον ἡγοῦντο τὸν ὑπὲρ Χριστοῦ θάνατον· ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ τίμιον καὶ ἔνδοξον θέλων ἀποδεῖξαι τὸν τοιοῦτον

τρισόλβιον θάνατον, ἅτε δὴ ὑπὲρ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ γενόμενον, ἐπέθηκε τοῖς λειψάνοις τῶν ὑπὲρ ἐκείνου θανόντων χάριν καὶ δωρεὰν τοῦ παναγίου πνεύματος, ὅπερ ἡ ἐκκλησία καταμαθοῦσα προθύμως ἀπεδέξατο καὶ τοῖς μετ' ἔπειτα παρέδωκεν.

Ὅτι δὲ ἀληθῶς χάρις τοῦ παναγίου πνεύματος προσετέθη τοῖς ἁγίοις λειψάνοις, μαρτυροῦσι πολλοὶ τῶν ἀρχαιοτάτων τῆς ἐκκλησίας συγγραφέων, καὶ σοφοὶ καὶ ἅγιοι τὰ διὰ τῶν ἁγίων λειψάνων γενόμενα θαύματα· οἷον δαιμόνων φυγὰς καὶ ποικίλων νοσημάτων θεραπείας. Ὧν τοὺς τόπους καιροῦ διδόντος δυνάμεθα παραστῆσαι, εἰ καὶ νῦν διὰ τὸ κατεπεῖγον τῆς ὥρας τούτους παρατρέχω.

Κεφάλαιον 17.

Περὶ ἐπικλήσεως τῶν ἁγίων.

Οἱ παλαιοὶ ἐκεῖνοι καὶ ἅγιοι τῆς πρωτοτύπου ἐκκλησίας προστάται, ἰδόντες πολλὰς ἀποκαλύψεις διὰ τῶν τῇδε μεταστάντων ἁγίων γενομένας τοῖς ἔτι τῷ βίῳ τούτῳ περιοῦσι χριστιανοῖς — οἷον Γρηγόριον τὸν θαυματουργόν, τὸν ἀκροατὴν Ὠριγένους, ἐξ ἀποκαλύψεως διδασκόμενον τὴν εὐσεβῆ τῶν χριστιανῶν πίστιν διὰ τοῦ ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ τῆς παναγίας Θεοτόκου· Κωνσταντῖνον τὸν μέγαν καὶ πρῶτον ἐν χριστιανοῖς βασιλεῦσιν, ὑπὸ τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου διδασκόμενον τὸν χριστιανισμόν· καὶ αὐτὸς ὁ περιθανέστατος ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος φησί, πολλάκις κατ' ὄναρ νουθετεῖσθαι ὑπὸ τοῦ μεγάλου Βασιλείου, ἤδη τὸ χρεὼν λειτουργήσαντος· ἀλλὰ καὶ πολλὰ τούτοις παρόμοια εὑρίσκεται ἐν ταῖς ἱστορίαις τῆς ἀρχαίας ἐκκλησίας — συνῆκαν ἐκ πνεύματος ἁγίου τὴν ἤδη ἐν οὐρανῷ θριαμβεύουσαν ἐκκλησίαν μὴ ἀναίσθητον εἶναι τῶν ἀναγκῶν καὶ παθημάτων τῆς ἐπὶ γῆς ἔτι στρατευομένης ἐκκλησίας, μηδὲ κάρῳ τὰς τῶν ἁγίων ψυχὰς κατέχεσθαι μέχρι τῆς ἀναστάσεως καθάπερ ὑπὸ μανδραγόρᾳ καθεζούσας, ὅπερ ἔδοξέ τισι λίαν ἀνοήτως.

Θαυμαστὸν δέ, πῶς διέλαθεν αὐτοὺς τὸ τοῦ Ἀποστόλου ἐπιθυμοῦντος ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Οὐ γὰρ ἂν ἐπεθύμησέ ποτ' ἐν κάρῳ ἔσεσθαι, εἰ τοῦτο οἶδε.

Ταῦτ' οὖν συνιέντες οἱ τῆς ἀρχαίας ἐκκλησίας τρόφιμοι καὶ θεόθεν κινούμενοι — οὐδὲν γὰρ ἀθεεὶ κοινῇ πάντες οἱ ἐκλεκτοὶ δύνανται ποιῆσαι — ἤρξαντο τοὺς ἁγίους ἐπικαλεῖσθαι εἰς πρεσβείαν, ἅμα μὲν ἀναιροῦντες διὰ τούτου τὴν ὡς ἀληθῶς κεκαρωμένων ματαίαν ὑπόληψιν, ἐμφαίνοντές τε ἐνεῖναι ταῖς ψυχαῖς αἴσθησιν καὶ δίχα τῶν σωμάτων· οὐ γὰρ ἀναισθήτους ἐπεκαλέσαντο ἄν· ἅμα δὲ πιστεύοντες τὸ πανάγιον πνεῦμα τὸ ἐν ἐκείνοις οἰκοῦν ἀποκαλύπτειν αὐτοῖς τὴν χρείαν τῶν ἐπικαλούντων, εἰς συμπάθειαν τῶν ἀδελφῶν τούτοις διεγεῖρον, ἥτις συμπάθεια ἐμφαίνει τὴν ἑνότητα ἐκείνων τε καὶ ἡμῶν, εἴπερ τι ἄλλο, ἣν ὁ Ἀπόστολος τοῖς τοῦ σώματος μέλεσι παρείκασεν, ὧν ἑνὸς πάσχοντος οὐκ ἔσθ' ὅπως μὴ καὶ πάντα συμπάσχειν καὶ συναλγεῖν τῷ κάμνοντι μέλει.

Εἰ γὰρ ἔτι τῷ σώματι τούτῳ τῷ παχεῖ τῆς ψυχῆς προκαλύμματι — ὅθεν οὐκ ἄλλως εἰ μὴ ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι δυνάμεθα καθορᾶν τι τῶν ὑψηλοτέρων καὶ πνευματικοῖς προσηκόντων — οὗσι τοῖς ἁγίοις ἀπεκαλύφθη τὰ πόρρω, οἷον τῷ προφήτῃ Ἐλισσαίῳ ἡ τοῦ Γιεζῆ πονηρία, τῷ ἀποστόλῳ Παύλῳ ἡ τῶν ἡμεδαπῶν Μακεδόνων χρεία· ὅραμα, φησίν, ὤφθη τῷ Παύλῳ· ἀνήρ τις Μακεδὼν ἑστώς, παρεκάλει αὐτὸν λέγων· διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν· πῶς οὐχὶ νῦν μᾶλλον τῆς σκηνῆς καὶ τοῦ ἐπιπροσθοῦντος καλύμματα ἀπαλλαγεῖσι τούτοις τρανώτερον τὰ ἡμέτερ' ἀποκαλυφθήσεται, ἵνα μὴ ἐνδεέστεροι ἡμῶν ὦσιν ἐν τούτῳ;

Ἡμῖν μὲν γὰρ δεδομένοι εἰσὶ πολλοὶ τρόποι τοῦ τὰ πόρρω εἰδέναι· αἵ τε ἱστορίαι, δι' ὧν οἴδαμεν, τί ἐν Ἀμερικῇ πράττεται καὶ τί ἐν Αἰθιοπίᾳ· καὶ αἱ ἐπιστολαί, δι' ὧν μανθάνουσι τὰ περὶ τῶν φίλων, εἰ καὶ πάνυ ἡμῶν ἀπεσχοινισμένων, τίνες τούτων τοῖς ζῶσιν ἔτι καταλέγονται, τίνες δ' αὖ τὸν βίον μετήλλαξαν, τάς τε δυστυχίας καὶ εὐτυχίας τούτων, ἐφ' οἷς ἤτοι συνηδόμεθα τούτοις ἢ συμπάσχομεν, καὶ τὰ κρείττω παρὰ τοῦ θεοῦ ἐκείνοις εὐχόμενα, δεικνύοντες μέλη ἀλλήλων εἶναι.

Δεῖ οὖν καὶ τοῖς ἁγίοις τρόπον τινὰ εἶναι τῆς τῶν πόρρω γνώσεως, εἰ δὲ μή, ἐλαττοῦνται ἡμῶν ἐν τούτῳ, ἥτις γνῶσις τῶν πόρρω τὰ μέγιστα συμβάλλεται εἰς τὴν τοῦ θεοῦ δόξαν καὶ εἰς τὴν τιμὴν τῆς λογικῆς κτίσεως.

Ἔστιν οὖν αὐτοῖς τρόπος οὐθ' ἱστορίαι, οὔτ' ἐπιστολαὶ ἀλλ' ἡ ἀποκάλυψις τοῦ παναγίου πνεύματος, τοῦ πανταχοῦ παρόντος καὶ μηδὲν ἀγνοοῦντος, ἀλλὰ πάντα εἰδότος — Θεὸς γὰρ — καὶ τούτων ὅσα βούλεται τοῖς πιστοῖς τῶν δούλων ἀποκαλύπτοντος κἀκείνους εἰς ἔντευξιν ὑπὲρ τῶν δεομένων ἐγείροντος καὶ τὰς τοιαύτας ἐντεύξεις καὶ ἀποδεχομένου καὶ πληροῦντος.

Τοῦτο οὖν ἰδοῦσα ἡ τοῦ Χριστοῦ ἐκκλησία καὶ πάλαι τούτους ἐπεκαλεῖτο καὶ μέχρι σήμερον τοῦτο ποιεῖ, οὐδὲν ἕτερον παρὰ τούτων αἰτοῦσα ἢ τὸ πρεσβεύειν τὸν πάντα δυνάμενον Θεὸν ὑπὲρ ἡμῶν, πολλαῖς θλίψεσι καὶ ἀνωμαλίαις τοῦ βίου περικυκλουμένων ὁσημέραι, ἵν' ὑπομονήν τε ἐν ταῖς θλίψεσι δῷ ὁ οἰκτίρμων Θεὸς καὶ τὴν ἀπὸ τούτων ἀπαλλαγὴν ἐν τάχει.

Οὐ γὰρ λέγομεν πρός τινα τῶν ἁγίων· ἅγιε σῶσον ἢ λύτρωσαι ἢ προνοοῦ μοι ἀγαθά, ἢ τι τοιοῦτον· οὐδαμῶς — ταῦτα γὰρ μόνῳ τῷ Θεῷ δυνατά, καὶ οὐδενὶ ἄλλῳ· ἀλλὰ λέγομεν· ἅγιε Ο. Δ., πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔτι οὐ λέγομεν τοὺς ἁγίους μεσίτας· εἷς γάρ ἐστι μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός, ὃς μόνος ἀμέσως δύναται τῷ τε πατρὶ καὶ ἡμῖν μεσιτεύειν. Ἐκείνῳ μὲν οὐ πρὸ τῶν ποδῶν κυλινδούμενος καὶ οἰκτρῶς ὑπὲρ ἡμῶν δεόμενος — ἄπαγε τῆς δουλικῆς καὶ ἀναξίας τοῦ μονογενοῦς μεσιτείας — ἀλλ' οἷς ὑπὲρ ἡμῶν ἔπαθε πείθων τὸν αὐτοῦ κατ' οὐσίαν, ἡμῶν δὲ κατὰ χάριν πατέρα οἰκτεῖραί τε ἡμᾶς καὶ τῆς αἰωνίου σωτηρίας ἀξιῶσαι, ἡμῖν δὲ μυστικῶς ἐν ταῖς καρδίαις ἡμῶν λαλῶν καὶ τὰ εἰκότα παραινῶν ἀοράτως καὶ πρὸς τάγα-

θὸν τὸ ἡμῶν θέλημα διευθύνων καὶ ἐνισχύων. Καὶ αὕτη ἐστὶν ἡ τοῦ μεσίτου Ἰησοῦ Χριστοῦ μεσιτεία πρός τε τὸν πατέρα καὶ ἡμᾶς.

Οὐ μεσίτας τοίνυν τοὺς ἤδη μεταστάντας ἁγίους καλοῦμεν, ἀλλὰ πρέσβεις καὶ ἱκέτας πρὸς τὸν Θεὸν ὑπὲρ ἡμῶν, ἀδελφῶν ἐκείνων ὄντων· οἱ πρεσβεύοντες οὐ τοῖς αὐτοῖς ῥήμασιν, οἷς καὶ ὁ υἱὸς μεσιτεύων, κέχρηνται, ἀλλὰ ἄλλοις πολὺ διαφέρουσι τοῖς ἐκείνου, καὶ μεγίστην τὴν αὐτῶν πρὸς τὸν Θεὸν ταπεινότητα καὶ δουλείαν ἐμφαίνουσιν.

Ἐκεῖνος μὲν γάρ, ὡς εἴρηται, πείθει τὸν πατέρα τοῖς ἑαυτοῦ παθήμασι, σῶσαι τὸν κόσμον, μονονουχὶ οὑτωσὶ λέγων· Πάτερ θέλω ἐν τῷ αἵματί μου σωθῆναι τοὺς εἰς ἐμὲ ὀρθῶς πιστεύοντας καὶ πεποιθότας.

Πρὸς ὃν ὁ πατὴρ ἀποκρίνεται· ναί, υἱέ μου ἀγαπητέ, ἐπειδὴ σὺ τοῦτο θέλεις, κἀγὼ θέλω. Οὐ γάρ ἐστι διαφορὰ μεταξὺ τοῦ σοῦ καὶ ἐμοῦ θελήματος, ἀλλ' ἓν καὶ ταὐτόν ἐστιν ἐν πᾶσιν ἀπαράλλακτον.

Οἱ ἅγιοι δὲ πρεσβεύοντες οὐχ οὕτω λέγουσιν, ἀλλὰ πῶς; ἱκετικῶς καὶ ταπεινῶς ἱκετεύομεν τὴν σὴν μεγαλειότητα, ὕψιστε καὶ παντοκράτωρ Θεέ, ἵν' οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασι ἢ ἀκριβοδικαίοις — οὐ γὰρ ἔχομεν τοιοῦτόν τι δίκαιον παρά σοι — ἀλλ' ἐν τοῖς κατορθώμασι καὶ ἀκριβοδικαίοις τοῦ μονογενοῦς σου υἱοῦ καὶ τοῦ κυρίου ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κοινοῦ πάντων ἡμῶν σωτῆρος, μνήσθητι τῶν ἀδελφῶν τῶν ἐπὶ τῆς γῆς καὶ ἀπάλλαξον αὐτοὺς τῶν κατεχόντων ἀνιαρῶν, ἀξιῶν αὐτοὺς τῆς δόξης καὶ χάριτος, ἧς καὶ ἡμᾶς ἠξίωσας ἐν τῷ μονογενεῖ σου υἱῷ τῇ χάριτι τοῦ παναγίου πνεύματος.

Πρὸς οὓς ὁ πατὴρ ἀποκρίνεται· διὰ τὸν θάνατον καὶ ἀκριβοδίκαιον τοῦ υἱοῦ μου μέμνημαι καὶ μνησθήσομαι τῶν ἐπὶ τῆς γῆς ὑμῶν ἀδελφῶν, τῶν τὴν αὐτὴν ὑμῖν πίστιν κατεχόντων. Ὑμῶν δὲ τὸ εὔνουν καὶ τὸ πρὸς τοὺς ἐπὶ γῆς ὄντας ἔτι ἀδελφοὺς ὑμῶν συμπαθὲς καὶ φιλάδελφον ἀποδεχόμενος ἀμείψομαι ὑμᾶς ἐν τῇ βασιλείᾳ τοῦ υἱοῦ μου τῷ ἅμα τοῖς ἀδελφοῖς ὑμῶν, ὑπὲρ ὧν τὴν πρεσβείαν ποιεῖσθε, δοῦναι ὑμῖν τὴν τελείαν ἐπαγγελίαν, ἣν ἐπηγγειλάμην τοῖς ἐμοῖς ἐκλεκτοῖς.

Τοιαύτη ἐστὶν ἡ τῶν ἁγίων ὑπὲρ ἡμῶν πρεσβεία, ὡς ἐνδέχεται εἰκάσαι ἄνθρωπον λογικὸν καὶ εὐσεβείας ἀντιποιούμενον.

Ὅθεν ἡ καθολικὴ ἐκκλησία πλὴν τοῦ πρεσβεύειν τὸν Θεὸν ὑπὲρ ἡμῶν καὶ πάντα τἀναγκαῖα ἡμῖν παρ' ἐκείνου αἰτεῖν οὐδενὸς ἄλλου δεῖται παρά του τῶν ἁγίων· οὐδὲ παρ' αὐτῆς τῆς ἁγίας Θεοτόκου, ἣν ὡς μὲν πάντων τῶν ἁγίων ὑπερέχουσαν καὶ πολλῷ πλείονα ἐκείνων παῤῥησίαν πρὸς τὸν υἱὸν ἔχουσαν, πρώτην τῶν ἄλλων ἐπικαλούμεθα εἰς πρεσβείαν· ὡς δὲ τῇ ἑαυτῆς δυνάμει μηδὲν δυναμένην ποιῆσαι πλὴν τοῦ πρεσβεύειν καὶ ἡμεῖς οὐδενὸς ἄλλου παρὰ ταύτης δεόμεθα πλὴν τοῦ πρεσβεύειν καὶ ἱκετεύειν τὸν αὐτῆς υἱὸν καὶ θεὸν ὑπὲρ ἡμῶν.

Ἀλλ' ἐπειδὴ πολλαὶ ἀμφισβητήσεις νεωστὶ περὶ ταύτης κεκίνηνται, πότερον ἀναμάρτητον ταύτην οἰητέον ἢ μή· οὐκ ἀπὸ σκοποῦ δόξειε, καὶ τὴν περὶ τούτου γνώμην τῆς Ἀνατολικῆς ἐκκλησίας ἐνταῦθα ἐκθεῖναι.

Φησὶ τοίνυν ἡ ἐκκλησία, ἔνοχον καὶ ταύτην ὑπάρξαι τῆς ἀρχεγόνου καὶ προπατορικῆς ἁμαρτίας, ὡς καὶ πάντας τοὺς ἀνθρώπους, μόνον δὲ

τὸν ταύτης υἱόν, ἅτε δὴ οὐ ψιλὸν ἄνθρωπον ὄντα, ἀλλὰ τὸ συναμφότερον, Θεὸν καὶ ἄνθρωπον, ἀναμάρτητον καὶ πάσης ἐνοχῆς ἀνώτερον οἴδαμεν. Διὸ καὶ τὸν κόσμον πάσης ἁμαρτίας ἐῤῥύσατο, τοιοῦτος ὤν. Εἰ γὰρ οἷόν τε ἦν, ἄλλον τινα γενέσθαι ἀναμάρτητον· ἐκεῖνον ἔδει καὶ σωτῆρα τοῦ κόσμου ὑπάρξαι, καὶ οὐκ ἂν ἐδέησε τῆς τοῦ Θεοῦ σαρκώσεως ὑπὲρ ἡμῶν. Ἀλλ' ὅτι ἄλλον τιν' ἀναμάρτητον εὑρεθῆναι τῶν ἀμηχάνων καὶ ἀδυνάτων ἦν διὰ τοῦτο ἀναγκαίως σαρκοῦται ὁ λόγος τοῦ θεοῦ, τοὐτ' ἔστι, σαρκὶ καθ' ὑπόστασιν ἑνοῦται ἀτρέπτως καὶ ἀσυγχύτως, ἵν' ἀναμάρτητος ὢν τὸν κόσμον τῆς ἁμαρτίας ῥύσηται.

Ὅτι δὲ ἔνοχος καὶ αὕτη ὑπῆρξε τοῦ προπατορικοῦ πταίσματος, καὶ ὅτι τὸν αὐτὸν τοῖς ἄλλοις ἀνθρώποις τρόπον συνελήφθη καὶ ἐτέχθη, διὰ τῶν ἑξῆς δηλωθήσεται.

Τὸ πρῶτον διὰ τοῦ αὐτὴν ἐν τῇ ἑαυτῆς ᾠδῇ ὀνομάζειν τὸν Θεὸν ἑαυτῆς σωτῆρα, λέγουσαν· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμα ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Σωτὴρ δέ τις τινὸς οὐκ ἂν λεχθείη, εἰμὴ ἀπὸ μεγάλου κινδύνου τοῦτον σώσειεν. Ἀλλὰ μείζων κίνδυνος τοῦ προπατορικοῦ ἁμαρτήματος, ἐξ οὗ πάντες οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ καὶ πρὸ τούτων ἡ κυρία Θεοτόκος τῇ τοῦ Θεοῦ χάριτι ἐῤῥύσθησαν, οὐκ ἄν ποτε γένοιτο. Προσφόρως ἄρα σωτῆρα ἑαυτῆς τὸν Θεὸν ἐπιγράφεται, ὡς ἀπὸ τοιούτου κινδύνου ταύτην ῥυσάμενον.

Τὸ δεύτερον διὰ τούτων δηλοῦται. Οἱ ἅγιοι πατέρες, ἑρμηνεύοντες τὰ τοῦ ἀγγέλου πρὸς αὐτὴν ῥήματα, οἷον· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, οὕτω φασίν· Τίνος ἕνεκεν τὸ ἅγιον πνεῦμα ἐπέρχεται ἐπ' αὐτὴν πρότερον; ἵνα καθαρίσῃ ταύτην καὶ δοχεῖον ἄξιον τῆς τοῦ λόγου σκηνώσεως ἀπεργάσηται. Ἐδεῖτο γὰρ αὕτη καθάρσεως. Εἰ οὖν μὴ κατὰ τὸν αὐτὸν τοῖς λοιποῖς ἀνθρώποις τρόπον συνελήφθη τε καὶ ἐγεννήθη· οὐκ ἂν ἐδεῖτο τῆς παρὰ τοῦ ἁγίου πνεύματος καθάρσεως. Ἀλλὰ νῦν κατὰ τοὺς ἁγίους πατέρας ἐν αὐτῷ τῷ τῆς συλλήψεως χρόνῳ, δεομένη τῆς ἀπὸ Θεοῦ καθάρσεως, οὐκ ἄρα χώραν ἔχει ἡ τῶν ἀντιλεγόντων ἐπίνοια καὶ οἴησις.

Πλὴν ἐπὶ πᾶσι τούτοις οὕτω φρονοῦμεν περὶ αὐτῆς. Ἐπειδὴ παρὰ Θεοῦ προωρίσθη ἐπὶ μεγάλῳ καὶ ἐξαιρέτῳ τέλει — τί γὰρ μεῖζον τοῦ ἐκ ταύτης τὸν Θεὸν σαρκωθῆναι; — οὕτω μέγα καὶ ἐξαίρετον δῶρον ταύτῃ κεχαρίσθαι ὑπὸ Θεοῦ, τὸ μὴ ἁμαρτάνειν. Κἀντεῦθεν λέγομεν αὐτὴν ἁμαρτίας ἰδίας μηδαμῶς πεποιηκυῖαν, ὡς παρὰ Θεοῦ τοιοῦτον δῶρον λαβοῦσαν· ὡς δὲ μητέρα Θεοῦ ὑπάρξασαν, τιμιωτέραν καὶ ἐνδοξοτέραν καὶ ἁγιωτέραν αὐτὴν φρονοῦμεν πάσης ὁρωμένης τε καὶ ἀοράτου κτίσεως. Ὅθεν καὶ πρὸ πάντων τῶν ἁγίων ταύτην πρέσβυν πρὸς τὸν ἐξ αὐτῆς τεχθέντα προβαλλόμεθα.

Οὔτε ταύτην μέντοι οὔτ' ἄλλον τινὰ τῶν ἁγίων λέγομεν κατά τινα δικαίαν ὀφειλὴν ἢ ἀκριβοδίκαιον παρὰ τῷ Θεῷ τοῦτο ποιεῖν — ἄπαγε· οὐδενὶ γὰρ ὁ Θεὸς ὀφείλει, πᾶσα δὲ ἡ λογικὴ κτίσις ὁρατή τε καὶ ἀόρατος πλεῖστα καὶ ἄπειρα τούτῳ ὀφείλει — ἀλλὰ κατὰ παῤῥησίαν, ἣν ὁ Θεὸς αὐτοῖς ἐδωρήσατο.

Τὸ δὲ λέγειν, τοὺς ἁγίους ἔχειν τιν' ἀκριβοδίκαια παρὰ τῷ Θεῷ καὶ περιττὰ μέντοι, δι' ὧν δύνανται πολλοὺς ἁμαρτωλοὺς σῶσαι, κἀντεῦθεν τὰ τῶν ἁγίων περισσεύματα, ὡς ἐκεῖνοι οἴονται, εἰς ὄνησιν προτιθέναι τοῖς βουλομένοις καὶ ταῦτα πιπράσκειν ὥσπερ λάχανα· τοῦθ' ὡς ἀληθῶς ὕβρις τῆς ἐκκλησίας ἐστί, μᾶλλον δὲ τῶν τὰ τοιαῦτα τολμώντων, ἐπ' οὐδενὶ ἄλλῳ ἐπινοηθεῖσα, ἢ ἐπ' αὐξήσει βαλαντίου, ὅπερ ὡς ἱερόσυλον καὶ κapηλευτικὸν ἡ τοῦ Χριστοῦ ἐκκλησία μισεῖ καὶ ἀποτρέπεται.

Κεφάλαιον 18.

Περὶ νηστείας.

Ἡ νηστεία παλαιὸν καὶ ἀρχαῖον ἔθος ἐστὶ τῇ ἐκκλησίᾳ, συναρξάμενον τῷ εὐαγγελικῷ κηρύγματι. Αὐτὸς γὰρ πρῶτος ὁ τοῦ εὐαγγελίου ἀρχηγὸς καὶ διδάσκαλος νηστεύει μετὰ τὸ βάπτισμα τεσσαρακονθήμερον, διδάσκων, ὅτι οὕτω χρὴ πάντας ποιεῖν, καὶ νικᾷ τὸν διὰ γαστρὸς ἡμῖν πολεμεῖν εἰωθότα. Μακαρίζει τε πολλάκις τὴν νηστείαν καὶ ταλανίζει τὴν πολυφαγίαν· μακάριοι, λέγων, οἱ πεινῶντες, ὅτι χορτασθήσονται· οὐαὶ δὲ οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσσουσιν· καὶ ὁ ἐκείνου μαθητὴς καὶ ἀπόστολος Παῦλος, νουθετῶν τὰς συζυγίας μὴ ἀποστερεῖν ἀλλήλοις, ἐπάγει· εἰ μὴ ἐν καιρῷ, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ.

Ἁρμόζει δὲ αὕτη τοῖς χριστιανοῖς ἀνάστασιν νεκρῶν δογματίζουσι πρὸς ἀντιδιαστολὴν τῶν μὴ ταύτην ὁμολογούντων καὶ διὰ τοῦτο τῇ γαστρὶ τὰ πάντα χαριζομένων, οὓς ὁ Ἀπόστολος χλευάζων ἔλεγε· Εἰ ἀνάστασις νεκρῶν οὐκ ἔστι, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν· Ἐχρῆν μὲν οὖν τὸν πάντα βίον ἐν νηστείᾳ ἡμᾶς ἄγειν, ἵν' ὅσῳ ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔνδον ἀνανεοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Ὅμως ἀλλ' ἐπειδὴ ἡ νηστεία ἐπίπονόν τι δοκεῖ τῇ ἡμετέρᾳ φύσει καὶ οὐ πάνυ καταθύμιον, ἡμεῖς δὲ ῥᾳθύμως πρὸς τὰ ἐπίπονα διακείμενοι· οὐ δυνάμεθα πάντοτε τούτοις ἐνασκεῖν, ἐπενόησεν ἡ ἀρχαία καὶ πρωτότυπος ἐκκλησία χρόνον διωρισμένον, ἐν ᾧ δεῖ πάντας τοὺς χριστιανοὺς κοινῇ προσευχαῖς καὶ νηστείαις σχολάζειν.

Ἔστι δὲ ὁ χρόνος οὗτος ἡ πρὸ τοῦ Πάσχα τεσσαρακονθήμερος νηστεία.

Πρῶτον μὲν ὅτι τῇ Κυριακῇ, ἧς τῇ ἐπαύριον ἀρχόμεθα ταύτης τῆς νηστείας, μνήμην ποιούμεθα τῆς τῶν πρωτοπλάστων ἐκ τοῦ Παραδείσου ἐξορίας. Παρεικάζοντες οὖν οἱ ἅγιοι πατέρες τὸν χρόνον ἐκεῖνον τῇ ἡμετέρᾳ ἐν τῷδε τῷ κόσμῳ διαγωγῇ, μοχθηρᾷ οὔσῃ καὶ μυρίων κακῶν ἀνάπλεῳ, οἷς κατεκρίθημεν διὰ τὴν τῶν προγόνων παράβασιν ἐκέλευσαν διὰ νηστείας καὶ προσευχῆς τὸν Θεὸν ἱκετεύειν, καὶ λύτρωσιν τῆδε ἀνιαρῶν παρ' ἐκείνου ζητεῖν, ἧς δὴ καὶ τυγχάνομεν τῇ ἀναστάσει τοῦ Θεοῦ λόγου τοῦ ὑπὲρ ἡμῶν σαρκωθέντος καὶ παθόντος καὶ ἀναστάντος, ὅθεν καὶ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως λήγοντες τῆς πενθίμου νηστείας χαίρομεν ἐν κυρίῳ καὶ εὐφραινόμεθα.

Ἔτι πένθος ἐστὶν ὁ τοιοῦτος χρόνος ὑπὲρ τοῦ Ἰσραήλ, ἐκπεσόντος τῆς θείας δόξης διὰ τὴν εἰς τὸν Μεσσίαν παροινίαν καὶ ἀσέβειαν.

Νηστεύομεν οὖν καὶ πενθοῦμεν δεόμενοι τοῦ Θεοῦ ὑπὲρ τῆς ἐκείνου ἀνακλήσεως, ἣν καὶ ἐλπίζομεν ἐν τάχει ἔσεσθαι σὺν Θεῷ.

Πρὸ δὲ τούτων, ἐπειδὴ ἐπὶ θύραις τὸ τοῦ κυρίου ὑπὲρ ἡμῶν πάθος, συσταυρούμεθα καὶ συννεκρούμεθα τῷ ὑπὲρ ἡμῶν καὶ σταυρωθέντι καὶ νεκρωθέντι, ἵνα καὶ συναναστῶμεν αὐτῷ καὶ συνδοξασθῶμεν, ἤδη ἀναστάντι καὶ παρὰ πάντων δοξαζομένῳ.

Ἡ δὲ νηστεία τῆς τετάρτης καὶ ἕκτης πασῶν τῶν τοῦ ἐνιαυτοῦ ἑβδομάδων ἐπινενόηται, ὅτι ἐν ταύταις μεγάλα πράγματα διεπράχθη. Τῇ μὲν γὰρ τετάρτῃ ἐπράθη ὑπὸ τοῦ μαθητοῦ καὶ προδότου ὁ βασιλεὺς τοῦ κόσμου. Τῇ δὲ ἕκτῃ τῷ σταυρῷ ἐκρεμᾶτο ὁ μετέωρον τὴν γῆν κρεμάσας. Θέλοντες οὖν συναλγῆσαι τῷ ὑπὲρ ἡμῶν ἀλγήσαντι νηστείαν ἄγομεν κατὰ ταύτας τὰς δύο ἡμέρας τοῦ ὅλου ἐνιαυτοῦ, λύπης καὶ ἄλγους πρόξενον οὖσαν.

Ἑορτῆς δὲ δεσποτικῆς ἐμπεσούσης τινὶ τῶν ῥηθεισῶν ἡμερῶν, οἷον γενεθλίων Χριστοῦ ἢ ὀνομαστηρίων εἰτοῦν περιτομῆς ἢ βαπτιστηρίων ἢ ἡστινοσοῦν ἄλλης, εἰ μόνον εἴη δεσποτική, καταλύεται ἡ τῆς ἡμέρας ἐκείνης νηστεία.

Ὁ δὲ τρόπος τῆς τεσσαρακονθημέρου νηστείας ἐστὶν ἀπέχεσθαι κρέατος καὶ τῶν ἀπὸ τούτου, οἷον γάλακτος, βουτύρου, τυροῦ, καὶ ᾠῶν, καὶ δὴ καὶ ἰχθύων. Ἐσθίομεν δὲ ὀπώρας, ὄσπρια καὶ λάχανα, ἀρτύοντες αὐτὰ βραχεῖ ἐλαίῳ. Πίνομεν καὶ ὀλίγον οἶνον ὕδατι κεκραμένον. Οἱ δὲ μοναχοὶ οὔτε ἐλαίῳ χρῶνται οὔτε οἴνῳ κατὰ τὸν χρόνον τῆς νηστείας, εἰ μὴ δὶς τῆς ἑβδομάδος, ἐν σαββάτῳ καὶ κυριακῇ. Τοῖς δὲ Μοσχοβίταις καὶ Ῥώσσοις συγκεχώρηται ἡ τῶν ἰχθύων ἐδωδὴ διὰ τὸ ἀπορεῖν ἐκείνοις οἴνου καὶ ἐλαίου. Κατὰ δὲ τὰς τετάρτας καὶ ἕκτας τῶν τοῦ ἐνιαυτοῦ ἑβδομάδων ἀπεχόμεθα μὲν κρέατος καὶ πάντων τῶν ἀπ' ἐκείνου, ὡς εἴρηται, ἰχθύων δὲ οὐ πάντες. Ἀδιάφορος γὰρ δοκεῖ ἡ τούτων βρῶσις κατὰ τὰς ἡμέρας ἐκείνας.

Κεφάλαιον 19.

Περὶ μοναχῶν.

Ἡ τῶν μοναχῶν τάξις δοκεῖ μὴ χθὲς καὶ πρότριτα ἀρξαμένη, ἀλλὰ καταρχὰς τῶν τῆς ἐκκλησίας κρηπίδων ἔτι καταβαλλομένων. Ἔοικε δὲ μήτε πρὸς σύστασιν τῆς ἐκκλησίας μήτε πρὸς τὴν ἐκείνων αὐτῶν σωτηρίαν ἀναγκαίως τι συνεισφέρειν δύνασθαι. Ἥ τε γὰρ ἐκκλησία ἄνευ μοναχῶν δύναται συστῆναι, κἀκεῖνοι δίχα τοῦ ἐπαγγέλματος δύνανται σωθῆναι, ὥσπερ καὶ οἱ λοιποὶ λαϊκοὶ χριστιανοί, ἀλλ' οἷον κόσμος τις καὶ ἀλλωπισμός, τῇ ἐκκλησίᾳ διαπρέπων.

Ἐπειδὴ γὰρ αὕτη παράδεισος, εἰτοῦν κῆπος Θεοῦ, νοητῶς καλεῖται, τὸν δὲ κῆπον πολλὰ καὶ διάφορά ἐστι τὰ κοσμοῦντα, οἷον ἀνθέων ποικίλα χρώματα καὶ διάφοροι εὐοδμίαι, δένδρων παντοδαπῶν εὔτακτοι καὶ ἡρμοσμέναι φυτεῖαι, καρπῶν ὡραίων καὶ ἀλλ' ἐπαλλήλων εἴδη· οὕτως ἐχρῆν καὶ τὸν νοητὸν κῆπον τοῦ Θεοῦ, τὴν ἁγίαν ἐκκλησίαν,

ποικίλαις διαγωγαῖς κοσμεῖσθαι, πάσαις μέντοι θεαρέστοις καὶ τὸν αὐτὸν σκοπὸν ἐχούσαις ὅς ἐστιν ἡ τῆς αἰωνίου ζωῆς ἐπίτευξις.

Ἔτι τῶν τῆς χριστιανικῆς διδασκαλίας τὰ μέν ἐστιν ἐπιταγματικὰ ὡς ἀναγκαῖα, οἷον τὸ μὴ φονεύειν, μὴ κλέπτειν, μὴ μοιχεύειν, μὴ πορνεύειν, καὶ τὰ τούτοις παρόμοια· τὰ δὲ ἐπιταγματικὰ μὲν ὡς ἀναγκαῖα οὐκ ἂν εἴη, ἐπαινετὰ δὲ ἄλλως καὶ πολλῶν ἐγκωμίων ἄξια, οἷον τὸ τῆς ἀληθοῦς παρθενίας κατόρθωμα, ἡ ἐσχάτη ἀκτημοσύνη, ἡ ἄκρα ὑπομονή, ὡς καὶ τὴν ἑτέραν παρειὰν προτείνειν τῷ ἤδη θἀτέραν παίσαντι, καὶ τελευταῖον αὐτὸ ἡ παντελὴς ἀπαλλαγὴ τῶν τοῦ κόσμου θορύβων.

Ἐχρῆν δὲ εἶναί τινας ἐν τῇ ἐκκλησίᾳ, οἳ καὶ ταῦτα μετέλθοιεν, ἵνα μὴ παντελῶς ἀργὰ ᾖ τὰ κυριακὰ ῥήματα, ὅπερ οὐ τὸ τυχὸν αἶσχος προσῆψεν ἂν τῇ χριστιανικῇ διδασκαλίᾳ, μηδενὸς ὄντος τῶν τούτων ἀντιποιουμένων. Ἔφασαν γὰρ ἂν οἱ ἔξω καταμωκώμενοι ἡμῶν· Εὖγε, εὖγε τῆς χριστιανῶν διδαχῆς, τοιαῦτα ἐπιταττούσης, οἷα οὐδεὶς τῷ δακτύλῳ νοῦν κινῆσαι ἐθέλει, οὐχ ὅπως καὶ κατορθῶσαί τι τούτων. Νῦν δὲ ὄντων μὲν τινῶν, τῶν ταῦτα μεταχειριζομένων, τῶν δὲ λοιπῶν χριστιανῶν ἀποδεχομένων καὶ ἐπαινούντων τὴν ἐκείνων προαίρεσιν, ἡ ἀπὸ τούτων δόξα κοινῇ πάσῃ τῇ ἐκκλησίᾳ συμβαίνει. Ὅπερ πάρεστιν ἰδεῖν παρ' ἡμῖν. Οὐ πάντες μὲν μοναχοὶ τελοῦσι, τοὺς ὄντας δὲ οἱ λοιποὶ ἀποδέχονται καὶ ἄγονται, καὶ οὕτως ἑκατέρωθεν ὁ Θεὸς δοξάζεται.

Πρὸς τούτοις πάντες μὲν οἱ Χριστιανοί, οἵ τε μοναχοὶ τοῦ αὐτοῦ σκοποῦ στοχάζονται, ὅς ἐστιν ἡ ἐν Χριστῷ αἰώνιος ζωὴ — οὐδεὶς γὰρ ἐπιτεύξεται ταύτης ὀλιγωρῶν — δοκεῖ δὲ ἡ τῶν μοναχῶν ὁδὸς ἀπηλλαγμένη οὖσα τῶν τοῦ κόσμου θορύβων οὐ μικρῶν ἐμποδίων τῆς ἀρετῆς ὄντων, ἐπιτομωτέρα εἶναι καὶ ῥᾴων πρὸς τοῦτο ἢ ἡ τῶν λαϊκῶν, ὑπὸ μάρτυρι τῷ Ἀποστόλῳ φάσκονται· τὸν γεγαμηκότα μεριμνᾷν τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί, τὸν δὲ ἄγαμον μεριμνᾷν τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ.

Διάγουσι δὲ οἱ ἡμέτεροι μοναχοὶ ζωὴν πάνυ στενὴν καὶ τεθλιμμένην. Ἡ γὰρ τούτων δίαιτα, ἥτε περὶ τὴν τράπεζαν ἥτε περὶ τὴν κλίνην ἐστὶ χαλεπωτάτη.

Ἡ μὲν οὖν περὶ τὴν Τράπεζαν ἐστὶν ἐν ὀσπρίοις καὶ λαχάνοις· τετράκις γὰρ τῆς ἑβδομάδος ἠρτυσμένοις βραχυτάτῳ ἐλαίῳ, ἐν κυριακῇ, ἐν τρίτῃ, ἐν πέμπτῃ καὶ ἐν ἑβδόμῃ, ἣ καὶ σάββατον λέγεται, καθ' ἃς ἡμέρας μεταλαμβάνουσι καὶ ὀλίγον οἴνου ἡμικράτου ὕδατι· ἰχθύας μὲν ἔξεστιν ἐνίοτε, ἀλλὰ τῶν μοναστηρίων κειμένων ἐν ὄρεσι καὶ ἐρήμοις χαλεπῶς δύνανται πορίζεσθαι, διὸ σπανίως πάνυ τούτων μετέχουσιν. Ἔξεστι μέντοι καὶ τῶν ἀπὸ τοῦ κρέατος ἐσθ' ὅτε γεύεσθαι, οἷον γάλακτος, βουτύρου, τυροῦ, ᾠῶν, ἀλλὰ διὰ τὴν τοῦ τόπου δυσχέρειαν, ὡς ἐπὶ τὸ πολὺ καὶ τούτων ἀποροῦσι. Κρέας οὐδέποτε ἐσθίουσιν· οὐ κατά τινα νόμον τῆς ἐκκλησίας — οὐδὲ γὰρ ἔστι τοιοῦτος νόμος, — οὐδὲ κατ' εὐχὴν — οὐδὲ γὰρ ηὔξατό ποτέ τις τῶν καθ' ἡμᾶς μοναχῶν μὴ φαγεῖν κρέας, ἀλλὰ κατὰ συνήθειαν καὶ μόνην. Τὰς δὲ λοιπὰς τρεῖς ἡμέρας τῆς ἑβδομάδος, οἷον τῇ δευτέρᾳ, τῇ τετάρτῃ, τῇ ἕκτῃ νηστείαν ἄγουσιν ἴσα καὶ τῇ πρὸ τοῦ Πάσχα τεσσαρακονθημέρῳ.

Ἡ περὶ τὴν κλίνην δίαιτά ἐστιν ἐπὶ στιβάδος ἢ ἐπὶ σανίδος ὑποβλήματος ἐνίοτε ὑφ' ἁπλουμένου οὐ πάνυ παχέως· ἅπας ὁ ὕπνος οὐ πλέον τῶν τεσσάρων ὡρῶν· τινὲς δὲ καὶ εἰς δύο μόνας ὥρας ἀρκοῦνται.

Τὰ ἐνδύματα λίαν εὐτελῆ καὶ ὀλίγης τιμῆς ἄξια· μέλανα, οὐ κεχρωματισμένα, ἀλλὰ ἐκ μελάνων προβάτων.

Τρὶς τῆς ἡμέρας εὔχονται κοινῇ ἐν τῷ ναῷ· ἑσπέρας καὶ πρωΐ, ἀρξάμενοι ἀπὸ μεσονυκτίου, καὶ μεσημβρίας. Ἔχουσι μέντοι καὶ ἄλλας ἰδίας εὐχὰς παρὰ τὰς εἰρημένας, ἃς δεῖ ἕκαστον κατ' ἰδίαν ἀνύειν ἐν τῷ αὐτοῦ δωματίῳ.

Οὐδεὶς ἀναγκάζεται παρ' ἡμῖν μοναχὸς γενέσθαι, οὔτε τῶν υἱῶν οἱ δεύτεροι, οὔτε τῶν θυγατέρων, — ἔχομεν γὰρ καὶ γυναικεῖα μοναστήρια τῇ αὐτῇ διαίτῃ τοῖς ἀνδρῴοις κεχρημένα — ἵν' οἱ πρότεροι πλουσιώτεροι ὦσιν, ὅπερ πυνθανόμεθα παρ' ἄλλοις γίνεσθαι, παρ' ἡμῖν δὲ οὐδὲ τοιοῦτον γίνεται, ἀλλ' οἱ βουλόμενοι.

Ὅσοι δὲ γραμμάτων ἄπειροι, ἐργάζονται ταῖς ἰδίαις χερσί, κἀντεῦθεν πάρεστιν εὑρεῖν ἐν ἑκάστῳ μοναστηρίῳ χαλκεῖς, ῥάπτας, οἰκοδόμους, βυρσοδέψας, σκυτοτόμους, ὑφάντας, καὶ εἴ τις ἄλλη τέχνη χρήσιμος ἐκείνοις. Τοῦτο γάρ ἐστιν εἰς δόξαν Θεοῦ, ἐργάζεσθαι ταῖς ἰδίαις χερσί, καθὼς ὁ μακάριος Παῦλος ὁ ἀπόστολος καὶ ἐποίει καὶ ἐδίδασκε, ἀφ' ὧν ἂν δύναιντο καὶ ἑαυτοὺς τρέφειν καὶ τοὺς δεομένους ἐπικουρεῖν. Καὶ μέντοι ἐπικουροῦσι τὰ εἰς δύναμιν. Πάντας γὰρ τοὺς ξένους ἀποδέχονται εὐμενέστατα, καὶ τραπέζης τούτοις κοινωνοῦσιν, ἐφ' ὅσαις ἡμέραις παραμένοιεν· ἐξιόντας δέ, ἐφοδιάζουσιν, ὡς οἷόν τε.

Αἱ εὐχαὶ δὲ εἰτοῦν ἐπαγγελίαι τῶν ἡμετέρων μοναχῶν εἰσὶν αὗται· σωφροσύνη, ἀκτημοσύνη, ὑπακοὴ καὶ ὑπομονή. Οὐδὲν ἕτερον. Ἃς εὐχὰς οὕτω θερμῶς φυλάττουσιν, ὡς ἀγωνίζεσθαι πρὸς ἀλλήλους καὶ ἁμιλλᾶσθαι, τίς τῶν ἄλλων δοκιμώτερος ἐν τούτῳ φανείη.

Κεφάλαιον 20.

Περὶ τοῦ εὔχεσθαι ὑπὲρ τῶν κεκοιμημένων.

Ὅτι μὲν καὶ αὕτη ἡ παράδοσις τῶν ἀρχαίων ἐστίν, παντί που δῆλον. Οὐδεὶς γάρ ἐστι τῶν τῆς ἐκκλησίας ἁγίων πατέρων, ὃς οὐ μέμνηται ταύτης. Ἀλλὰ πάντες ὁμοθυμαδὸν καὶ διηγηματικῶς καὶ προτρεπτικῶς φαίνονται μνήμην ταύτης ποιούμενοι· Ἀθανάσιος ὁ πολύαθλος, Βασίλειος ὁ μέγας, Γρηγόριος ὁ θεολόγος ἐν τῷ εἰς τὸν ἀδελφὸν Καισάριον λόγῳ, Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Κορινθίους πρώτης κἂν τῇ πρὸς Θεσσαλονικεῖς, Ἐπιφάνειος ἐν τῷ κατὰ αἱρέσεων καὶ συνελόντι φάναι παρὰ πᾶσι τοῖς τε ἁγίοις πατράσι τοῖς τε ἱστοριογράφοις τῆς ἐκκλησίας λαμπρὰ καὶ περιφανὴς ἡ τοιαύτη παράδοσις εὑρίσκεται.

Πάντας οὖν τούτους λέγειν ἡμαρτηκέναι τῆς ἀληθείας καὶ οὐκ ὀρθῶς περὶ τοῦ τοιούτου πεφρονηκέναι, οὐθ' ὅσιον οὔτε πρὸς ἐπιεικῶν καὶ εὐσεβείας ἀντιποιουμένων δόξειεν εἶναι.

Ἔοικε δὲ ἡ ἐκκλησία καὶ ταύτην ἐκ τοῦ θείου ῥήματος συλλέξαι. Εὗρηκε γὰρ ἐκεῖ τὸν Ἀπόστολον κελεύοντα τοὺς Κορινθίους παραδοῦναι τὸν πεπορνευκότα τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα ἐκείνου σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου, τὸν δὲ αὐτὸν ἀπόστολον ἀλλαχοῦ φάσκοντα περὶ ἑαυτοῦ, ἐπιθυμεῖν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι.

Δύο τοίνυν παρατηρητέον ἐνθάδε, καὶ ἀκριβῶς μέντοι παρατηρητέον. Ἓν μέν, εἶναί τινας μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εὐθέως ἐπιτυγχάνοντας τῆς μετὰ Χριστοῦ διαγωγῆς· οὐ γὰρ ἂν ὁ ἀπόστολος ἐπεθύμει ἀναλῦσαι, εἰμὴ ἀκριβῶς οἶδεν εὐθὺς συνέσεσθαι τῷ Χριστῷ.

Δεύτερον δέ, εἶναί τινας μὴ μετὰ θάνατον εὐθέως τῆς ἐνεργείᾳ σωτηρίας τυγχάνειν, ἀλλὰ δυνάμει, καὶ ἐν ἐλπίδι ταύτην ἐκδέχεσθαι. Ἐλπίδι λέγω βεβαίᾳ καὶ ἀναντιῤῥήτῳ, οἳ πειραθέντες πρότερον τῆς τοῦ Θεοῦ πατρικῆς ῥάβδου ἀξιοῦνται ἐν καιρῷ καὶ τῆς ἐνεργείᾳ σωτηρίας.

Τοῦτο τοίνυν κατανοήσασα ἡ τοῦ Χριστοῦ ἐκκλησία, ᾗ αὐτὸς σύνεστιν ἀεί, ὡς ἐπηγγείλατο, μέχρι τῆς συντελείας τοῦ αἰῶνος, ἡνιοχῶν καὶ διευθύνων ταύτην ἐν πᾶσι κατὰ τῷ αὐτῷ δοκοῦν, ἐπενόησε τούτοις φιλανθρωπίαν τινὰ προσφέρειν, ἣ δὲ ἐστίν, εὐχὰς καὶ ἱκεσίας ὑπὲρ ἐκείνων ἀναπέμπειν τῷ τῶν ὅλων Θεῷ, ἵνα δυοῖν θατέρου, ἢ γὰρ τῶν κατεχόντων ἀνιαρῶν τούτους ἐν τάχει ἀπαλλάξῃ ἢ γοῦν ἄνεσίν τινα καὶ παραμυθίαν τούτοις ἐν φυλακῇ θεόθεν παραπέμψῃ.

Λέγει τοίνυν ἡ ἐκκλησία, τὴν ἐκείνων ποινὴν μὴ ὑλικὴν εἶναι, εἰτοῦν ὀργανικήν, μὴ διὰ πυρός, μήτε δι' ἄλλης ὁποιασοῦν ὕλης, ἀλλὰ διὰ θλίψεως καὶ ἀνίας τῆς ἀπὸ συνειδήσεως, συμβαίνουσαν τούτοις ἐκ τοῦ μιμνήσκεσθαι τῶν, ὅσα ἐν τῷ κόσμῳ μὴ κατὰ λόγον μηδὲ ὁσίως ἔπραξαν.

Εὐχόμεθα οὖν ὑπὲρ τῶν ἀποιχομένων, ὀνομαστὶ μὲν ὑπὲρ ἑνὸς ἑκάστου, τῇ πρώτῃ ἡμέρᾳ τῆς ἐκείνων κοιμήσεως, τῇ τρίτῃ, τῇ ἐννάτῃ, τῇ εἰκοστῇ, τῇ τεσσαρακοστῇ, εἶτα μετὰ τρεῖς μῆνας καὶ αὖθις μετὰ ἕξ, καὶ τελευταῖον μετ' ἐνιαυτόν· μετέπειτα παρὰ ταῦτα καὶ ὁσάκις οἱ συγγενεῖς καὶ προσήκοντες τῷ ἀποιχομένῳ ἐθέλουσι τοῦτο ποιεῖν οὐ κωλύομεν.

Κοινῇ δὲ καθ' ἕκαστον σάββατον τοῦ ὅλου ἐνιαυτοῦ μνήμη γίνεται παρὰ πάσης τῆς ἐκκλησίας ἐν πᾶσι τοῖς ναοῖς πάντων τῶν ἀπ' αἰῶνος ἐν πίστει καὶ εὐσεβείᾳ κοιμηθέντων.

Ἔτι ὁσάκις καὶ ἐν οἱᾳδήποθ' ἡμέρᾳ τὸ κυριακὸν δεῖπνον ἱερουργεῖται μνημονεύονται κοινῶς οὗτοι. Πάντες γὰρ οἱ τὰς εὐχὰς τοῦ μυστηρίου τούτου συνθέντες ὅ τε Μέγας Βασίλειος καὶ Γρηγόριος ὁ Θεολόγος, Ἰωάννης τε ὁ Χρυσόστομος μνήμην ποιοῦνται τῶν πιστῶς κοιμηθέντων.

Οὐκ ἔστι δὲ παρ' ἡμῖν χρόνος διωρισμένος τῆς ἐκείνων ἀπολυτρώσεως, οὐδὲ λέγομεν. Δὸς τόσα χρήματα, ἵνα λυτρώσῃ τοὺς γονεῖς σου, ἢ τὰ τέκνα σου, ἢ τοὺς φίλους σου ἐκ τοῦ καθαρτηρίου πυρός. Οὐδὲ γὰρ ἔστι πῦρ καθαρτήριον παρ' ἡμῖν, ἀλλὰ θλίψις τις ἀπὸ συνειδήσεως καὶ αὕτη μέντοι μετὰ πάνυ χρηστῆς ἐλπίδος, διήκουσ' ἕως ἂν ὁ Θεὸς θέλῃ.

Οὐδὲ ὁρίζομεν τούτῳ μὲν ὅσα ἔτη ἐν τῇ θλίψει διαγαγεῖν, ἐκείνῳ δὲ τόσα. Ἂν δ' οἱ προσήκοντες τόσα ἢ τόσα χρήματα δηλαδὴ πλουτίνδην οὐχ ἁμαρτίνδην τὴν ποινὴν εἰσπράττοντες — τῇ ἐκκλησίᾳ προσφέροιεν· θᾶττον ἢ λόγος ῥυσθήσεται ὁ ἔνοχος τῶν κατεχόντων δεινῶν.

Οὐδὲν τοιοῦτον παρ' ἡμῖν εὕροιεν ἄν τις.

Εἰ δέ τις τῶν πρεσβυτέρων φωραθείη πρὸς ἀργύριον τοιοῦτόν τι ποιῶν κολάζεται πικρότατα καὶ ἐλεεινότατα· καὶ τί γὰρ ἄλλο ἢ τῆς ἰδίας τάξεως κίνδυνος αὐτὸς ἐκπεσεῖν;

Κεφάλαιον 21.

Περὶ τοῦ εὔχεσθαι κατὰ ἀνατολάς.

Κατὰ ἀνατολὰς εὔχεσθαι παρέλαβεν ἡ ἐκκλησία ἀρχῆθεν· οὐχ ὡς τὸν Θεὸν ἐκεῖ περιγράφουσα — ἄπαγε τῆς μικροπρεποῦς περὶ τοῦ ἀπεριγράπτου Θεοῦ ὑπολήψεως. Ὡς γὰρ πανταχοῦ ὁ Θεός· οὕτω καὶ τὴν προσκύνησιν πανταχοῦ δέχεται. Ἔρχεται, φησίν, ὥρα, ὅτε οὔτε ἐν Ἱερουσαλήμ, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσουσι τῷ Θεῷ οἱ ἀληθινοὶ προσκυνηταί· πνεῦμα γὰρ ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἔτι φησὶν ὁ ἱεροψάλτης· Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Οὐκ ἄρα διὰ τοῦτο κατὰ ἀνατολὰς προσκυνοῦμεν — ἀλλ' ὅτι ἱστάμενοι εἰς προσευχὴν ἀνάγκη εἰς τόπον τινὰ βλέπειν.

Οὐκοῦν τὸν κρείττω τόπον ἀφιεροῦμεν τῷ Θεῷ· κρείττων δὲ ἡ ἀνατολή, καθ' ὃ ἀναλογεῖ τῷ φωτί.

Ὅτι ἀκούομεν, τὸν Θεὸν κατὰ ἀνατολὰς πεφυτευκέναι τὸν Παράδεισον, τὴν ἀρχαίαν ἡμῶν καὶ τρισμακάριστον πατρίδα· ἣν δὴ ζητοῦντες καὶ τῷ ταύτης πόθῳ νυττόμενοι, ἐκεῖσε βλέποντες προσκυνοῦμεν.

Τρίτον καὶ σαφέστερον, ὅτι ἐξ ἀνατολῶν προσδοκῶμεν τὸν κύριον κριτὴν ἁπάντων ἐλευσόμενον, ὡς αὐτός που ἔφη· ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν εἰς δυσμάς· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Ἀλλὰ μηδεὶς οἰέσθω, οὕτως ἀναγκαίως ἡμᾶς προσκεῖσθαι ταύτῃ τῇ παραδόσει, ὡς μὴ δύνασθαι ἄλλως ποιεῖν, ἢ ἀδικήσει δήπου τὴν ἀλήθειαν. Εἰ γὰρ ἔγωγε νυκτὸς ζοφώδους καὶ ἀσελήνου ἐπιβήσομαι ξενοδοχείου, ὅθεν διακρίναι οὐ ῥᾴδιον, ποῦ ἡ ἀνατολὴ κεῖται· οὐ παρὰ τοῦτο οὐ προσεύξομαι. Ἀλλ' οὐδ' ἀκριβολογήσομαι παρὰ τοῦ ξενοδόχου ποῦ ἡ ἀνατολὴ κεῖται ἵνα προσεύξωμαι, ὡς οὐκ ἐξόν μοι ἀλλαχοῦ — οὐδαμῶς τοῦτο ποιήσω — ἀλλὰ προσεύξομαι ἀφορῶν, ὅπου ἂν δόξῃ μοι. Φυλάξω δὲ τοῦτο κοινῇ ἐπ' ἐκκλησίας, δι' ἃς αἰτίας εἴρηκα.

Κεφάλαιον 22.

Περὶ τοῦ μὴ κλίνειν γόνυ ἐν κυριακῇ καὶ καθ' ὅλην τὴν πεντηκοστήν.

Οὐδὲ ταύτην τὴν παράδοσιν δύναταί τις ἀρνεῖσθαι μὴ τῶν ἀρχαιοτάτων οὖσαν. Ἡ γὰρ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος κανόνα περὶ

ταύτης ἐξέθετο, κελεύοντα πάντας τοὺς χριστιανοὺς ὀρθοστάδην τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ κατά τε τὰς κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ καὶ καθ' ὅλην τὴν πεντηκοστήν· οὐχ ὡς αὕτη πρώτως τοῦτο δογματίζουσα — ἀρχαιότερον γὰρ ἦν τὸ ἔθος — ἀλλὰ τὴν ἀμφισβήτησιν τὴν τότε περὶ τούτου κινηθεῖσαν καταστέλλουσα καὶ εἰς ὁμόνοιαν τὰ πλήθη συνάγουσα.

Ὁ δ' ἐν ἁγίοις Βασίλειος ὁ Μέγας καὶ τὸν περὶ τούτου λόγον ἄριστ' ἐπέδωκεν. Ἔφη γὰρ τὴν ἀνθρωπίνην φύσιν τὴν ἤδη πεπτωκυῖαν τῷ τῶν πρωτοπλάστων πταίσματι ὁ Χριστὸς διὰ τῆς αὐτοῦ ἀναστάσεως ἀνώρθωσεν· ἧς ἀνορθώσεως μεμνημένοι ὀρθοστάδην τῷ ἀνορθώσαντι τὰς εὐχαριστίας καὶ δοξολογίας καὶ προσευχὰς ἀναπέμπομεν κατὰ τὰς ἀναστασίμους ἡμέρας· — ὁμοίως δὲ καὶ καθ' ὅλην τὴν πεντηκοστήν, ἐπειδὴ πᾶσα αὕτη τῆς τοῦ Πάσχα ἑορτῆς ἔχεται καὶ ἀναστάσιμος λέγεται.

Ταύτας πάσας τὰς παραδόσεις φυλάττομεν ἀπ' ἀρχῆς μέχρι τῆς σήμερον· καὶ εἰς τὸ ἔξῆς σὺν Θεῷ φυλάξομεν. Οὐ μέντοιγ' οἰόμεθα συμβάλλεσθαι ταύτας ἀναγκαίως εἰς τὴν ἡμῶν σωτηρίαν — οὐδὲν γὰρ ἁπλῶς ἀναγκαῖον πρὸς τοῦτο πλὴν τοῦ Θεοῦ καὶ τοῦ αὐτοῦ ῥήματος — δύναται γὰρ καὶ τὰ μυστήρια ἱερουργηθῆναι ἄνευ τῶν ῥηθεισῶν τελετῶν — εἴρηται γάρ, καὶ τὴν μαῖαν βαπτίζειν ἐν ἀνάγκῃ ἄνευ τῆς οἱασοῦν τελετῆς — καὶ τῶν λοιπῶν μὴ παρουσῶν, οὐδὲν ἧττον τὴν χριστιανικὴν πίστιν σώζεσθαι ἐξ ὁλοκλήρου. Φυλάττομεν δ' ὅμως διά τε τὸν κόσμον καὶ εὐπρέπειαν τῆς ἐκκλησίας καὶ διὰ τὴν τιμὴν τῶν ἁγίων ἐκείνων πατέρων, τῶν ταύτας παραδόντων, καὶ ἵνα μὴ ὑπερήφανοι καὶ ἰσχυρογνώμονες καὶ φιλόνεικοι δόξωμεν, ὀλιγωροῦντες μὲν τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ εἰς ταύτην ὑβρίζοντες, ἣν στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας ὁ Ἀπόστολος ἐκάλεσεν, ἐθέλοντες δὲ τὴν ἡμῶν γνώμην συστῆσαι.

Ὅτι δὲ τὸ ὀλιγωρεῖν τῶν ἀρχαίων τῆς ἐκκλησίας ἐθῶν ὑβρίζειν ἐστὶν εἰς τοὺς ἁγίους πατέρας, τοὺς τῆς ἐκκλησίας προστάτας, μαρτυρεῖ σαφῶς ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Χρυσόστομος, οὕτωσὶ λέγων· Ὅταν μὴ μένῃς, ἐφ' οἷς ἐνομοθέτησαν ἐκεῖνοι, ταῦτα ἕπεται πάντως· ἢ ἄνοιαν αὐτῶν, ὡς οὐκ ἀκριβῶς εἰδότων, καταγινώσκειν, ἢ δειλίαν, ὡς εἰδότων μέν, ὑποκρινομένων δὲ καὶ προδόντων τὴν ἀλήθειαν.

Αὕτη ἐστὶν ἡ ὁμολογία τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Ἀπεδείχθη σαφῶς καὶ ἱκανῶς τὸ ταύτης εὐσεβὲς καὶ ὀρθόδοξον φρόνημα περί τε τὰ δόγματα καὶ τὰς παραδόσεις, καὶ ὅτι, ὡς ταῦτα παρέλαβεν ἀρχῆθεν, οὕτω φυλάττει μέχρι τῆς σήμερον ἄνευ τῆς οἱασοῦν προσθαφαιρέσεως.

Κεφάλαιον 23.

Περὶ καταστάσεως τῆς ἀνατολικῆς ἐκκλησίας.

Ἀλλὰ ταύτην τὴν οὕτως εὐσεβῶς καὶ ὀρθοδόξως περὶ τὰ θεῖα διακειμένην ἐξῃτήσατο ὁ Σατανᾶς παρὰ τοῦ Θεοῦ, σινιάσαι ὡς τὸν σῖτον· καθάπερ τοὺς ἀποστόλους περὶ τὸ κοσμοσωτήριον πάθος τοῦ κυρίου, καὶ πρότερον τὸν δίκαιον ἐκεῖνον Ἰώβ. Ὁ δὲ Θεὸς κρίμασιν, οἷς αὐτὸς

οἶδε, παρεχώρησε ταύτην τῷ ἐχθρῷ, κελεύσας, αὐτὸν μόνην τὴν ταύτης πίστιν μὴ βλάψαι τὸ παράπαν· καθάπερ ἐποίησε κἀπὶ τοῦ θείου Ἰώβ. Κἀκεῖνον γὰρ παραδοὺς τῷ αἰτήσαντι πᾶσι μὲν τοῖς ὑπάρχουσι τῷ δικαίῳ, χρῆσθαι συνεχώρησε τῷ πολεμίῳ κατὰ τὸ αὐτὸ δοκοῦν, μόνην δὲ τὴν ψυχὴν τοῦ ἀθλητοῦ κελεύει τὸν ἀβάσκανον ἀβλαβῆ διατηρῆσαι.

Κἀντεῦθεν ὁ τῆς ἀληθείας πολέμιος ἤγειρε κατὰ τῆς τοῦ Χριστοῦ ἐκκλησίας τὸν προκηρυχθέντα ἐκεῖνον Ἀντίχριστον, τὸν ἄνθρωπον τῆς ἁμαρτίας, τὸν υἱὸν τῆς ἀπωλείας, τὸν ψευδοπροφήτην φημὶ τῶν Σαρακινῶν — σιγάσθω δὲ τὸ μιαρὸν ἐκείνου ὄνομα πολλῶν ἕνεκα — καὶ τὴν ἐκείνου ψευδοδιδασκαλίαν, οὗ οἱ λατρευταὶ καὶ διάδοχοι οὐκ ἔστιν εἶδος κακίας, ὃ οὐκ ἐπήγαγον καὶ ἐπάγουσι καθεκάστην τῇ τοῦ Χριστοῦ ποίμνῃ.

Κατέλυσαν ἡμῶν πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, ἐστέρησαν μαθημάτων καὶ τεχνῶν ἐλευθέρων, ἐστέρησαν πλούτου καὶ πάσης εὐδαιμονίας τοῦ κόσμου τούτου, εἰσπράττουσι φόρους βαρεῖς καὶ ἀνυποστάτους. Καὶ εἴθε γε μέχρι τῶν φόρων αὐτοὺς ἱστάναι, ἀλλὰ πρὸς τούτῳ καὶ ἄλλα χαλεπώτατα καὶ ἔξω τῆς ἡμῶν δυνάμεως ἐπιτάττουσι.

Στρατευόμενοι μὲν γὰρ ἀπαιτοῦσι παρ' ἡμῶν ἵππους, πρόβατα, ἐφόδια τῷ στρατῷ καὶ ἄλλα παρόμοια· ναυμαχοῦντες δὲ πίτταν καὶ στυπεῖον καὶ στέαρ ὑπὲρ τῶν τριηρέων καὶ τὰ τούτοις παραπλήσια.

Οἱ κωμῶν καὶ ἀγρῶν ἄρχοντες ἀγγαρεύουσι τοὺς ὑπηκόους λίαν ἀπανθρώπως, ὡς πλείονα χρόνον ἀναλίσκειν ἐπὶ τῇ ἀγγαρείᾳ τῶν κυριευόντων ἢ ἐπὶ τοῖς σφίσιν αὐτοῖς προσήκουσι πράγμασιν.

Ἂν ἴδωσι παρά τινι τῶν ὑπηκόων ἵππον εὐγενῆ, ἁρπάζουσι τοῦτον οἱ ἀδικώτατοι· ἂν βοῦν ἀγαθόν, ὁμοίως ποιοῦσιν, ἂν πρόβατα ἢ αἶγας ἢ ἡμιόνους ἢ ὄνους ἢ γενναίους κύνας, τοῦτ' αὐτὸ δρῶσιν οἱ παράνομοι, ὡς εἶναι τὸν βίον τῶν ὑπ' ἐκείνους τελούντων — πᾶσα δὲ σχεδὸν ἡ ἀνατολικὴ ἐκκλησία ὑπὸ τὴν τυραννίδα ταύτην τελεῖ πλὴν Μοσχοβίας καὶ μικρᾶς Ῥωσσίας καὶ τῆς περὶ τὴν ἕω Ἰβηρίας καὶ Κολχίτιδος, ἔτι καὶ πλὴν ὀλίγων νήσων ὑπὸ τὴν λαμπροτάτην ἀρχὴν τῶν Ἐνετῶν τελουσῶν, αἳ πολλῆς φιλανθρωπίας καὶ εὐνοίας ἀπολαύουσι παρὰ τῆς φιλανθρωποτάτης ἐκείνης ἀρχῆς. Εἰσὶ δὲ αὗται· ἡ περιφανεστάτη Κρήτη, ἡ Κεφαλληνία, ἡ Ζάκυνθος, αἱ Κέρκυραι, αἱ Κυθῆραι — ἐπώδυνον καὶ θανάτου στυγηρότερον.

Τελευταῖον καὶ τοῖς τέκνοις τῶν χριστιανῶν ἐπιβουλεύονται οἱ ἀνήμεροι λύκοι. Καθ' ἑκάστην γὰρ ἑπταετηρίδα πέμπεται παρὰ τοῦ τυράννου παιδοσυλλέκτης, διελευσόμενος τὰς ὑπ' ἐκεῖνον πόλεις καὶ συλλέξων τοὺς ὀφειλομένους παῖδας. Ὀφείλει δὲ ἑκάστη τῶν πόλεων ἢ τέτταρας ἢ τρεῖς ἢ δύο τοὐλάχιστον.

Τάχα δὲ καὶ τοῦτο οἰστὸν ἂν εἴη, δυνάμενον ὁπωσοῦν θεραπευθῆναι. Ἡ γὰρ Σαρακηνῶν παῖδας ἀπεριτμήτους ἔτι — περιτέμνονται δὲ οὗτοι περὶ τὰ δεκαπέντε ἔτη — μισθοῦντες προσφέρομεν τῷ παιδοσυλλέκτῃ ὡς χριστιανοὺς ὑποβολιμαίους, ἢ ἐκ τῶν χριστιανῶν τοὺς κακῶς καὶ φύντας καὶ τραφέντας καὶ αὐξηθέντας καὶ ἀξίους ἀγχόνης ὄντας, μεθ' ὧν καὶ χρήμαθ' ἱκανά, ἵν' ἐθελήσῃ τούτους δέξασθαι. Ἄνευ

γὰρ χρημάτων οὐκ ἂν τοιούτους δέξαιτο· ἀλλὰ ζητεῖ καλοὺς καὶ σεμνοὺς καὶ τιμίους. Ἂν δὲ μετὰ τῶν ῥηθέντων κακῶν καὶ χρήματα προσοίσωμεν· δεκτέους αὐτοὺς ποιοῦμεν, ὥσπερ καὶ τοὺς καλλίστους.

Οὔκουν ἄρα τούτοις ἀρκεῖται· ἀλλὰ πρὸς τοῖς ὀφειλομένοις καὶ ὃν ἂν παῖδα εὕρωσιν ἁρπάζουσι. Κἀντεῦθεν συμβαίνει, τὸν χρόνον ἐκεῖνον ἐπαχθέστατον εἶναι πᾶσι τοῖς χριστιανοῖς. Ἕκαστος γὰρ ἀποβλέπει, ποῦ καὶ πῶς ἂν δυνηθείη ἀποκρύψαι τοὺς αὐτοῦ υἱεῖς.

Ταῦτα καὶ πλείονα τούτων πάσχουσα ἡ τοῦ Χριστοῦ ἐκκλησία ὑπὸ τοῦ Ἀντιχρίστου οὐδαμῶς τῆς πίστεως παρατρέπεται· ἀλλὰ μένει τεθεμελιωμένη ἐπὶ τὴν στερεὰν καὶ ἀκράδαντον πέτραν, ἥτις ἐστὶν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀντεχομένη ἀκριβῶς τῆς ἐκείνου διδασκαλίας, τῶν δὲ τυράννων καὶ διωκτῶν καταμωκωμένη καὶ χλευάζουσα. Οὐ γὰρ πύλαι ᾅδου κατισχύσουσιν αὐτῆς ποτε τοιοῦτον θεμέλιον ἐχούσης.

Προσδοκῶμεν οὖν τὴν ἀπολύτρωσιν οὐ παρ' ἀνθρώπων — ματαία γὰρ ἡ τούτων βοήθεια — ἀλλὰ παρ' αὐτοῦ κυρίου ἀμέσως. Οὐ γὰρ ἀνέξετ' ἐπὶ πλέον τὴν ἐκκλησίαν, ἣν τῷ ἰδίῳ αἵματι ἑαυτῷ περιεποιήσατο, ζυγῷ δουλείας καὶ τυραννίδος κατατρυχομένην ὁρᾶν· ἀλλ' ἐπισκέψεται ταύτην· καὶ ἐν τάχει μέντοι· ἀποκτείνων μὲν τὸν ἄνθρωπον τῆς ἁμαρτίας, τὸν υἱὸν τῆς ἀπωλείας, τῇ ὀξυτάτῃ καὶ τομωτάτῃ μαχαίρᾳ τοῦ αὐτοῦ στόματος, ἐκείνην δὲ ἀπαλλάττων τῆς τυραννίδος καὶ εἰς τὴν προτέραν κατάστασιν ἐπανάγων· μᾶλλον δὲ καὶ εἰς πολλῷ κρείττονα· Ἠλόγησε γὰρ κύριος τὰ τοῦ Ἰὼβ μᾶλλον ἢ τὰ ἔμπροσθεν.

Θαυμάσει δ' ἄν τις τὴν τοῦ Θεοῦ περὶ ἡμᾶς ὑπέρσοφον πρόνοιαν καὶ ἄκραν φιλανθρωπίαν· πῶς ὁ Ἀντίχριστος τοσαῦτα καὶ τηλικαῦτα κακὰ τῇ ἐκκλησίᾳ οὐ κωλύει, καὶ ταῦτα καθ' ἑκάστην ἐπάγων, τὰ τῆς θρησκείας διώκτην καὶ πλέμιον αὐτὸς ἑαυτὸν ἐπιγράφων τῆς τῶν χριστιανῶν πίστεως, ἀλλ' ἐᾷ ταύτην πολιτεύεσθαι περὶ τὴν θρησκείαν κατ' οὐδὲν ἔλαττον ἢ ἡνίκα χριστιανοὶ ἐβασίλευον.

Οἵ τε γὰρ τέσσαρες Πατριάρχαι ἐλευθέρως χρῶνται τοῖς αὐτοῖς προσήκουσιν ἐκκλησιαστικοῖς νόμοις, οἵ τε Ἀρχιεπίσκοποι καὶ Ἐπίσκοποι ἀκωλύτως πράττουσι τὰ αὐτοῖς καθήκοντα καὶ οἱ Πρεσβύτεροι ὁμοίως τὰ παρ' αὐτῶν ἀπαιτούμενα.

Ἔστι δ' ἐν πᾶσι τούτοις ἄκρα συμφωνία εἰς τὰ περὶ τὴν θρησκείαν, ὥστε τὴν εἰρήνην, ἣν ὁ κύριος δέδωκε τοῖς αὐτοῦ μαθηταῖς — οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἀλλ' ἄλλην εἰρήνην θείαν καὶ πνευματικὴν εἰς ὁμόνοιαν τῆς πίστεως συνέχουσαν καὶ συσφίγγουσαν τοὺς πιστοὺς — πάρεστιν ἰδεῖν ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ ἀνθοῦσαν καὶ θάλλουσαν, εἴπερ ἄλλαχοῦ που.

Καὶ μηδείς μοι λεγέτω· ὅπου ἐστὶ πολλὴ σοφία καὶ πολλὰ μαθήματα, ἐκεῖ καὶ πολλαὶ γνῶμαι· ὅπου δὲ ἀμάθεια, ἐκεῖ καὶ συμφωνία. Μηδεὶς τοῦτο οἰέσθω· ἢ ἀδικήσεις ὡς ἀληθῶς τὴν ἀλήθειαν.

Ἦν γὰρ καὶ παρὰ τοῖς ἁγίοις πατράσι πολλὴ σοφία καὶ πολλὰ μαθήματα· ἀλλ' οὐκ ἄν τις εὕροι δύο γοῦν τῶν ἁγίων πατέρων διαφωνοῦντας πρὸς ἀλλήλους.

Ἔστι δὲ πολλὴ ἀμάθεια καὶ βαρβαρότης παρὰ τοῖς νῦν Ἀρμενίοις καὶ Νεστοριανοῖς· ἀλλ' οὐδεμίαν συμφωνίαν οὐχ ὅπως πρὸς ἑκατέρους — τοῦτο γὰρ ἀδύνατον — ἀλλ' οὐδὲ πρὸς ἀλλήλους ἔνεστιν ἰδεῖν. Θᾶττον γὰρ ἂν τὰ ὡρολόγια συμφωνήσῃ ἢ ἐκεῖνοι ἐν ἑαυτοῖς· ὥστε τὴν καθ' ἡμᾶς εἰρήνην καὶ συμφωνίαν ἐν πᾶσιν οὐκ ἔστιν ἕτερον εἰπεῖν ἢ δωρεὰν εἶναι τοῦ παναγίου πνεύματος.

Ἔστι δὲ καὶ ἰσότης μεταξὺ τῶν τεσσάρων Πατριαρχῶν, ὡς ἀληθῶς χριστιανικοῖς ποιμέσι προσήκουσα. Οὐδεὶς γὰρ τούτων κατεπαίρεται τῶν ἄλλων, οὐδὲ καθόλου κεφαλὴ τῆς καθολικῆς ἐκκλησίας ἀξιοῖ τις ἐκείνων καλεῖσθαι· οὐδέποτε γὰρ ἠκούσθη παρὰ τῇ καθολικῇ ἐκκλησίᾳ ἄνθρωπον θνητὸν καὶ μυρίαις ἁμαρτίαις ἔνοχον κεφαλὴν λέγεσθαι τῆς ἐκκλησίας. Ἐκεῖνος γὰρ ἄνθρωπος ὢν θανάτῳ ὑπόκειται· ἐν ὅσῳ δὲ ἄλλος ἐκλεχθῇ εἰς διαδοχὴν ἐκείνου, ἀνάγκη ἐν τοσούτῳ τὴν ἐκκλησίαν ἀκέφαλον εἶναι. Ἀλλ' ὥσπερ σῶμα δίχα κεφαλῆς οὐδὲ ἐν ῥοπῇ γοῦν στῆναι δυνατόν· οὕτω τὴν ἐκκλησίαν δίχα τῆς προσηκούσης αὐτῇ κεφαλῆς μεῖναι κἂν ἐν βραχεῖ ἀδύνατον.

Τοιγαροῦν ἀθανάτου κεφαλῆς χρεία τῇ ἐκκλησίᾳ μεῖναι τῇ ἐκκλησίᾳ, ἵνα πάντοτε ζῶσα καὶ ἐνεργὴς ᾖ, καθάπερ καὶ ἡ κεφαλή.

Ἔτι τοιαύτης κεφαλῆς δεῖται ἡ ἐκκλησία, ἥτις ὑψηλοῦ καθημένη καὶ μέντοι τεθεωμένη δύναται ἂν τὰ πάντα ἐφορᾷν καὶ διευθύνειν πρὸς τὸ βέλτιον.

Ἔστι δὲ τοιαύτη κεφαλὴ τῆς καθολικῆς ἐκκλησίας ὁ κύριος Ἰησοῦς· Χριστός ὅς ἐστιν ἡ κεφαλὴ πάντων, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογεῖται· ἧς κεφαλῆς ζώσης διὰ παντὸς συζῇ ταύτῃ καὶ ἡ ἐκκλησία, κυβερνωμένη καὶ διευθυνομένη ὑπὸ τοιαύτης ἀθανάτου καὶ τεθεωμένης κεφαλῆς καὶ οὐδένα τῶν πολεμίων φοβουμένη. Κἂν μυρία κακὰ ταύτῃ ἐπανασταίη. Πάντων αὕτη περιγίνεται δυνάμει τῆς ἑαυτῆς θείας κεφαλῆς.

Ταῦτ' οὖν εἰδότες οἱ ἁγιώτατοι καὶ μακαριώτατοι τέσσαρες Πατριάρχαι τῆς καθ' ὅλου ἐκκλησίας, οἱ τῶν ἀποστόλων διάδοχοι καὶ τῆς ἀληθείας ὑπέρμαχοι οὐδένα θέλουσιν καθ' ὅλου κεφαλὴν ὀνομάζειν, ἀρκούμενοι τῇ ῥηθείσῃ τεθεωμένῃ καὶ παντοδυνάμῳ κεφαλῇ, τῇ ἐν δεξιᾷ τοῦ Πατρὸς καθημένῃ καὶ πάντα ἐποπτευούσῃ.

Αὐτοὶ δὲ ὁμοτίμως διάγουσι καθ' ἑαυτοὺς ἐν πᾶσι. Πλὴν γὰρ τῆς καθέδρας οὐδεμία τις ἄλλη διαφορά ἐστι μεταξὺ τούτων. Προκάθηται μὲν ὁ Κωνσταντινουπόλεως, παρ' ᾧ ὁ Ἀλεξανδρείας, εἶτα ὁ Ἀντιοχείας, οὗ ἐγγὺς ὁ Ἱεροσολύμων· ὧν ἕκαστος ἱερουργῶν καὶ ἐν τῇ αὐτοῦ διοικήσει μνήμην ποιεῖται παρὰ τῷ Θεῷ τῶν λοιπῶν τριῶν πάνυ εὐφήμως. Συνελθόντες δὲ εἰς ταὐτὸν ἀλλήλων τὰς χεῖρας ἀσπάζονται.

Μεγάλης δὲ τιμῆς ἀξιοῦνται οἱ λοιποὶ παρὰ τοῦ γνησίου, οὗ εἰς τὴν διοίκησιν συνῆλθον. Ἀρχιερατικὸν δέ τι ἐνεργῆσαι οὐ δύνανται ἄνευ τῆς τοῦ γνησίου προτροπῆς. Καὶ μέντοι προτρέπει καὶ παρακαλεῖ ὁ γνήσιος τὸν ξένον εἰς πᾶν ἀρχιερατικὸν ἔργον, ἐμφαίνων τὴν ἀδελφικὴν ἀγάπην. Ὁ δὲ καὶ ἀποδέχεται καὶ χάριν ὁμολογεῖ τῷ προτρέποντι.

Οὐ μόνον δ' ἐν ἄλλου πατριάρχου διοικήσει κωλύονται οἱ λοιποὶ πατριάρχαι ἀρχιερατικόν τι τελέσαι ἄνευ προτροπῆς τοῦ γνησίου, ἀλλὰ

κἂν εἴς τινα τῶν ὑφ' αὐτὸν τελουσῶν διοικήσεων γένοιτό ποτε πατριάρχης, οὐδὲν ἀρχιερατικὸν δύναται ἐνεργῆσαι, ἄκοντος τοῦ γνησίου. Ὁ δὲ γνήσιος πάντα μὲν δύναται, ἐὰν θέλῃ, παραχωρῆσαι τῷ Πατριάρχῃ πλὴν τοῦ ἱεροῦ συνθρόνου.

Ἔστι δὲ οὗτος καθέδρα κτιστὴ ἐκ λίθων μαρμάρων ὄπισθεν τῆς ἁγίας τραπέζης — οὐκ ἐν πᾶσι τοῖς ναοῖς τῆς διοικήσεως, ἀλλ' ἐν τοῖς μεγάλοις — ἐφ' οὗ εἴωθεν ἀναβαίνειν ὁ γνήσιος ἀρχιερεύς, καθ' ὃν χρόνον ἱερουργεῖται τὸ κυριακὸν δεῖπνον, κρατῶν τῇ δεξιᾷ τρεῖς κηροὺς ἡμμένους ἐν εἴδει τριγώνου τὰ ἅπτόμενα ἄκρα καὶ ὑμνῶν τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, ψάλλων τε μετὰ τῶν σὺν αὐτῷ τοῦτον τὸν ὕμνον· ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Παρόντος οὖν τοῦ Πατριάρχου παρά τινι Ἀρχιεπισκόπῳ τῶν ὑφ' αὐτὸν ἢ Ἐπισκόπῳ καὶ παρακληθέντος ὑπὸ τοῦ γνησίου ἐφ' ἱερουργίᾳ τοῦ μυστηρίου, ἵνα ὁ λαὸς ἴδῃ Πατριάρχην ἱερουργοῦντα, ὁ μὲν Πατριάρχης οὐ δύναται ἀναβῆναι ἐπὶ τοῦ ἱεροῦ συνθρόνου, ὅτι οὐκ ἔξεστιν αὐτῷ, ὁ δὲ γνήσιος οὐ θέλει αἰδοῖ τῇ πρὸς τὸν Πατριάρχην. Ἵστανται οὖν ἄμφω κάτω ἱερουργοῦντες καὶ ψάλλοντες, καὶ οὕτω ἡ ἀμφοτέρων τιμὴ ἐπὶ τὸν Χριστὸν ἀναφέρεται τὸν ἄκρον καὶ μέγιστον Ἀρχιερέα.

Ὃν δέομαι καὶ ἱκετεύω, ἐπισκέψασθαι ἐν τάχει τὴν αὐτοῦ ἐκκλησίαν, ἣν τῷ ἰδίῳ αἵματι ἐκτήσατο, καὶ μὴ βραδῦναι ἀπαλλάξαι ταύτην τῶν κατεχόντων ἀνιαρῶν, καταλῦσαί τε τὰς αἱρέσεις καὶ τὰ σκάνδαλα πάντα ἐκ μέσου ποιῆσαι, συνάψαι εἰς ἓν τὰ διεσκορπισμένα ταύτης μέλη, ἵνα πάντες ὁμοθυμαδὸν δοξάσωμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον, ἕνα Σωτῆρα γινώσκοντες καὶ μίαν κεφαλὴν τῆς καθολικῆς ἐκκλησίας πάντες ἐπιστάμενοι, αὐτὸν φημί, ὃν ἱκετεύω, τὸν κύριον Ἰησοῦν Χριστόν, τὸν ἕνα τῆς ἁγίας τριάδος, τὸν θεάνθρωπον, τὸν καθολικὸν προφήτην, τὸν ἄκρον καὶ μέγιστον ἀρχιερέα, τὸν μόνον βασιλέα τῆς ἀοράτου καὶ ὁρωμένης κτίσεως, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ τριάδι πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

VI.

Anhang.

A. Der sogenannte Dialog des Gennadius.

Dem Patriarchen Gennadius II. hat man außer seinem Bekenntnis noch eine zweite symbolische Schrift zugeschrieben. Diese setzt in dialogischer Form einige Punkte des Bekenntnisses noch umfassender auseinander. Das Gespräch findet statt zwischen einem fragenden Türken und einem antwortenden Christen. Die Schrift wurde bald als Confessio prior (Gennadii), bald als *Διάλεξις* = Dialogus, bald mit dem Titel: „*Περὶ τῆς ὁδοῦ τῆς σωτηρίας ἀνθρώπων* = De via salutis humanae" bezeichnet. Nach den einen (z. B. Kimmel) wäre die *Διάλεξις* zuerst abgefaßt und das Bekenntnis nur eine Umarbeitung derselben, daher der Name „Confessio prior"; nach den anderen wäre vielmehr das Bekenntnis die frühere, ursprüngliche Schrift, der Dialog eine später verfaßte, weitere Ausführung einiger Punkte derselben. Beide Richtungen halten den Gennadius für den Verfasser der Schrift. Nach einer dritten Ansicht, welche die richtige zu sein scheint, rührt der Dialog überhaupt nicht von Gennadius her. Er sei von einem Katholiken abgefaßt, um die Progressio des heiligen Geistes auch vom Sohne zu behaupten. So: J. Lambacher, Dissertatio litteraria de editione quadam antiqua Gennadii Scholarii de via salutis humanae, Wien 1750; Otto, Patriarch Gennadius und der Dialog über die Hauptstücke des christlichen Glaubens (in der Zeitschrift für die historische Theologie 1850, S. 390 ff.); W. Gaß, Symbolik der griechischen Kirche, 1872. Andere behaupten wieder, der Dialog rühre von Gennadius her, nur die Stelle über den Ausgang des heiligen Geistes auch vom Sohne sei untergeschoben. Innere Gründe sprechen aber gegen die Zulässigkeit dieser Ansicht.

Die gr.-or. Kirche hat niemals den Dialog für eine symbolische Schrift gehalten. Die darin vertretene Ansicht, der heilige Geist gehe a patre filioque aus, war immer das Hindernis dazu. Theologischen Abhandlungen über die Dreieinigkeit hat jedoch der Dialog, durch

seine Analogien, vielfach Material geboten. Aus diesem Grunde gewähren wir ihm auch einen Platz in dieser Sammlung.

Der Inhalt des Dialogs hat sonst dieselbe platonische Färbung wie das Bekenntnis des Gennadius. „Gott ist Substanz, Gott ist non interpretabilis“ (dasselbe in Platos Timäus, Origenes' Contra Celsum VII, 48, Gregor von Nazianz, Oratio XXVIII).

Die Ableitung des Wortes *Θεός* von *θέειν* hat ihren Ursprung bei Theophilus von Antiochien *(πρὸς Αὐτόλικον)*.

Der euchemeristische Gedanke, daß oftmals fromme oder auf irgend eine Weise verdiente Menschen als Götter angesehen wurden, ein Gedanke, der in der patristischen Literatur häufig vorkommt (Clemens Alexandrinus, Stromata VIII, 2, 25; Melito von Sardes; Athanasius, De Definitione; Lactantius u. a.), beruht hier wie dort auf der Verwechslung der Begriffe „Gott“ und „göttliches Wesen“, dies letztere im Sinne: „Halbgott, Held, Heiliger, Engel“ usw.

Die Vergleichung mit der Sonne, wodurch der Dialog den Begriff von der Dreieinigkeit faßbar zu machen sucht, findet sich zuerst bei Athenagora (Legatio X) vor. Die Analogie der Dreieinigkeit mit der menschlichen Seele ist auch von Augustin (De trinitate IX, 12, 18), obwohl nicht gerade in derselben Weise, vorgetragen.

Übrigens sind diese Analogien wie auch die übrigen: zum Feuer und zum Worte, nicht geeignet, das Wesen der Dreieinigkeit begreiflich zu machen.

Die Ableitung der Worte: *πατήρ* von *πάντα τηρεῖν*, *υἱὸς* von *οἷος* und *πνεῦμα* von *νοεῖν* stößt auf philologische Schwierigkeiten.

In bezug auf die Menschwerdung des Sohnes Gottes führt der Dialog als Grund die Güte Gottes an, der sich des verfallenen Menschen erbarmt habe. Der Zweck der Menschwerdung Christi sei, den Menschen tanquam Deus zu machen, jedoch nicht secundum naturam, sondern secundum participationem.

Herausgegeben wurde der Dialog zum ersten Male (nebst dem Bekenntnis des Gennadius) von dem Wiener Jurisconsulten Joh. Alex. Brasicanus unter dem Titel: „Gennadii Scholarii Patriarchae Constantinop. de synceritate christianae fidei dialogus etc.“ Wien 1530, dann von Fuchte, Helmstedt 1611, von Daum, Zwickau 1677. Nur lateinisch gibt es ihn auch in der Lat. Biblioth. Patrolog. Lugdun., XXVI, S. 556 ff. (Weiter siehe die Literatur über die Confessio Gennadii.)

Τοῦ αἰδεσιμωτάτου πατριάρχου Κωνσταντινουπόλεως Γενναδίου Σχολαρίου βιβλίον σύντομόν τε καὶ σαφὲς περί τινων κεφαλαίων τῆς ἡμετέρας πίστεως. περὶ ὧν ἡ διάλεξις γέγονε μετὰ Ἀμοιρᾶ τοῦ Μαχουμέτου, ὅ καὶ ἐπιγέγραπται περὶ τῆς ὁδοῦ τῆς σωτηρίας ἀνθρώπων.

Ἐρωτᾷ ὁ Τοῦρκος, ὁ δε πατριάρχης ἀποκρίνεται.

Τ. Τί ἐστι ὁ θεός;

Π. Θεός ἐστιν οὐσία ἀθεώρητος, νοερά τε καὶ ἀνερμήνευτος· θεός ἐστι πνεῦμα ἄϋλον, ὀφθαλμὸς ἀκοίμητος, νοῦς ἀεὶ κύνητος· θεός ἐστιν αἰτία πάντων τῶν ὁρωμένων καὶ ἀοράτων κτισμάτων.

Τ. Καὶ διὰ τί λέγεται θεός;

Π. Θεὸς λέγεται ἀπὸ τοῦ θεωρεῖν τὰ πάντα οἱονεὶ θεωρὸς, καὶ θεὸς ἤγουν θεατὴς πάντων, καὶ πάλιν θεὸς λέγεται ἀπὸ τοῦ θέειν καὶ ἀποτρέχειν νοητῶς καὶ ἀχρόνως τὰ πάντα· ὁ γὰρ θεὸς ἀεὶ καὶ πανταχοῦ πάρεστιν.

Τ. Καὶ πόσοι θεοὶ εἰσίν;

Π. Εἷς θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος· λέγονται δὲ θεοὶ οἱ ἄνθρωποι διά τινα μετοχὴν, ὡς τὸ „ἐγὼ εἶπα, θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δ' ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε".

Τ. Καὶ ὡς ἕνι εἷς θεὸς, πῶς λέγεται αὐτὸν τὸν ἕνα θεὸν τρισυπόστατον, πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα;

Π. Ἰδοὺ γὰρ τρεῖς λέγομεν καὶ ἕνα.

Τ. Ἀλλὰ δίδαξον ἡμᾶς, πῶς ἐστι καὶ εἷς θεὸς, καὶ πῶς πάλιν τρία πρόσωπα, ἐπεὶ θαυμαστὸν ἡμῖν δοκεῖ τοῦτο, ὅπως καὶ εἷς ἐστι θεὸς καὶ τρία εἰσὶ τὰ πρόσωπα αὐτοῦ;

Π. Ἄκουε συνετῶς, καὶ νοήσεις τὸ τῆς ἁγίας τριάδος μυστήριον, καθὼς δύναται νοῦς νοῆσαι ἀνθρώπινος[1], *ὡς ἐμοὶ δοκεῖ· πλὴν τὸ κατὰ δύναμιν ἡμῖν λέξω. Ὡς γίνωσκε τοῦτο, ὅτι διὰ τοῦτο λέγεται ὁ θεὸς ἀνερμήνευτος, διὰ τὸ οὐ δυνάμεθα καταλαβεῖν αὐτοῦ τὴν φύσιν, οὐδὲ ὅμοιος ἐστιν ἡμῖν μονοπρόσωπος· εἰ γὰρ ἦν, ἐγινώσκομεν ἂν αὐτὸν, ὡς γινώσκομεν ἀλλήλους ἡμᾶς· ἀλλὰ ἐστιν εἷς μεν ὁ θεὸς, τὰ δὲ πρόσωπα αὐτῆς τῆς θεότητος τρία· καὶ βλέπε ἀπ' ἄρτι τὰ λεγόμενα. Ὥσπερ ἔστιν ἥλιος εἷς, ὁ δὲ ἥλιος ἔχει ἀκτῖνα καὶ φῶς, καὶ εἰσὶν ἐν τῷ ἡλίῳ σχεδὸν πρόσωπα τρία, δίσκος, ἀκτὶς καὶ φῶς· δίσκος μὲν τὸ σῶμα τοῦ ἡλίου, ἀκτὶς δὲ ἡ καταβαινομένη λαμπαδοφανῶς καὶ κρούουσα πρὸς τὴν γῆν, φῶς δὲ τὸ φωτίζον καὶ εἰς τοὺς ἐπισκιώδεις τόπους χωρὶς ἀκτῖνος· καὶ ἰδοὺ σχεδὸν πρόσωπα τρία, δίσκος, ἀκτὶς καὶ φῶς·*

---

[1]) V. *νοῦς ἀνθρώπων νοῆσαι, ὡς ἐμοὶ πλὴν δοκεῖ, πρὸς τὴν κατὰ δύναμιν ἡμῖν τῶν λέγεται τοῦτο. ὁ γὰρ θεὸς ἀνερμήνευτος κτλ.*

οὐ λέγομεν τρεῖς ἡλίους, ἀλλ' ἕνα καὶ μόνον, οὐδὲ λέγομεν πρόσωπον ἕν, ἀλλὰ τρία πρόσωπα· ἐὰν γὰρ ἐρωτηθῇς, πόσοι ἥλιοι εἰσὶν ἐν τῷ οὐρανῷ; μέλλεις εἰπεῖν, ὅτι εἷς ἥλιος ἔστι, ἐὰν δὲ ἐρωτηθῇς τὰ πρόσωπα τοῦ ἡλίου πόσα εἰσίν; εἰπὲ τρία, δίσκος, ἀκτὶς καὶ φῶς· — οὕτως νοεῖ καὶ περὶ τοῦ θεοῦ. Θεὸς μὲν εἷς, πρόσωπα δὲ τοῦ ἑνὸς θεοῦ τρία, πατὴρ, υἱὸς καὶ ἅγιον πνεῦμα· καὶ ἐκ τούτον γίνωσκε, ὅτι ὥσπερ ἐστὶν ἥλιος τριπρώσοπος, οὕτως ἐστὶ καὶ εἷς θεὸς τρισυπόστατος· τύπος γὰρ ἐστὶ τοῦ πατρὸς ὁ δίσκος ὁ ἡλιακὸς, τύπος δὲ ἐστι τοῦ υἱοῦ ἡ ἀκτὶς, καὶ τύπος τοῦ παναγίου πνεύματος τὸ φῶς ἐστι τοῦ ἡλίου· καὶ ἐπεὶ οὕτως ἐπὶ τοῦ ἡλίου δίσκος, ἀκτὶς καὶ φῶς, καὶ εἷς ἥλιος καὶ οὐ τρεῖς, ὁμοίως καὶ ἐπὶ τοῦ θεοῦ πατὴρ, υἱὸς καὶ ἅγιον πνεῦμα εἷς θεὸς καὶ οὐ τρεῖς θεοί. Καὶ πάλιν εἰπὲ οὕτως· ἐπὶ τοῦ ἡλίου ἀχώριστος ὁ δίσκος, καὶ ἡ ἀκτὶς καὶ τὸ φῶς οὐ χωρίζονται ἀπ' ἀλλήλων, διὰ τοῦτο λέγεται εἷς ἥλιος καὶ οὐ τρεῖς, διότι οὐ χωρίζονται τὰ πρόσωπα αὐτῶν ἀπ' ἀλλήλων· καὶ ὥσπερ ὁ δίσκος ὁ ἡλιακός γεννᾷ τὴν ἀκτῖνα, καὶ παρὰ τοῦ ἡλίου καὶ τῶν ἀκτινῶν ἐκπορεύεται τὸ φῶς· οὕτω ὁ θεὸς καὶ πατὴρ γεννᾷ τὸν υἱὸν καὶ λόγον αὐτοῦ, καὶ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον. Βλέπε συνετῶς· ὥσπερ ἡ ἀκτὶς τοῦ ἡλίου καταβαίνει ἐξ οὐρανοῦ πρὸς τὴν γῆν καὶ ἀπὸ τοῦ ἡλιακοῦ δίσκου οὐ χωρίζεται, καὶ οὔτε ἐκ τοῦ οὐρανοῦ λείπει, οὔτε ἀπὸ τῆς γῆς, ἀλλ' ἔστιν ἐν τῷ ἡλιακῷ δίσκῳ καὶ ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῇ γῇ καὶ πανταχοῦ, καὶ οὔτε τῶν ἄνω οὔτε τῶν κάτω ἡ ἀκτὶς λείπει· οὕτω καὶ ὁ υἱὸς λόγος τοῦ θεοῦ κατῆλθε πρὸς τὴν γῆν, καὶ οὔτε ἐκ τοῦ πατρὸς ἔλειπεν οὔτε ἐκ τῶν οὐρανῶν οὔτε ἐκ τῆς γῆς, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν ἐν τοῖς κόλποις τοῦ πατρὸς ἀχώριστος, καὶ ἄνω καὶ κάτω καὶ πανταχοῦ καὶ οὐδὲ τινος ἔλειπε. Καὶ ὥσπερ τὸ ἡλιακὸν φῶς ἔστι καὶ ἐν τῷ ἡλιακῷ δίσκῳ καὶ ἐν τῇ ἀκτῖνι καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, καὶ εἰσέρχεται εἰς τὰς οἰκίας καὶ πανταχοῦ φωτίζει· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον πανταχοῦ καὶ μετὰ τοῦ πατρὸς ἔστι καὶ μετὰ τοῦ υἱοῦ, καὶ ἄνω καὶ κάτω, καὶ πάντα ἄνθρωπον φωτίζει καὶ οὐ λείπει ποθέν. Τὸ γὰρ πνεῦμα τὸ ἅγιον, φησὶν ὁ μέγας Παῦλος, πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ. Ἰδοὺ λοιπὸν, ὥσπερ εἰ οὐκ οἴδαμεν τὸν Ἠλίαν[1] τὸν

[1]) Im Texte des unter den Schriften des Athanasius gefundenen Dialogs fehlt das Wort Ἠλία und anstatt dessen steht die folgende Stelle: „ὥσπερ ὃν οὐκ οἴδαμέν ποτε οὐδὲ γινώσκειν δυνάμεθα ποταπὸς ἦν· ὅταν δὲ εἴδομεν τὴν εἰκόνα αὐτοῦ, τότε μικρὸν κατανοοῦμεν τὸν χαρακτῆρα τοῦ προσώπου αὐτοῦ· οὕτως σοι νόει καὶ περὶ τοῦ θεοῦ. Τὸν γὰρ θεὸν οὐδεὶς ἑώρακε πώποτε· πῶς οὖν αὐτὸν καταλαβέσθαι τινὰ δύναται; Ἀλλ' ἐπειδὴ φῶς ἐστι καὶ ὀνομάζεται ὁ θεὸς, ἐκ τοῦ αἰσθητοῦ τούτου φωτὸς ἐξεικονίζομεν αὐτὸν, ὥστε λοιπὸν, ὡς προείπομεν, εἰς τύπον τοῦ ἡλίου χαρακτηρίζαμεν τὴν ἁγίαν τριάδα, λέγοντες εἶναι τὸν μὲν πατέρα δίσκον, τὸν δὲ υἱὸν ἀκτῖνα, τὸ δὲ πνεῦμα τὸ ἅγιον φῶς ἐκ φωτός. Καὶ ὥσπερ ὁ δίσκος καὶ ἡ ἀκτὶς καὶ τὸ φῶς ἕν εἰσι καὶ τρία, ἀμερίστως μεριζόμενα· οὕτως καὶ ὁ θεὸς ἡ τριὰς, ὁ πατὴρ, ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἕν ἐστι καὶ τρία, μεριζόμενα μὲν τοῖς προσώποις κατὰ τὸν ἥλιον, ἀμέριστα δὲ τῇ φύσει διαμένοντα. Καὶ ὥσπερ ὁ δίσκος τοῦ ἡλίου μόνος ἐστὶν αἴτιος καὶ ἀγέννητος, ἡ δὲ ἀκτὶς αἰτιατὴ καὶ γεννητὴ

Θεσβήτην ἐκεῖνον τὸν προφήτην, οὐ γινώσκομεν ποταπὸς ἦν· ὅταν δὲ οἴδαμεν τὴν εἰκόνα ἐκείνου, τότε μικρὸν κατανοοῦμεν τὸν χαρακτῆρα τοῦ προφήτου ἐκείνου Ἡλίου, κἂν καὶ μὴ ἰσότιμός ἐστιν· οὕτω καὶ ἐπὶ τοῦ θεοῦ δεῖ νοεῖν. Καὶ γὰρ θεὸν οὐδεὶς ἑώρακεν πώποτε· καὶ ἐπεὶ τὸν θεὸν οὐκ ἑωράκαμεν οὐδὲ γινώσκομεν ποταπὸς ἦ, ἐπεὶ δὲ φῶς ἐστι ὁ θεὸς, εὑρίσκομεν τὸ αἰσθητὸν φῶς ὥσπερ εἰκόνα τοῦ ἀορατοῦ θεοῦ. εἰ δὲ λέγομεν, πῶς ὁρατὸς ἐστιν ἥλιος, καὶ εἷς ἐστι καὶ τρία πρόσωπα τοῦ ἡλίου καὶ τὰ πρόσωπά εἰσιν ἀχώριστα τοῦ ἡλίου· ὁ δὲ ἥλιος τρισυπόστατος· καὶ οὕτως ἔχε καὶ νόει καὶ πίστευε.

Εἰ δὲ οὐκ ἀρκεῖ σοι τὸ τοῦ ἡλίου παράδηγμα εἰς ἐπίγνωσιν τρισυποστάτου θεότητος, βλέπε καὶ ἄλλην εἰκόνα θεοῦ. Ἔστι δὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. Ὅταν γὰρ ἔμελλε πλάσσειν ὁ θεὸς τὸν ἄνθρωπον, εἶπεν, ὅτι ποιήσομεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ἰδοὺ λοιπὸν, καὶ ὁ ἄνθρωπος εἰκών ἐστι τοῦ θεοῦ, ἤγουν ἡ ψυχὴ τοῦ ἀνθρώπου. Ἐστὶ δὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου μία μὲν, ἀλλὰ τρισυπόστατος· τρία γὰρ πρόσωπα ἔχει ἡ ψυχή· καὶ πῶς ἄκουσον. Ἐστὶν ἡ ψυχὴ ἕν πρόσωπον, ἡ δὲ ψυχὴ γεννᾷ τὸν λόγον, καὶ ἰδοὺ ὁ λόγος ἄλλον πρόσωπον. Καὶ ἰδοὺ πρόσωπα τρία, ψυχὴ, λόγος καὶ πνοὴ τῆς ψυχῆς εἰσι, οὐ τοῦ σώματος· ἐπειδὴ ψυχῆς ἐξελθούσης ἐκ τοῦ σώματος οὔτε λόγος ἐναπομένει τῷ σώματι οὔτε πνοὴ, ἀλλὰ κεῖται τὸ σῶμα καὶ ἄλογον καὶ ἄπνουν. Ὁ δὲ λόγος καὶ ἡ πνοή εἰσιν ἐν τῇ ψυχῇ· καὶ τοῦτο δῆλόν ἐστι, ὡς ὅτι ὁ λόγος καὶ ἡ πνοὴ ἀπὸ τῆς ψυχῆς εἰσι πρόσωπα· καὶ ἰδοὺ λοιπὸν, ἡ ψυχὴ πρόσωπον ἕν, ὁ λόγος ἄλλον πρόσωπον καὶ ἡ πνοὴ ἄλλον πρόσωπον, τρία σχεδὸν πρόσωπα τῆς ψυχῆς, ἀλλὰ ψυχὴ μία καὶ οὐ τρεῖς. Εἰ γὰρ ἐρωτηθῇς, πόσας ψυχὰς ἔχει ὁ ἄνθρωπος; μέλλεις εἰπεῖν ὅτι μίαν· εἰ δὲ ἐρωτηθῇς, καὶ πόσα πρόσωπά εἰσι τῆς μιᾶς ψυχῆς; ἁρμόζει ἵνα εἴπῃς ὅτι τρία, ἐπειδὴ ψυχὴ καὶ λόγος καὶ πνοὴ μία ψυχὴ καὶ πρόσωπα τρία. Καί ἐστιν ἡ μὲν ψυχὴ εἰς τύπον τοῦ πατρὸς, ὁ δὲ λόγος τῆς ψυχῆς ἐστιν εἰς τύπον τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ, ἡ δὲ πνοὴ τῆς ψυχῆς ἐστιν εἰς τύπον τοῦ παναγίου πνεύματος· ὡς γὰρ ἡ ψυχὴ ἀγέννητος, οὕτω καὶ ὁ θεὸς καὶ πατὴρ ἀγέννητος· καὶ ὥσπερ ὁ λόγος τῆς ψυχῆς γεννητὸς ἀπ' αὐτῆς, οὕτω καὶ ὁ λόγος τοῦ θεοῦ γεννητὸς ἀπὸ τοῦ πατρός· καὶ ὥσπερ ἡ ἀπανοὴ γεννᾶται ἐκ τῆς ψυχῆς, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἀπὸ τοῦ πατρός. Καὶ εἰπὲ οὕτως· ψυχὴ, λόγος καὶ πνοὴ μία ψυχὴ καὶ οὐ τρεῖς·[1] *οὕτω καὶ πατὴρ, λόγος καὶ πνεῦμα ἅγιον εἷς θεὸς καὶ οὐ τρεῖς·*

ἐκ τοῦ δίσκου, τὸ δὲ φῶς ἐκπορευτὸν ἐκ μόνου τοῦ δίσκου, διὰ τὸ τῆς ἀκτῖνος πεμπόμενον καὶ καταλάμπον τὰ περίγεια· οὕτως καὶ ὁ Θεὸς καὶ πατὴρ αὐτὸς μόνος ἐστὶν αἴτιος τοῖς δυσὶ καὶ ἀγέννητος, ὁ δὲ υἱὸς ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸς καὶ γεννητὸς, καὶ αὐτὸ τὸ πνεῦμα ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸν καὶ ἐκπορευτὸν, διὰ δὲ τοῦ υἱοῦ ἐν τῷ κόσμω ἀποστελλόμενον· καὶ οὕτω ἔχε καὶ νόει καὶ πίστευε.“ Es ist evident, daß diese Stelle der Ansicht von der Progressio des heiligen Geistes a patre filioque entgegentritt und als solche ist sie späteren Ursprungs.

[1]) V. *ἀχώριστος γὰρ ὁ λόγος καὶ ἡ πνοὴ ἀπὸ τῆς ψυχῆς, ὁμοίως καὶ πατὴρ κτλ.*

ἀχώριστος[1] ὁ πατὴρ καὶ ὁ λόγος καὶ τὸ ἅγιον πνεῦμα, ἀόρατος ἡ ψυχὴ, ἀόρατος καὶ ὁ θεός. Καὶ ὅταν διστάσεις ἐν τῷ νοΐ σου καὶ λέγεις, ὅτι πῶς ἕνι ὁ θεὸς εἷς πάλιν τρισυπόστατος, ἐνθυμοῦ τὴν ψυχήν σου καὶ λέγε· ὥσπερ ἡ ψυχὴ μου μία ἐστὶν, ἀλλὰ τρισυπόστατος ἔνι, ψυχὴ, λόγος καὶ πνοὴ, οὕτω καὶ ὁ θεὸς εἷς ἐστιν ἀλλὰ τρισυπόστατος, πατὴρ, λόγος καὶ πνεῦμα ἅγιον· καὶ λέγε τῷ νοΐ σου· ἐὰν ἡ ψυχὴ τὸ ποίημα τοῦ θεοῦ, ὁμοίως καὶ ὁ ἥλιός ἐστι τρισυπόστατος ἡ δὲ φύσις αὐτῶν ἐστι μία, πόσῳ μάλλον ὁ θεὸς ὁ ποιητὴς πάντων τούτων οὐκ ἐνδέχεται εἶναι οὕτως, ὥστε εἶναι εἷς καὶ τρισυπόστατος; καὶ ἀληθῶς ἡ ψυχὴ, ὁ λόγος καὶ ἡ πνοὴ τρία πρόσωπα; οὕτω καὶ εἷς θεὸς καὶ οὐ τρεῖς· καὶ οὕτως ἐὰν συλλογίζῃ πάντοτε, μὴ βλασφημήσῃς ἐπὶ τῆς ἁγίας τριάδος.

Ἰδοὺ[2] τὸ πῦρ ἕν ἐστιν ἀλλὰ τρισυπόστατον ἔνι· αὐτοῦ γάρ ἐστι πρόσωπον τὸ ὑποκείμενον πῦρ, τὸ δὲ καυστικὸν αὐτοῦ ἕτερον πρόσωπον καὶ τὸ φωτιστικὸν αὐτοῦ ἄλλο. Ἰδοὺ λοιπὸν τρία πρόσωπα τοῦ ἑνὸς πυρός· ἤγουν πῦρ, καυστικὸν καὶ φωτιστικὸν, μία δὲ φύσις τοῦ πυρός· ὁμοίως δὲ ἐπὶ τοῦ θεοῦ. Ὁ γὰρ πατὴρ ἕνι τὸ πῦρ, ὁ υἱὸς τὸ καυστικὸν, τὸ πνεῦμα τὸ ἅγιον ἕνι τὸ φωτιστικόν· καὶ ὥσπερ ἐπὶ τοῦ πυρὸς τὸ πῦρ, τὸ καυστικὸν καὶ τὸ φωτιστικὸν ἕν λέγομεν, οὐ τρία, οὕτω καὶ ἐπὶ θεοῦ τρία τὰ πρόσωπα, θεὸν δὲ ἕνα λέγομεν καὶ οὐ τρεῖς, καὶ περὶ μὲν τῆς ἁγίας τριάδος ἐπίγνωσιν ἀρκεῖ τοσαῦτα τῷ πιστεύοντι.

Ὁ λόγος τοῦ ἀνθρώπου δηλονότι διπλῆν ἔχει τὴν γέννησιν· ἐν δυσὶ γὰρ προφοραῖς γεννᾶται, ἀπὸ τῆς ψυχῆς μίαν, ἑτέραν, δὲ ἀπὸ τῶν χειλέων. Γεννᾶται μὲν γὰρ ὁ λόγος ἀπὸ τῆς ψυχῆς, ὅταν ἐνθυμηθῇ τις τοῦ εἰπεῖν τι· ἡ γὰρ ἐνθύμυσις πρώτη γεννήσει τοῦ λόγου γίνεται, ἐπεὶ ἐνθυμεῖται τὸν λόγον τοῦ εἰπεῖν ἐκεῖνον· οὐ λέγει δὲ τοῦτον διὰ τῶν χειλέων, ἀλλὰ φυλάσσει τὸν λόγον ἡ ψυχὴ ἐν τοῖς κόλποις αὐτῆς· καὶ ἐστιν ἡ ἐνθύμησις ἐκείνη πρώτη γέννησις τοῦ λόγου ἀπὸ τῆς ψυχῆς. Ὅμως κἂν γεννηθῇ ὁ λόγος, πρώτην γέννησιν ἔχει, ὅταν ἐνθυμηθῇ αὐτὸν ἡ ψυχὴ, ἀλλ' οὐ φανεροῖ αὐτὸν ἡ ψυχή· ὅταν δὲ θέλῃ φανερῶσαι τὸν λόγον, τότε γεννᾷ αὐτὸν καὶ δευτέραν γέννησιν ἐκ τῶν χειλέων· καὶ ἐστιν αὐτὴ δευτέρα γέννησις ἐκ τῶν χειλέων· τότε οἱ πάντες ἀκούουσι τὸν λόγον καὶ φανεροῖ αὐτὸν τοῖς πᾶσι, καὶ οὐκ ἔτι λέγεται ὁ λόγος ἀφανὴς, ἀλλ' ἐμφανής. Ὅταν δὲ γεννηθῇ ὁ λόγος, ἤγουν ὅταν λαληθῇ διὰ τῶν χειλέων, καὶ λέγεται αὕτη ἡ γέννησις διὰ τῶν χειλέων δευτέρα γέννησις τοῦ λόγου· ὥστε δύο εἰσὶν αἱ γεννήσεις τοῦ λόγου ἡμῶν, μία ἐκ τῆς ψυχῆς, ὅταν ἐνθυμυνθῇ τοῦ λόγου, ἣ καὶ πρώτη γέννησις λέγεται, καὶ ἄλλη ἐκ τῶν χειλέων, ἣ καὶ φανεροῖ τὸν λόγον ἐν πᾶσιν ἀνθρώποις, καὶ λέγεται δευτέρα γέννησις. Βλέπε δὲ, ὥσπερ τοῦ ἀνθρώπου ὁ λόγος δύο γεννήσεις ἔχει, μίαν ἐκ ψυχῆς καὶ μίαν ἐκ χειλέων· οὕτω καὶ ὁ τοῦ θεοῦ λόγος δύο γεννήσεις ἔχει, μίαν ἐκ θεοῦ πατρὸς, ἥτις καὶ πρώτη λέγεται γέννησις, καὶ μίαν ἐκ τῆς σαρκὸς, ἥτις καὶ δευτέρα

---

[1]) V. *ἀχώριστος γὰρ ὁ λόγος καὶ τὸ πνεῦμα τὸ θεῖον ἐκ τοῦ πατρός· καὶ καθάπερ ἀόρατος ἡ ψυχὴ, οὕτως ἀόρατος καὶ ὁ θεός· καὶ οὕτως ὅταν διστάζεις κτλ.*

[2]) V. *Ἀλλὰ ἀκμὴν καὶ ἄλλην εἰκόνα θεοῦ ἄκουσον ἀγαπητέ. Ἰδοὺ τὸ πῦρ κτλ.*

λέγεται γέννησις. Καὶ ὥσπερ ὁ λόγος ἡμῶν κἂν γεννηθῇ, τὴν πρώτην γέννησιν ἀπὸ τῆς ψυχῆς ἔχει, ἀλλ' ὅμως ἀφανὴς ἔνι καὶ οὐ φανεροῦτε, ἀλλὰ πάλιν μετὰ γέννησιν μένει ἐν τοῖς τῆς ψυχῆς κόλποις· οὕτω καὶ ὁ τοῦ θεοῦ λόγος, κἂν γεννηθῇ πρὸ τῶν αἰώνων ἐκ τοῦ θεοῦ καὶ πατρὸς, ἀλλ' οὐκ ἐφανεροῦτο ἐν τοῖς ἀνθρώποις, ἀλλ' ἦν ἐν τοῖς κόλποις τοῖς πατρικοῖς. Καὶ ὥσπερ ὁ ἡμέτερος λόγος, ὅταν βουληθῶμεν, γεννᾶται ἐκ τῶν χειλέων ἡμῶν καὶ φανεροῦται ἐν ὅλοις τοῖς ἡμῶν πλησιάζουσι· οὕτω καὶ ὁ τοῦ θεοῦ λόγος, ὅταν ηὐδόκησεν, ἐγεννήθη, ὡς προείρηται ἐκ τῶν χειλέων τῶν προφητῶν, ἐκ τῆς παναγίας Μαρίας, καὶ τότε γέγονε φανερῶς ἐν ὅλῳ τῷ κόσμῳ. Ὡς γὰρ φανεροῦται ὁ ἡμέτερος λόγος γεννηθεὶς ἐκ τῶν χειλέων ἡμῶν· οὕτω δὴ καὶ ὁ τοῦ θεοῦ λόγος γεννηθεὶς ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρθένου, ἐφανερώθη πάσῃ τῇ κτίσει, καὶ οἱ πιστεύοντες αὐτῷ σώζονται. Καὶ ὥσπερ ὁ ἡμέτερος λόγος, ὅταν γεννᾶτε ἀπὸ τῶν χειλέων, οὔτε ἀπὸ τῆς ψυχῆς λείπει, οὔτε ἀπὸ τῶν χειλέων ἡμῶν, οὔτε ἀπὸ τῶν ὠτίων τῶν ἀκουόντων, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ καὶ ἐν τοῖς χείλεσιν ἡμῶν καὶ εἰς τὰ ὦτα τῶν ἀκουόντων, καὶ οὐ λείπει ποθὲν, κἂν χίλιαι χιλιάδες ἀκούσωσι τὸν λόγον, οὐκ ἐλαττοῦται ὁ λόγος ἀλλ' ἀεὶ ὁ λόγος ἡμῶν πληρέστατος εἴη· οὕτω καὶ ὁ τοῦ θεοῦ λόγος ἐγεννήθη [1] ἐκ τῆς παρθένου Μαρίας, ὡς ἐκ τῶν προφητικῶν χειλέων προείρηται· ἀλλ' οὖν οὔτε ἀπὸ τοῦ πατρὸς ἔλειπεν, οὔτε ἀπὸ τῆς σαρκὸς, οὔτε ἀπὸ πάντων τῶν ἀνθρώπων, οὔτε ἀφ' ὅλης τῆς πίστεως, ἀλλὰ πανταχοῦ παρῆν καὶ οὐκ ἐλαττονήθη, ἀλλὰ πληρέστατος ἦν. Οὕτω νόει καὶ περὶ τοῦ λόγου τοῦ θεοῦ, ὅτι διπλῆν ἔχει τὴν γέννησιν, μίαν ἐκ τοῦ θεοῦ πατρὸς, καὶ μίαν ἐκ τῆς σαρκὸς· καὶ ἡ μὲν ἐκ τοῦ πατρὸς προαιώνιος, ἡ δὲ ἐκ τῆς σαρκὸς ἐπ' ἐσχάτων τῶν ἡμέρων· ὥσπερ ὁ ἡμέτερος λόγος πρῶτον γεννᾶται ἀπὸ τῆς ψυχῆς, ὁ δεύτερος ἀπὸ τῶν χειλέων· καὶ ταῦτα περὶ τῶν δύο γεννήσεων τοῦ λόγου τοῦ θεοῦ.

Τ. Τί κοινὸν τῆς ἁγίας τριάδος;

Π. Κοινὸν ἡ οὐσία, κοινὸν τὸ ἄναρχον, κοινὸν ἡ δύναμις, ἡ ἀγαθότης καὶ ἡ δικαιοσύνη· καὶ πάντα ἐξ ἴσου ἔχει ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα πλὴν τῶν ἰδίων αὐτῶν.

Τ. Τί ἴδιον τοῦ πατρός; Π. Τὸ ἀγέννητον.

Τ. Τί ἴδιον υἱοῦ; Π. Τὸ γεννητόν.

Τ. Τί ἴδιον τοῦ ἁγίου πνεύματος; Π. Τὸ ἐκπορευτόν.

Τ. Ἐπὶ τοῦ θεοῦ πόσας φύσεις ὁμολογεῖς;

Π. Ἐπὶ τοῦ θεοῦ μίαν λέγω φύσιν, μίαν μορφὴν, ἕν γένος, μίαν δόξαν, μίαν ἀξίαν, μίαν κυριότητα.

Τ. Ὑποστάσεις δὲ πόσας ὁμολογεῖς ἐπὶ τοῦ θεοῦ;

Π. Ἐπὶ τοῦ θεοῦ τρεῖς λέγω, τρία πρόσωπα, τρία ἄτομα καὶ τρεῖς χαρακτῆρας.

---

[1]) V. *κἂν καὶ ἐγεννήθη ἐκ τῆς παρθένου Μαρίας καὶ ἐκ τῶν χειλέων τῶν προφητῶν· ἀλλ' οὖν οὔτε κτλ.*

T. Καὶ διὰ τί λέγεται πατὴρ ὁ πατήρ;

Π. Πατὴρ λέγεται ὁ θεὸς καὶ πατῆρ ἀπὸ τοῦ πάντα τηρεῖν.

T. Καὶ ὁ υἱὸς διὰ τί λέγεται υἱός;

Π. Υἱὸς λέγεται παρὰ τοῦ οἷος· οἷος γὰρ ὁ πατὴρ, τοιοῦτος καὶ ὁ υἱὸς, καὶ τροπῇ τοῦ ο εἰς υ υἱός· ὅμοιος γὰρ ὁ υἱὸς τῷ πατρί.

T. Καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τί λέγεται πνεῦμα;

Π. Πνεῦμα λέγεται παρὰ τὸ νεύει· πάντα γὰρ ὀξέως ἐπινοεῖ, ἤγουν πάσαν νεῦσιν συντόμως ἐπινοεῖτε· τὸ γὰρ ἅγιον πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ.

T. Ἐπὶ θεοῦ πόσα αἴτια;

Π. Ἓν αἴτιον ἐπὶ θεοῦ λέγω, καὶ τοῦτό ἐστιν ὁ πατήρ· αὐτὸς γεννᾷ τὸν υἱὸν καὶ ἐκπορεύει τὸ ἅγιον πνεῦμα. Γίνωσκε ὅτι ὁ πατὴρ μόνος ἐστὶν αἴτιος, ὁ δὲ υἱὸς οὐκ ἔστι αἴτιος ἀλλὰ αἰτιατὸς, καὶ τὸ ἅγιον πνεῦμα ὁμοίως οὐκ ἔστιν αἴτιον ἀλλ' αἰτιατόν· ὥστε τὸ μὲν αἴτιον ἕν ἐστιν ὁ πατὴρ, τὰ δὲ αἰτιατὰ δύο, ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. Αἴτιος λέγεται ὁ πατὴρ διὰ τὸ γεννᾶν καὶ οὐ γεννᾶται, ἐκπορεύει καὶ οὐκ ἐκπορεύεται· γεννᾷ μὲν τὸν υἱὸν, ἐκπορεύει δὲ τὸ πνεῦμα τὸ ἅγιον· καὶ διὰ τοῦτο λέγεται ὁ πατὴρ αἴτιος.

T. Καὶ πόσα αἰτιατά;

Π. Αἰτιατὰ δύο, ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. Οὐ γεννᾷ ὁ υἱὸς, ἀλλὰ γεννᾶται, διὰ τοῦτο λέγεται αἰτιατός· ὁμοίως καὶ τὸ ἅγιον πνεῦμα οὐκ ἐκπορεύει, ἀλλ' ἐκπορεύεται, καὶ διὰ τοῦτο λέγεται αἰτιατόν. Λοιπὸν ἐάν τις ἐρωτήσῃ σε, ὅτι ἐπὶ τοῦ θεοῦ πόσα αἴτια λέγεις; εἰπὲ ἕν· ποιὸν τοῦτο; πατήρ.

T. Καὶ διὰ τί λέγεται αἴτιον;

Π. Διὰ τὸ γεννᾶν τὸν υἱὸν καὶ ἐκπορεύειν τὸ πνεῦμα ἅγιον.

T. Ἐπὶ τῆς ἁγίας τριάδος τίς πρῶτος ἐκ τῶν τριῶν, ὁ πατὴρ ἢ ὁ υἱὸς ἢ τὸ πνεῦμα τὸ ἅγιον;

Π. Ἐπὶ τῆς ἁγίας τριάδος οὐδείς ἐστι πρῶτος, οὐδείς ἐστιν ὕστερος, ἀλλὰ ἅμα πατὴρ, ἅμα υἱὸς, ἅμα καὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ διὰ τοῦτο συνάναρχοι λέγονται[1]*, τὸ πρὸ τῆς ἀρχῆς ὄν. Ὁ δὲ θεὸς οὐκ ἔχει ἀρχὴν, ἀλλὰ πρὸ τῆς ἀρχῆς ἔστι, διὰ τοῦτο λέγεται ἄναρχος· ἄναρχος λοιπὸν ὁ πατὴρ, ἄναρχος λοιπὸν ὁ υἱὸς, ἄναρχον καὶ τὸ πνεῦμα ἅγιον· καὶ ἰδοὺ συνάναρχοι, καὶ οὐδεὶς πρῶτος καὶ οὐδεὶς ὕστερος ἐπὶ τῆς ἁγίας τριάδος.*

T. Καὶ τὸ πνεῦμα τὸ ἅγιον πῶς ἐκπορεύεται ἐκ τοῦ πατρός;

Π. Ἔδει σε καὶ περὶ τούτου μὴ ἐρωτᾶν, καὶ τοῦτο γὰρ ἀνερμήνευτον. Πλὴν μάνθανε καὶ περὶ τούτου, ὅτι ὅσπερ ἡ ἀναπνοὴ τοῦ ἀνθρώπου ἐκ τῆς ψυχῆς ἐκπορεύεται, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται.

---

[1]) V. *καὶ ἄναρχοι· ἄναρχον δὲ λέγεται τὸ πρὸ τῆς ἀρχῆς ὄν. Ἄναρχος λοιπὸν ὁ πατὴρ, ἄναρχος ὁ υἱὸς, ἄναρχον τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐχ ὁ μὲν πρῶτος, ὁ δ' ὕστερος, ἀλλ' ἅμα οἱ τρεῖς, πατὴρ, υἱὸς καὶ πνεῦμα ἅγιον· Διὰ τοῦτο καὶ συνάναρχοι καὶ εἰσὶν καὶ ὀνομάζονται.*

Τ. Ἆρα χωρεῖται ὁ θεὸς ἐν ἑνὶ τόπῳ ἢ οὔ;

Π. Θὲς τὸν νοῦν σου καὶ νόησον, ὅτι ὁ θεὸς φῶς ἐστιν, ἀθεώρητος καὶ ἀχώρητος, οὔτε οὐ θεωρεῖται ὁ θεὸς, οὔτε χωρεῖται εἰς τὸ πᾶν, ὅπου μέλλει χωρεῖν καὶ κατοικεῖν· ὥστε δῆλον, ὅτι οὐ χωρεῖται ἐν ἑνὶ τόπῳ, ἀλλὰ παντὶ καὶ πανταχοῦ πάρεστιν ὁ θεός. Πάντα ἤκουσας περὶ τῆς ἁγίας τριάδος, ὅτι ἕν πρόσωπον ὁ πατὴρ καὶ τὸ ἕτερον λέγεται πνεῦμα ἅγιον, καὶ τὸ ἄλλον τὸ πρόσωπον λέγεται υἱὸς καὶ λόγος. Ἰδοὺ λοιπὸν γίνωσκε, ὅτι οὗτος ὁ υἱὸς καὶ λόγος ἐνεδύθη σάρκα ἀνθρώπινον καὶ περιεπάτησεν ἐν τῇ γῇ, καὶ μετὰ τὸ φορῆσαι τὴν σάρκα, καὶ ἐν τῷ περιπατεῖν αὐτὸν ἐν τῇ γῇ μετὰ σαρκὸς ὠνομάσθη καὶ ἐκαλεῖτο Χριστός· καὶ λοιπὸν ὁ Χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ ἐστι σεσαρκομένος ἔχων ἀνθρώπου μορφήν.

Τ. Καὶ τί χρείαν εἶχεν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ ἵνα σαρκωθῇ, καὶ ὡς ἄνθρωπος περιπατεῖν ἐν τῷ κόσμῳ;

Π. Ἐπειδὴ ἠρώτησας μαθεῖν, τί ἤθελεν ὁ θεὸς καὶ ἐσαρκοῦτο, ἄκουσον τὸν τρόπον. Θεὸς οὐδεμίαν χρείαν εἶχε σαρκωθῆναι, ἀλλ' ἡ ἀνθρωπότης ἐδέετο ἰατρείας. Ἐπειδὴ γὰρ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ ἔπλασε τὸν ἄνθρωπον καὶ ἔθηκεν αὐτὸν ἐν μέσῳ τοῦ παραδείσου καὶ ἔταξεν αὐτὸν βασιλεύειν εἰς πάντα τὰ κτίσματα καὶ κατοικεῖν ἐν τῷ παραδείσῳ ὡς θεόν. Εἰδὼς τοῦτον ὁ διάβολος φθονίσας τὴν τοῦ ἀνθρώπου ἀξίαν συνεβούλευσεν αὐτῷ τῷ ἀνθρώπῳ παρακοῦσαι τῷ θεῷ·[1] *ὁ δὲ ἄνθρωπος μὴ ἔχων πεῖραν τῆς κακίας τοῦ πονηροῦ ἤκουσε τῆς συμβουλῆς τοῦ διαβόλου καὶ παρήκουσε τοῦ θεοῦ. Καὶ ἐκ τότε ἐδέξατο τὸν θάνατον τῆς ἁμαρτίας· ὁμοίως καὶ ἐξ ἐκείνου τοῦ ἀνθρώπου γενόμενοι ἄνθρωποι ὡς ἐκ προγόνων τὴν ἁμαρτίαν λαβόντες ἐκράτησαν ταύτην καὶ ἴσχυεν ἡ ἁμαρτία. Διὰ τὸν ἄνθρωπον ἔπεμψεν ὁ θεὸς τοὺς προφήτας διδασκάλους εἰς τὸν κόσμον, ἵνα διδάξωσι τοὺς ἀνθρώπους καὶ στραφῶσιν ἀπὸ τῆς ἁμαρτίας. Οὐκ ἐνδυνήθησαν δὲ οἱ προφῆται τοῦ διορθῶσαι. Καὶ διὰ τοῦτο εἶπεν ὁ θεὸς ἐν ἑαυτῷ· καταβήσομαι καὶ φορέσω σάρκα καὶ γενήσομαι ἀνθρωπόμορφος καὶ διδάξω τὸ πλάσμα μου, καὶ στραφήσονται ἀπὸ τῆς τοῦ διαβόλου συμβουλῆς, καὶ ἔσται πᾶς ἄνθρωπος ὡς θεὸς, καὶ οὐ κατὰ τὴν φύσιν, ἀλλὰ κατά τινα μετοχήν. Καὶ τοῦτο βουληθεὶς ὁ θεὸς εὐδοκείᾳ τοῦ θεοῦ καὶ πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου πνεύματος συγκατέβη ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ καὶ εἰσῆλθεν εἰς καθαρὰν καὶ ἁγίαν παρθένον ἁγνὴν, καὶ προσλαβόμενος σάρκα ἐνανθρώπισεν. Καὶ πάλιν ἐκ τῆς παρθένου ἐξελθὼν περιεπάτησεν ἐν τῷ κόσμῳ μετὰ τῶν ἀνθρώπων. Καὶ τότε ὠνομάσθη Χριστὸς καὶ ἐδίδαξεν τοὺς ἀνθρώπους τὴν ὁδὸν τῆς ἀληθείας· καὶ οὗτος ὁ Χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ σάρκα φορῶν· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

---

[1]) V. *τοῦ θεοῦ, ἵνα διὰ τῆς παρακοῆς ἐξώσει αὐτὸν τοῦ παραδείσου καὶ τῆς τοῦ θεοῦ ἀξίας καὶ θνητὸν τὸν ἀθάνατον ἀπεργάσηται.*

B. Das Bekenntnis des Cyrill Lukaris.

Die unter diesem Namen verfaßte Schrift gehört eigentlich — wie auch der Dialog — nicht zur Zahl der symbolischen Bücher der gr.-or. Kirche. Dies nicht etwa aus dem allzuoft — entschieden fälschlicherweise — angeführten Grunde: dieselbe stamme nicht von Cyrill Lukaris, sondern deswegen, weil die darin vorgetragene Lehre niemals von der gr.-or. Kirche, sondern nur von ihrem Verfasser bekannt geworden ist. Wenn also das Bekenntnis Lukaris' einen Platz unter den Bekenntnisschriften der gr.-or. Kirche einnimmt, so soll dies nicht so aufgefaßt werden, als sei dasselbe den anderen ebenbürtig, sondern so, daß es nur um der literarischen Bewegung halber, die dasselbe hervorgerufen hat, geschieht. Aus demselben Grunde werden wir verhältnismäßig nur wenig sagen können über diese, sonst für die Kirchen- und Dogmengeschichte und für die Geschichte der Symbolik hochinteressante Schrift, wie denn auch über die noch interessantere Persönlichkeit ihres Verfassers.

Cyrill Lukaris, oder wie er mit seinem weltlichen Namen hieß, Constantinos, wurde geboren am 13. November 1572 in Kandia, der Hauptstadt Kretas, welche damals Venedig gehörte. Dort hatte er zu Lehrern den Meletios Vlastos und den Maximos Margunios, berühmte Lehrer ihrer Zeit. Im Alter von kaum 12 Jahren begab sich Cyrill nach Venedig und von da bald nach Padua, wo er bis zum 25. Lebensjahre blieb, mit Studium fleißig beschäftigt. In dieser Lebensperiode stand Cyrill, wie auch sein damals in Venedig weilender Lehrer Margunius, mit dem er sich in Korrespondenz befand, dem Römisch-Katholizismus nahe und ließ sich von der Hoffnung einer Union tragen. Bald darauf aber sollte er, wie Margunius, auch ein verschworener Feind der päpstlichen Kirche im allgemeinen und des Jesuitismus im besonderen werden. Im Jahre 1594 nach Beendigung seiner Studien ging er nach Alexandrien zu seinem Gönner und Verwandten, dem Patriarchen Meletios Pegas, der ihm sogleich die mönchische Weihe und die Würde eines Synkellos erteilte. Ob er vor der Rückkehr nach Alexandrien oder später mehrere Länder des abendländischen Europas durchreiste, wo er Bekanntschaft mit vielen protestantischen Gelehrten machte, das läßt sich mit Bestimmtheit nicht sagen.

Im Jahre 1596 war Cyrill Rektor der Lehranstalt zu Ostrog in Litthauen. Hier wollte er die Union der Ruthenen mit der päpstlichen Kirche hintertreiben, die Jesuiten hatten aber dieselbe bereits (23. Dezember 1595) zur Tatsache gemacht. Cyrill verzweifelte jedoch nicht, er blieb dort bis zum Jahre 1602, indem er als Beauftragter (*Ἔξαρχος*) des Patriarchen von Alexandrien an den zahlreichen Unions-

verhandlungen aller Konfessionen in Polen und Litthauen regen Anteil nahm. Die Jesuiten, deren ausgesprochener Gegner er nunmehr war, wissen verschiedenes sich selber Widersprechendes von Cyrill zu erzählen. Bald soll er Korrespondenzen mit den protestantischen Theologen in Genf und Wittenberg hinsichtlich seines Übertritts zum Protestantismus unterhalten, ja sogar diese zwei Städte besucht haben, und Leo Allatius und Papadopulos geben auch die Summe an, die er dort für seinen Übertritt erhalten habe; bald soll er dem Römisch-Katholizismus gehuldigt haben, so daß der Jesuit Skarga in seinen „Miscellanea de synodo Brestensi" sogar einen Brief Cyrills vom 24. Januar 1601 veröffentlichen konnte, „in qua confessionem fidei suae romanae conformem edit". Was von all' diesem zu halten, ist schwer zu entscheiden. Wahrscheinlich ist alles nur jesuitische Erdichtung.

Im Jahre 1602 wurde Cyrill zum Patriarchen von Alexandrien, an die Stelle des verstorbenen Meletios Pegas, gewählt. In demselben Jahre lernte er den holländischen Gesandten in Konstantinopel, Cornelius Haga, kennen, durch dessen Vermittlung er in nähere Beziehung zum Protestantismus (insbesondere zu den Arminianern) trat. Seines liberalen Charakters wegen geriet er in Streitigkeiten mit dem Patriarchen von Konstantinopel.

Cyrill reiste sehr gern, und überall, wo er hinkam, unterließ er nicht zu predigen. Im Jahre 1612, als der ökumenische Patriarch Neophitus II. wegen des Verdachtes der Begünstigung der Jesuiten abgesetzt wurde, lehnte Cyrill die ihm angebotene ökumenische Patriarchenwürde ab, weil er den dafür geforderten Preis nicht zahlen wollte. Nach anderen soll ihm, seiner protestantischen Gesinnungen halber, diese Würde abgesprochen sein. Tatsache ist, daß Cyrill sich öffentlich gegen den Vorwurf, er sei ein *λουτερανός*, rechtfertigen mußte (Streitschrift gegen den Patriarchen Timotheos). Trotz seiner warmen Verteidigung und des Hinweises auf seine weltbekannte Orthodoxie weht doch in dieser seiner Schrift ein sanfter reformatorischer Geist. Bald darauf suchte Cyrill den Berg Athos, alsdann die Walachei auf, wo er in der damaligen Fürsten- und Metropolitenresidenz und Hauptstadt des Landes, in Tergoviste, eine gegen die Römer und vornehmlich von der Progressio des heiligen Geistes, vom Fegefeuer und dem Primat des Papstes handelnde Predigt hielt. An den *„Πρίγκιπαν Κύριον Ἰωάνην Ῥαδοὺλ Βοεβόδα, αὐθέντην καὶ γνήσιον κληρονόμον τῆς Οὐγγροβλαχείας ἁπάσης"* richtete er auch einen Brief, worin er gegen den römischen Gebrauch des *„ἄζυμον"* bei der Messe redet. Nach Alexandrien zurückgekehrt, pflegte er seine früheren Verbindungen mit den protestantischen Theologen und Gelehrten und knüpfte neue an mit dem holländischen Staatsmanne David le Leu de Wilhelm, mit dem Erzbischofe Abbot von Canterbury, mit Anton Leger, Prediger und Professor zu Genf, mit dem Remonstranten

Uitenbogaert, mit dem König Gustav Adolf von Schweden und dessen Staatskanzler Oxenstierna, mit der Republik Venedig u. a., mit denen er Korrespondenz unterhielt. Durch David le Leu de Wilhelm bekam er viele protestantische und sogar katholische Bücher zu lesen.

Im Jahre 1621 wurde Cyrill Patriarch von Konstantinopel. Da sein Vorgänger Timotheus an Vergiftung starb und Cyrill den mutmaßlichen Vergifter Josaphat zum Erzbischofe von Chalcedon beförderte, so haben manche Cyrill für den moralischen Urheber der Vergiftung des Timotheus angesehen. Was in dieser Angelegenheit, wie auch in vielen andern, welche Cyrill betreffen, wahr und was Erdichtung sein kann, das ist nach den sich widersprechenden und tendenziösen Angaben seiner Feinde und Freunde sehr schwer zu entscheiden. Von nun an beginnt der unglückliche Teil des Lebens Cyrills. In den Jesuiten hatte er Todfeinde, die Aspiranten des Patriarchenstuhls, welcher durch Geld leicht zu haben war, reichten gern den Jesuiten ihre Hand. Selbst die den Jesuiten ungünstig Gesinnten sahen nicht mit freudigem Blick und ohne Neid den liberalen Patriarchen an, so daß den zwischen standhafte Feinde und schwankende Freunde gestellten Cyrill nur ein trauriges Ende erwarten konnte. Es ist sogar zu verwundern, daß dasselbe sich noch in die Länge gezogen hat. Tomas Rowe und Cornelius de Haga, dem englischen und dem holländischen Gesandten, ist es zu verdanken, daß der dreimal abgesetzte Cyrill seinen Stuhl zum vierten und letzten Male wieder erlangte. Allerhand Ränke wurden von den schwarzen Mitgliedern der „Societas Jesu“ geschmiedet, allerhand Machinationen in Bewegung gesetzt, daß dem wackeren Patriarchen aufs schnellste das Ende bereitet werde. Der „filius tenebrarum et inferni“ sollte kurzerhand aus der Welt geschafft werden. In der Tat gelang es den Jesuiten im Jahre 1638, als der Sultan Murad gegen Persien ins Feld ziehen wollte, diesem durch Bairam Pascha beizubringen, daß Cyrill ein gefährlicher Mann sei, der die Kosaken aufwiegle, also bei der Abwesenheit des Heeres den Staat ernstlich bedrohen könnte. Auf den Befehl des Sultans wurde der Greis von Janitscharen überfallen, auf ein Boot gebracht, erwürgt und sein Leichnam ins Meer geworfen. Freunde bestatteten den aufgefundenen Leichnam auf einer Insel, und zehn Jahre später, nachdem sein Gegner und Nachfolger, Cyrill von Börrhea, desselben Todes gestorben war, gab der Patriarch Parthenius II. den Gebeinen Lukaris' ein Ehrenbegräbnis in Konstantinopel.

Der durch Cyrill ins Leben gerufene Kampf dauerte nach seinem Tode noch lange Zeit hindurch, bis schließlich die Frage nach dem konfessionellen Glauben der gr.-or. Kirche durch das von Petrus Mogilas verfaßte und von den Synoden zu Jassy (1642) und Jerusalem (1672) angenommene Bekenntnis gelöst wurde.

Die verhängnisvolle Schrift, Bekenntnis des Cyrill Lukaris, welche weder ihrem Verfasser, noch dessen Kirche, noch einer von den

anderen zwei im Kampfe stehenden Konfessionen — dem Protestantismus und dem Römisch-Katholizismus — irgend etwas Ersprießliches hat bringen können, sondern nur Zwist, Haß und Unglück aus voller Hand gesät hat, erschien zuerst 1629 lateinisch zu Genf unter Cyrills Namen und mit der Widmung an Cornelius de Haga. Viele bestritten die Echtheit der lateinischen Sprache wegen und weil es unmöglich schien, solche Sätze, wie sie darin standen, im Namen der gr.-or. Kirche auszugeben. Der griechisch-unierte Erzbischof von Iconium, Matthäus Caryophyllus Syrigus, behandelte in seiner „Censura confessionis fidei" (Rom 1631) dieselbe als untergeschoben. Selbst die Gegner Cyrills wollten — um der Würde der Kirche willen — nicht annehmen, daß die Schrift die seine sei, benutzten aber die Anerkennung seiner Autorschaft dazu, ihn zu stürzen. Alle Zweifel zerstreute Cyrill dadurch, daß er im Jahre 1633 eine neue Auflage erscheinen ließ, der auch der griechische Text und die vier Fragen hinzugefügt wurden. Von diesem Datum an wurde das Bekenntnis sehr oft herausgegeben und in viele Sprachen übersetzt.

Die wiederholten Versuche (Matthäus Caryophyllus Syrigus, die Synoden zu Jassy und Jerusalem), das Bekenntnis des Cyrill als ein ihm untergeschobenes Werk hinzustellen, entbehren alles festen Grundes. Das Gegenteil davon ist in die Augen springend. Was die Zeitgenossen Cyrills nicht glauben wollten, daß er nämlich tatsächlich der Verfasser jener calvinistischen *ὁμολογία* sei, das hat sich aus der Veröffentlichung seiner reichlichen Korrespondenz mit vielen Gelehrten und ausgezeichneten Männern dieses Glaubens evident herausgestellt. In vielen seiner Briefe an diese Männer schreibt er von seiner *ὁμολογία* als von seinem eigenen Werke, nimmt sie in Schutz gegen Angriffe und spricht sich für den Calvinismus aus, so wie er denselben darin vertritt. Desgleichen sollte es klar sein — was leider nicht immer der Fall gewesen ist —, daß diese Schrift ein Privatbekenntnis gewesen und geblieben ist. Der naheliegende und unbestreitbare Gedanke, daß Cyrill sie als seine Privatbekenntnis ausgegeben und angesehen habe, hebt den Charakter derselben nicht auf. Auch die Tatsache, daß Cyrill nicht vereinzelt mit seinen calvinistischen Gedanken dagestanden, sondern daß es — sei es durch sein Benehmen im allgemeinen, sei es durch die Veröffentlichung seines Bekenntnisses — viele gegeben hat, die derselben Ansicht wie er waren, ändert nichts an der Tatsache, daß das Bekenntnis des Cyrill nur eine Privatschrift ist. Die gr.-or. Kirche hat davon offiziell Notiz genommen, nur indem sie dieselbe widerlegte und verurteilte. Als symbolische Schrift hat sie dieselbe niemals angesehen, und nicht einmal einzelne Gemeinden oder theologische Schulen haben dieselbe zu ihrem Bekenntnis gemacht. Jedoch die *ὁμολογία* des Cyrill hat in der gr.-or. Kirche eine so tiefe und große Bewegung hervorgerufen, wie sie weder vorher noch nachher in dem ganzen Körper dieser Kirche

gespürt worden ist. Eine Unzahl von Schriften pro und contra aus allen Richtungen der Windrose trat in die Öffentlichkeit, Synoden wurden abgehalten, die konfessionelle Glaubenslehre näher definiert, Maßregeln gegen das Eindringen des Protestantismus getroffen u. dgl. In Anbetracht dieser Gründe geschieht es, daß wir dem Bekenntnisse des Cyrill hier in dieser Sammlung einen Platz zuweisen.

In betreff des Charakters der durch diese Schrift hervorgerufenen Bewegung ist es nicht zu verschweigen, daß derselbe entgegengesetzt dem dieser Schrift gewesen ist. Die Sache des Protestantismus im allgemeinen und des Calvinismus im besonderen hatte infolge dieses mißglückten Versuchs für die gr.-or. Kirche alles verspielt. Die Spaltung zwischen ihnen wurde dadurch noch tiefer als zuvor. Die der Cyrillschen Confessio entgegengestellten Bekenntnisschriften verraten eine Annäherung an den Römisch-Katholizismus, wie es bis dahin nicht zu merken war, denn obwohl nach wie vor die herkömmliche Lehre dieser Kirche in manchen Punkten dem Protestantismus näher als dem Römisch-Katholizismus steht, so wurde sie dennoch — in diesen Bekenntnisschriften — mehr nach dem Schema des letzteren vorgetragen und schriftlich fixiert. Auf einige dieser Punkte kam die gr.-or. Kirche wieder und nahm, wenn auch nicht in allgemein kirchlichen Synoden, so doch tatsächlich in der Theologie, das Traditionelle wieder auf.

Das Bekenntnis des Cyrill besteht aus achtzehn Kapiteln und vier Fragen. Viele der darin vorgetragenen Lehrmeinungen, wie: Rechtfertigung geschieht allein durch den Glauben, der freie Wille ist tot in den Nichtwiedergeborenen, es gibt nur zwei Sakramente: Taufe und Abendmahl, Christus ist zwar reell gegenwärtig im Abendmahl, aber nicht infolge der Umwandlung, sondern nur durch den Glauben u. dgl. sind rein protestantische bezw. calvinistische in einer weniger auffallenden Form gehaltene Lehren.

Die nähere Besprechung der durch Cyrills Bekenntnis ins Leben gerufenen literarischen Bewegung, die weitere Auseinandersetzung des sich um Cyrill und sein Werk drehenden Streites, wie denn auch die Anstellung von Untersuchungen über das Verhältnis zwischen der Lehre der gr.-or. Kirche und der des Protestantismus einerseits und des Römisch-Katholizismus andererseits u. a. gehören unseres Erachtens nicht hierher, daher möge es genügen, sie gestreift zu haben.

Literatur. Die Hauptquelle für das Studium dieser Frage sind die Schriften Cyrills selbst. Leider ist eine große Anzahl seiner Briefe noch nicht herausgegeben. Ein bedeutender Teil seiner Korrespondenz ist im vierten Bande der „Bibliographie Hellénique ou description raisonnée des ouvrages publiés par des Grecs au dix-septième siècle“ von Legrand (Paris 1894—1896) enthalten. Legrand erwähnt in seinem Werke noch andere 130 nichtedierte Briefe, die er eingesehen. — Über das Leben Cyrills berichten: „Fragmentum vitae Cyrilli Lucarii per Antonium Legerum“, bei Thomas Smith „Collectanea de

Cyrillo Lucaris Patriarcha Constantinop.“ London 1707, S. 77—83; „Narratio epistolica turbarum inter Cyrillum Patriarcham Constantinop. et Jesuitas“ etc. 1627, 1628. — Über den Tod Cyrills berichtet der Augenzeuge Nathanael Konopios, Cyrills Protosynkellos in einem Briefe vom 4. Juli 1638 an A. Leger, veröffentlicht zum ersten Male bei I. H. Hottinger „Analecta historico-theologica“ Zürich 1652, alsdann bei Legrand a. a. O. Weiter *Εὐγέννιος Αἰτωλος, Ἀκολουθία ἐκκλησιαστικὴ*, bald nach Cyrills Tode. Sehr gehässig urteilt über Kyrill Leo Allatius in seiner: „De ecclesiae orientalis et occidentalis perpetua Consensione“ 1648. In demselben Geiste ist auch die Schilderung in dem Werke: „La perpetuité de la foi de l'eglise catolique touchant l'Eucharistie“ 1782, Band IV S. 533—645, von Renaudot. Interessant sind die Äußerungen des Patriarchen Dosytheus von Jerusalem in seinem Werke: *„Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμῳ πατριαρχευσάντων“* und die Akten der Synode zu Jerusalem. Viel Material bieten auch: I. Aymon „Monuments autentiques de la religion des Grecs, à la Haye“ 1708, und Colomesius „Clarorum virorum epistolae singulares“ Hamburg 1709.

Aus dem 18. Jahrhundert ist nur folgendes zu nennen: Nikolas Komnenos Papadopulos „Historia Gymnasii Patavini“ 2 Bände, Venedig 1726, sehr tendenziös.

Die Griechen haben sich in neuerer Zeit viel mit Cyrill befaßt. Deren sind zu nennen: M. Renieris in *„Κυρίλλος Λούκαρις ὁ οἰκουμενικὸς Πατριάρχος“* Athen 1859. Der Verfasser stellt den religiösen Reformversuch als einen politischen und Cyrill selbst als einen Rechtgläubigen hin. Dagegen trat Demetrakopulos in: *„Ἐθνικὸν ἡμερολόγιον“* 1870, *„Προσθῆκαι καὶ Διορθώσεις“* 1871 und *„Ἐπανορθώσεις σφαλμάτων“* 1872 auf, desgleichen die: *„Ἐκκλησιαστικὴ Ἀλήθεια“* im 3. und 4. Jahrgang. — Mesolora in seiner *„Συμβολικὴ τῆς ὀρθοδόξου ἀνατολικῆς ἐκκλησίας“ (Παράρτημα τοῦ Α΄ Τόμου)* bestreitet, daß Cyrill der Urheber der ihm zugeschriebenen *ὁμολογία* sei und aus diesem Grunde teilt er auch den Text derselben nicht mit.

Was die Literatur des näheren betrifft, siehe: Ph. Meyers Artikel „Lukaris“ in der Realencyklopädie usw., dritte Auflage, Band 11. — Dieser Artikel zeichnet sich auch durch seinen reichen, wertvollen Inhalt aus. — Wichtiges enthält auch W. Gass' Artikel „Lukaris“ in Band IX der zweiten Auflage der Realencyklopädie. — Weiter Franz Werner in Wetzers und Welts „Kirchenlexikon“ (2. Auflage) Band III, Artikel „Cyrillus Lukaris“. — Hier kommt Cyril zu kurz, denn Werner beurteilt ihn nur nach dem schiefen Maßstab, den die päpstliche Kirche Cyrill anlegt.

Ἀνατολικὴ Ὁμολογία τῆς Χριστιανικῆς πίστεως.

Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Κυρίλλος Πατριάρχης Κωνσταντινουπόλεως τοῖς ἐρωτῶσι καὶ πυνθανομένοις περὶ τῆς πίστεως καὶ θρησκείας τῆς τῶν Γραικῶν, ἤτοι τῆς ἀνατολικῆς ἐκκλησίας, πῶς δηλονότι περὶ τῆς ὀρθοδόξου πίστεως φρονεῖ, ἐν ὀνόματι κοινῶς τῶν Χριστιανῶν ἁπάντων ἐκδίδωσι σύντομον ὁμολογίαν ταύτην εἰς μαρτύριον πρός τε Θεοῦ πρός τε ἀνθρώπων, εἰλικρινεῖ συνειδήσει, οὐδεμιᾶς ἄνευ προσποιήσεως.

Κεφάλαιον 1.

Πιστεύομεν ἕνα Θεὸν ἀληθῆ, παντοκράτορα καὶ ἀόριστον, τρισυπόστατον, πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα· πατέρα ἀγέννητον· υἱὸν γεννητὸν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων, ὁμοούσιον αὐτῷ· πνεῦμα ἅγιον ἐκ τοῦ πατρὸς δι' υἱοῦ προερχόμενον, πατρὶ καὶ υἱῷ ὁμοούσιον. Ταύτας τὰς τρεῖς ὑποστάσεις ἐν μιᾷ οὐσίᾳ παναγίαν τριάδα προσαγορεύομεν, ὑπὸ πάσης κτίσεως ἀεὶ εὐλογουμένην, δοξαζομένην καὶ προσκυνουμένην.

Deut. 4, 35; 6, 4. Esai. 40, 4. 6; 46, 9. 1. Cor. 8, 4. 6. Luc. 1, 37. Matth. 19, 26. Apoc. 1, 20. Jer. 23, 24. 3. Reg. 8. 27. Rom. 11, 33. 1. Tim. 1, 17. Gen. 1, 26; 3, 12. 1. Joan. 5, 7. Matth. 28, 19. 1. Cor. 12, 4. Eph. 4, 4. 5. 6. Joan. 15, 26. Gal. 4, 6. 2. Cor. 13, 13.

Κεφάλαιον 2.

Πιστεύομεν τὴν ἱερὰν γραφὴν εἶναι θεοδίδακτον, ἧς τὸ πνεῦμα τὸ ἅγιον δημιουργός ἐστι· καὶ οὐκ ἄλλος. Ταύτῃ ἀδιστάκτως πιστεύειν ὀφείλομεν, ὅτι γέγραπται· ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ. Εἶτα τὴν τῆς ἱερᾶς γραφῆς μαρτυρίαν πολλῷ μᾶλλον ἀνωτέραν εἶναι τῆς ἣν κέκτηται ἡ ἐκκλησία. Οὐ γάρ ἐστι ἴσον ὑπὸ τοῦ παναγίου πνεύματος ἡμᾶς διδάσκεσθαι καὶ ὑπὸ ἀνθρώπου· τὸν γὰρ ἄνθρωπον ἐξ ἀγνοίας ἐνδεχόμενον ἁμαρτῆσαι, καὶ ἀπατῆσαι, καὶ ἀπατηθῆναι. Ἡ δὲ θεία γραφὴ, οὔτε ἀπατᾷ, οὔτε ἀπατᾶται, οὔθ' ὑπόκειται ἁμαρτήματι, ἀλλ' ἐστιν ἀδιάπτωτος καὶ ἀέναον τὸ κῦρος ἔχουσα.

2. Tim. 3, 16. 2. Petr. 1, 8. Joan. 16, 13. Matth. 10, 20. Act. 15, 28. Galat. 1, 11. 1. Thess. 2, 13. Ephes. 2, 20. 1. Cor. 3, 10. Jerem. 23, 28. Joan. 3, 31. Psal. 60, 9; 115. Rom. 3, 4. Act. 5, 29. Coloss. 2, 8. Matth. 15, 9. Ezech. 20, 18. Gal. 1, 8. Prov. 30, 5. Psal. 11, 7; 19, 8; 119, 86. 104. 142. Hebr. 4, 12. Rom. 1, 17; 15, 4. Joan. 20, 31; 10, 35. Matth. 5, 18; 24, 35. Esai. 40, 7. 1. Petr. 1, 24.

Κεφάλαιον 3.

Πιστεύομεν τὸν ἄκρως ἀγαθὸν θεὸν πρὸ καταβολῆς κόσμου οὓς ἐξελέξατο εἰς δόξαν προορίσαι, μηδαμῶς εἰς τὰ ἔργα ἀποβλέποντα αὐτῶν, οὔτε μὴν ἔχοντα ἑτέραν αἰτίαν εἰς τὴν ἐκλογὴν ταύτην κατεπείγουσαν, εἰ μὴ τὴν εὐδοκίαν, τὸ θεῖον ἔλεος. Ὡσαύτως πρὸ τοῦ τὸν αἰῶνα γενέσθαι, ἀποβεβληκέναι, οὓς ἀποβέβληκε· τῆς δὲ ἀποβολῆς ταύτης, εἴ τις ἐπίδῃ ἐπὶ τὴν ἀπολελυμένην τοῦ θεοῦ αὐθεντείαν καὶ κυριότητα, εὑρήσει ἀναμφιβόλως αἰτίαν εἶναι τὴν θείαν θέλησιν· εἰ δέ τις αὖθις εἰς τοὺς τῆς εὐταξίας νόμους τε καὶ κανόνας στραφείη, ἧς ἡ ἄνω πρόνοια εἰς τὴν τῆς οἰκουμένης κέχρηται κυβέρνησιν, αἰτίαν τὴν δικαιοσύνην κατανοήσει. Οἰκτίρμων γάρ ἐστιν ὁ θεὸς, ἀλλὰ καὶ δίκαιος.

Ephes. 1, 4. 2. Tim. 1, 9. Rom. 9, 11; 3, 9; 5, 12. 1. Cor. 4, 7. Ephes. 2, 3. Tit. 3, 3. Joan. 17, 6. 9. Rom. 8, 28. 29. Act. 13, 48. 2. Thess. 3, 2. Tit. 1, 1. Luc. 10, 21. Matth. 13, 10. Marc. 4, 11. Joan. 6, 37. 44; 12, 37. Rom. 11, 7. 2. Tim. 2, 19. Joan. 1, 27. Matth. 15, 13. 1. Joan. 2, 19. Apoc.

13, 20. Matth. 20, 16. Rom. 9, 13. 18. Deut. 10, 14; 7, 6. Psal. 147, 9. Act. 14, 6. Rom. 11, 33. 34. 35. 36.

Κεφάλαιον 4.

Πιστεύομεν τὸν τρισυπόστατον θεὸν, τὸν πατέρα, τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ποιητὴν εἶναι τῶν ὁρατῶν καὶ τῶν ἀοράτων κτισμάτων. Καὶ ἀόρατα μὲν τὰς ἀγγελικὰς δυνάμεις, ὁρατὰ δὲ τὸν οὐρανὸν καὶ τὰ ὑπ᾽ οὐρανὸν λέγομεν. Ὅτι δὲ φύσει ἀγαθὸς ὁ ποιητὴς, ἐποίησε καλὰ πάντα ὅσα ἐποίησε· οὐδὲ δύναταί ποτε κακοῦ ποιητὴς εἶναι. Εἰ δέ τι κακόν ἐστιν ἐν τῇ φύσει, ἐκεῖνο ἢ τοῦ διαβόλου ἢ τοῦ ἀνθρώπου εἶναι. Κανών γάρ ἐστιν ἀληθὴς καὶ ἀδιάπτωτος, κακοῦ τὸν Θεὸν μηδαμῶς εἶναι δημιουργόν, μήτε μὴν δικαίῳ λόγῳ τοῦ Θεοῦ καταψηφίζεσθαί τινα.

Gen. 1, 1. Joan. 1, 1. Coloss. 1, 16. Psal. 32, 6. Act. 17, 24. Gen. 1, 27. Eccl. 7, 30. Psal. 5, 4. Jac. 1, 13. Joan. 8, 44. Deut. 32, 4. 1. Joan. 2, 16.

Κεφάλαιον 5.

Πιστεύομεν τὰ πάντα ὑπὸ τῆς τοῦ Θεοῦ κυβερνᾶσθαι προνοίας, ἥντινα ἐκθειάζειν, ἀλλ᾽ οὐκ ἐξετάζειν ὀφείλομεν ὑπὲρ τὴν ἡμετέραν οὖσαν κατάληψιν, μὴ δυνάμενοι ἀφ᾽ ἑαυτῶν ἀκριβῶς εἰς κατάληψιν τῶν ἐκείνης λόγων ἀφικέσθαι. Διὸ περὶ τούτου ἀποφαινόμεθα ἐν ταπεινώσει μᾶλλον δεῖν ἡμᾶς σιωπὴν ἄγειν, ἢ μηδαμῶς οἰκοδομοῦντας περιττολογεῖν.

Psal. 113, 11. Ephes. 11, 1. Ebrae. 1, 3. Matth. 1, 29. Exod. 7, 3. 2. Reg. 12, 11; 24, 1. 1. Paral. 21, 1. 3. Reg. 3, 22. 23. Joh. 1, 12. 21. Esai. 10, 5. Joan. 19, 11. Act. 2, 23; 4, 27. Rom. 1, 24; 11, 33. Jerem. 32, 19. Deut. 29, 29.

Κεφάλαιον 6.

Πιστεύομεν τὸν πρῶτον ἄνθρωπον κτισθέντα παρὰ Θεοῦ ἐν παραδείσῳ πεπτωκέναι, ὅτι παριδὼν τὴν θείαν ἐντολὴν τῇ τοῦ ὄφεως ἀπατηλῇ συμβουλῇ ἐπειθάρχησε. Κἀντεῦθεν ἀναβλύσαι τὴν προπατορικὴν ἁμαρτίαν τῇ διαδοχῇ· ὥστε μηδένα κατὰ σάρκα γεννᾶσθαι, ὃς τὸ φορτίον οὐκ ἐπιφέρει τοῦτο, καὶ τοὺς καρποὺς αὐτῆς οὐκ αἰσθάνεται ἐν τῷ νῦν αἰῶνι.

Eccles. 7, 30. Rom. 5, 12. 15. 19. Psal. 50, 6. Job. 14. 4; 5, 14. Joan. 3, 6. Ephes. 2, 3. Genes. 8, 21. Rom. 8, 7. Gal. 3, 22. Rom. 3, 9. 26. Joan. 3, 3. Eccl. 7, 21. Rom. 3, 12. 3. Reg. 8, 46. 1. Joan. 1, 8. Jac. 3, 2. Prov. 20, 9. Rom. 7, 7; 6, 23.

Κεφάλαιον 7.

Πιστεύομεν τὸν υἱὸν τοῦ Θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κένωσιν ὑποστῆναι, τοῦτ᾽ ἐστιν, ἐν τῇ ἰδίᾳ ὑποστάσει τὴν ἀνθρωπίνην σάρκα προσειληφέναι, ἐκ πνεύματος ἁγίου ἐν τῇ γαστρὶ τῆς ἀεὶ παρθένου Μαρίας συλληφθέντα, καὶ ἐνανθρωπήσαντα, γεννηθέντα, παθόντα, ταφέντα, καὶ ἀναστάντα ἐν δόξῃ, σωτηρίαν πᾶσι τοῖς πιστοῖς καὶ δόξαν προξενῆσαι. Ὃν καὶ προσδοκῶμεν ἐλευσόμενον κρίναι ζῶντας καὶ νεκρούς.

Philipp. 2, 6. Matth. 1, 22. Luc. 1, 35. Gal. 4, 4. Rom. 1, 3. Joan. 1, 14. Ebrae. 2, 14. 1. Cor. 15, 3. Rom. 4, 25. 1. Tim. 3, 16. 2. Tim. 4, 1.

Κεφάλαιον 8.

Πιστεύομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενον, ἐκεῖ μεσίτην εἶναι, καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνειν, μόνον ἔργον πράττοντα ἀληθινοῦ καὶ γνησίου ἀρχιερέως καὶ μεσίτου, ὅθεν καὶ μόνος κήδεται τῶν ἰδίων, καὶ προΐσταται τῆς ἐκκλησίας, αὐτὴν τῇ τῶν εὐλογιῶν ποικιλότητι καὶ κοσμῶν καὶ πλουσιωτέραν ἀποδεικνύμενος.

1. Joan. 2, 1. Rom. 8, 34. 1. Tim. 3, 5. Joan. 14, 6; 10, 9. Matth. 11, 28; 18, 19. Joan. 16, 23; 14, 13. Act. 4, 12. Rom. 5, 1. 5. 9. Ephes. 2, 18; 3, 12. Ebrae. 4, 15; 5, 4; 12, 22; 7, 24; 10, 12. 18.

Κεφάλαιον 9.

Πιστεύομεν μηδένα σώζεσθαι ἄνευ πίστεως. Πίστιν δὲ λέγομεν τὴν ἐν Χριστῷ Ἰησοῦ δικαιοῦσαν, ἣν εἴτε ζωὴ καὶ ὁ θάνατος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμῖν ἔτεκε, καὶ τὸ εὐαγγέλιον κηρύττει, καὶ ἧς ἄνευ τῷ θεῷ εὐαρεστῆσαι ἀδύνατον.

Ebrae. 11, 6. Rom. 14, 23. Ebrae. 11, 1. Rom. 10, 17. Joan. 5, 24; 20, 31. Luc. 8, 11. Gal. 5, 6. Jac. 2, 14. 17. 22. Ephes. 2, 8. Philipp. 1, 29. Rom. 5, 2. Ephes. 3, 12; 1, 13. Rom. 8, 16. 1. Joan. 4, 13; 3, 19. Ebrae. 10, 22. Rom. 14, 5. Jac. 1, 6. Joan. 3, 18.

Κεφάλαιον 10.

Πιστεύομεν τὴν λεγομένην καθολικὴν ἐκκλησίαν τοὺς ἐν Χριστῷ πιστοὺς καθόλου περιέχειν, ἤτε κεκοιμημένους καὶ εἰς τὴν πατρίδα ἀποκαταστάντας, ἤτε καὶ νῦν ἐν τῇ ὁδῷ παρεπιδήμους, ἥστινος ἐκκλησίας διάτι θνητὸς ἄνθρωπος κεφαλὴ οὐδοπωσοῦν εἶναι δύναται, αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μόνος κεφαλή ἐστι, καὶ αὐτὸς τοὺς οἴακας ἔχων ἐν τῇ τῆς ἐκκλησίας κυβερνήσει πηδαλιουχεῖ, διάτι δ' ὅμως ἐν τῇ παροικίᾳ αἱ κατὰ μέρος ἐκκλησίαι ὁραταί εἰσι καὶ κατὰ τάξιν ἑκάστη ἔχει τὸν προϊστάμενον, αὐτὸν μὴ καλεῖσθαι κυρίως κεφαλὴν τῆς μερικῆς ἐκείνης ἐκκλησίας, ἀλλ' ἐν καταχρήσει, ὅτι ἐν αὐτῇ μέλος ἐστὶ προηγούμενον.

Gal. 4, 26. Ebrae. 12, 23. Ephes. 2, 14; 1, 10; 4, 4. Coloss. 3, 11. Galat. 3, 26. 1. Cor. 12, 12. Act. 4, 32; 2, 42. Ebrae. 10, 24. Matth. 18, 20; 28, 20. Joan. 10, 24. Ephes. 4, 5. Jac. 4, 12. Ebrae. 5, 4. Joan. 3, 27. Ephes. 5, 23. 1. Cor. 11, 3. Col. 1, 18. Ephes. 1, 22; 4, 15; 2, 19. Matth. 16, 18. 1. Petr. 2, 6. Psal. 117, 21. Act. 4, 11. 12. 1. Cor. 3, 11. Matth. 20, 25; 23, 8. Luc. 22, 25. 1. Tim. 3, 1. 1. Petr. 5, 2. 1. Cor. 14, 32. 2. Cor. 1, 24. Ebrae. 13, 17. 1. Cor. 4, 1. 2. Cor. 5, 20; 12, 11. Gal. 2, 6.

Κεφάλαιον 11.

Πιστεύομεν τὰ μέλη τῆς καθολικῆς ἐκκλησίας εἶναι τοὺς ἁγίους τοὺς εἰς τὴν αἰώνιον ζωὴν ἐκλελεγμένους ὧν τοῦ κλήρου καὶ τῆς μετοχῆς ἀποκλείεσθαι τοὺς ὑποκριτάς· εἰ καὶ καταλαμβάνομεν καὶ ὁρῶμεν ἐν ταῖς μερικαῖς ἐκκλησίαις τὸν σῖτον τοῖς ἀχύροις συναναμιγνύμενον.

Rom. 8, 28; 9, 23. Joan. 5, 35. 36; 12, 32. Act. 2, 39; 13, 48. Matth. 20, 16; 13, 24. 47; 7, 21. Luc. 13, 26. Rom. 2, 18. Esai. 4, 7. Apoc. 21, 27. Ebrae. 12, 22. Gal. 4, 26. Joan. 17, 6; 10, 28. Rom. 9, 19. 1. Joan. 2, 19. 2. Tim. 2, 19.

Κεφάλαιον 12.

Πιστεύομεν ἐν τῇ παροικίᾳ ὑπὸ τοῦ παναγίου πνεύματος ἁγιάζεσθαι καὶ διδάσκεσθαι τὴν ἐκκλησίαν. Αὐτὸ γάρ ἐστιν ὁ ἀληθὴς παράκλητος, ὃν πέμπει παρὰ τοῦ πατρὸς ὁ Χριστὸς, διδάξαι τὴν ἀλήθειαν καὶ τὸ σκότος ἀπὸ τῆς τῶν πιστῶν διανοίας ἀπελάσαι. Ἀληθὲς γὰρ καὶ βέβαιόν ἐστιν, ἐν τῇ ὁδῷ δύνασθαι ἁμαρτάνειν τὴν ἐκκλησίαν, καὶ ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος ἐκλέγεσθαι. Τῆς πλάνης δὲ ταύτης καὶ τῆς ἀπάτης μόνου τοῦ παναγίου πνεύματος ἡ διδαχὴ καὶ τὸ φῶς ἡμᾶς ἀπαλλάττει καὶ οὐκ ἀνθρώπου θνητοῦ· εἰ καὶ δυνατὸν, τοῦτο ἐνεργεῖσθαι δι' ὑπηρεσίας τῶν πιστῶς διακονούντων τῇ ἐκκλησίᾳ.

1. Cor. 3, 16; 6, 11. 2. Thess. 2, 13. Joan. 17, 17; 6, 45. Esai. 54, 13. Jerem. 31, 32. Ezech. 11, 19. Ephes. 1, 13. Joan. 14, 16; 16, 13. Joel. 2. Act. 2, 16; 10, 44; 13, 2; 15, 28. 1. Cor. 2, 10. 1. Joan. 2, 27. Rom. 8, 9. 1. Cor. 12, 7. Ephes. 4, 4. 2. Paral. 15, 3. Judic. 2, 12. 3. Reg. 19, 10. 2. Paral. 29, 6. Jerem. 11, 10. Dan. 9, 11. Esai. 1, 21. Jerem. 18, 18. Ezech. 7, 26. Jerem. 23, 11; 2, 8. 1. Tim. 4, 1. 3. Act. 20, 30. 1. Joan. 2, 18. 2. Thess. 2, 3. Rom. 11, 22. 1. Joan. 4, 1. Apoc. 2, 2. Rom. 3, 4. Act. 5, 29. Ezech. 2, 18. Hose. 2, 2. Matth. 7, 15. 1. Thess. 5, 19. Act. 17, 11. Matth. 22, 29. Joan. 5, 39. Gal. 1, 8. 2. Joan. 9. Joan. 8, 31.

Κεφάλαιον 13.

Πιστεύομεν πίστει δικαιοῦσθαι τὸν ἄνθρωπον, οὐκ ἐξ ἔργων. Πίστιν δ' ὅταν λέγομεν, τὸ τῆς πίστεως νοοῦμεν ἀναφορικόν, ὅπερ ἐστὶν ἡ δικαιοσύνη τοῦ Χριστοῦ, ἧς ἡ πίστις, χειρὸς ἔργον πληροῦσα, δραξαμένη, αὐτὴν ἡμῖν εἰς σωτηρίαν προσοικειοῖ, ὅπερ ἐπὶ συστάσει, καὶ οὐκ ἐπὶ ζημίᾳ τῶν ἔργων ἀποφαινόμεθα· ἐπεὶ καὶ τὰ ἔργα μὴ δεῖν ἀμελεῖσθαι, ὡς μέσα ὄντα ἀναγκαῖα ἐπὶ μαρτυρίᾳ τῆς πίστεως, πρὸς βεβαίωσιν τῆς ἡμῶν κλήσεως, διδάσκει ἡμᾶς αὐτὴ ἡ ἀλήθεια. Ἅμα δὲ ἐξ ἑαυτῶν μηδαμῶς ἀρκετὰ εἶναι ἐν τῷ τοῦ Χριστοῦ βήματι παῤῥησιάσασθαι, καὶ ἐπάξιον αἰτήσασθαι τὴν ἀντιμισθίαν, καὶ σῶσαι τὸν κτησάμενον· τοῦθ' οὕτως ἔχειν μαρτυρεῖ ἡ ἀνθρωπίνη ἀσθένεια. Ἡ δὲ τοῦ Χριστοῦ δικαιοσύνη τοῖς μετανοοῦσι προσαχθεῖσα καὶ προῳκειωθεῖσα μόνη δικαιοῖ καὶ σώζει τὸν πιστόν.

Gal. 2, 16. Rom. 3, 20; 4, 2. 1. Cor. 1, 30; 6, 11. 2. Cor. 5, 21. Esai. 53, 4. 5. 6. 1. Petr. 2, 24. Joan. 1, 29. Matth. 20, 29. Joan. 6, 11. Ebrae. 23, 6. 1. Joan. 1, 7. Ephes. 1, 7. Rom. 5, 9; 10, 4. Gal. 3, 10. Jac. 2, 10. Gal. 3, 13. 22. 24. Act. 13, 38. Rom. 9, 31; 10, 3. Tit. 3, 5. Rom. 11, 6. Ephes. 2, 8. Tit. 2, 11. Jac. 2, 14. 17. 20. Rom. 8, 13; 6, 1; 3, 31. 1. Cor. 4, 4. Phil. 3, 8. Psal. 129; 142; 31, 1. 2. Prov. 29. Esai. 53, 6; 64, 6. Dan. 9, 18. Matth. 8, 8. Luc. 15, 21. Rom. 8, 18. Luc. 17, 10; 18, 9. Rom. 5, 20; 6, 23.

Κεφάλαιον 14.

Πιστεύομεν ἐν τοῖς οὐκ ἀναγεννηθεῖσι τὸ αὐτεξούσιον νεκρὸν εἶναι, μηδαμῶς ἐκείνων ἰσχυόντων ποιῆσαι τὸ ἀγαθὸν καὶ ὅ, τι ποιήσαιεν ἁμαρτίαν εἶναι· ἐν δὲ τοῖς ἀναγεννηθεῖσι διὰ τῆς τοῦ παναγίου πνεύματος χάριτος ζωογενεῖσθαι τὸ αὐτεξούσιον, καὶ ἐνεργεῖν μὲν, οὐκ ἄνευ

βοηθείας δὲ τῆς χάριτος. Ὁ ἄνθρωπος τοιγαροῦν ἀναγεννηθεὶς, ἵνα ποιῇ τὸ ἀγαθὸν, ἀνάγκη προηγεῖσθαι καὶ προφθάνειν τὴν χάριν, ἧς ἄνευ τραυματίας ἐστὶ καὶ τοσαῦτας ἔχει πληγὰς, ὅσας παρὰ τῶν ληστῶν λαβὼν, ὁ ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καταβαίνων, ὥστε μηδὲν ἐξ ἑαυτοῦ ἢ δύνασθαι ἢ ἐργάζεσθαι.

Matth. 7, 18. Rom. 11, 24. Joan. 15, 5. Rom. 8, 7. 1. Cor. 2, 11. 14; 12. 3. 2. Cor. 3, 5. Ephes. 2, 1. Col. 1, 21. Rom. 3, 9. Matth. 16, 17. Joan. 1, 5; 6, 44. Ephes. 5, 7. Rom. 6, 17. 1. Petr. 2, 19. Rom. 14, 23. Ephes. 2, 8. Joan. 3, 3. 1. Petr. 1, 3. Joan. 8, 34. Rom. 6, 18; 8, 2. Col. 1, 12; 2, 13. Ephes. 2, 5. 2. Cor. 3, 5. Psal. 99. Ephes. 2, 10. 2. Cor. 5, 17. Phil. 2, 13; 1, 29. Deut. 30, 6. Ezech. 11, 19; 36, 26. Jerem. 31, 33; 32, 39. 1. Cor. 12, 3. Jac. 1, 17. 2. Petr. 1, 3. 1. Cor. 15, 10. Act. 16, 14. 2. Tim. 2, 25. 2. Cor. 4, 6. 1. Cor. 1, 8. Rom. 7, 14. 15 etc. Gal. 5, 17. Marc. 9, 24. Psal. 118, 34. 36. 37; 142, 11. 12; 85, 10; 102, 2. 3.

Κεφάλαιον 15.

Πιστεύομεν τὰ εὐαγγελικὰ μυστήρια ἐν τῇ ἐκκλησίᾳ εἶναι, ἅπερ ὁ κύριος παρέδωκεν ἐν τῷ εὐαγγελίῳ, κἀκεῖνα δύο εἶναι. Τοσαῦτα γὰρ ἡμῖν παρεδόθη· καὶ ὁ νομοθετήσας οὐ πλείω παρέδωκεν. Ταῦτα δὲ συνίστασθαι ἐκ ῥήματος καὶ στοιχείου· εἶναι δὲ σφραγίδας τῶν τοῦ θεοῦ ἐπαγγελιῶν, καὶ χάριτος πρόξενα, κατέχομεν ἀσφαλῶς. Ἵνα δὲ τέλειον ᾖ τὸ μυστήριον καὶ ὁλόκληρον, δέον συντρέχειν τήν τε χοϊκὴν ὕλην καὶ τὴν ἐξωτέραν πρᾶξιν μετὰ τῆς τοῦ χοϊκοῦ πράγματος ἐκείνου χρήσεως, τῆς νομοθετηθείσης παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡνωμένης μετὰ πίστεως εἰλικρινοῦς· ὅτι ἠλαττωμένης τῆς πίστεως τοῖς μεταλαμβάνουσιν ἡ ὁλοκληρία τοῦ μυστηρίου οὐ σώζεται.

Matth. 28, 19. 20. Luc. 22, 19. 1. Cor. 11, 13; 10, 23; 12, 13. Gal. 3, 15. Eph. 5, 25. Marc. 1, 4. 1. Cor. 11, 23. Rom. 4, 11. Exod. 12, 11; 13, 9. 1. Petri 3, 21. Col. 2, 11. Rom. 2, 28. 29. Act. 8, 36. Joan. 3, 5. Marc. 16, 16. Ebrae. 10, 22. 1. Cor. 11, 27.

Κεφάλαιον 16.

Πιστεύομεν τὸ βάπτισμα εἶναι μυστήριον παρὰ τοῦ κυρίου νενομοθετημένον, ὅπερ εἰ μή τις λάβῃ, κοινωνίαν οὐκ ἔχει μετὰ τοῦ Χριστοῦ, οὗτινος ἐκ τοῦ θανάτου, τῆς ταφῆς, καὶ τῆς ἐνδόξου ἀναστάσεως ἀναβλύζει πᾶσα ἡ δύναμις καὶ ἡ ἐνέργεια τοῦ βαπτίσματος, διὸ τοῖς οὕτω βαπτισθεῖσιν, ὡς ἐντέταλται ἐν τῷ εὐαγγελίῳ, οὐκ ἀμφιβάλλομεν ἀφεῖσθαι τὰς ἁμαρτίας, τήν τε προπατορικὴν, καὶ ὅσας ἄλλας ἦν πεπραχὼς ὁ βαπτισθείς· ὥστε τοὺς λελουμένους ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀναγεγεννημένους εἶναι, κεκαθαρμένους καὶ δεδικαιωμένους. Περὶ δὲ τοῦ ἐκ δευτέρου βαπτίζεσθαί τινα ἐντολὴν οὐκ ἔχομεν, ἀναδιπλάζεσθαι τὸ βάπτισμα. Διὰ τοῦτο ἀπέχειν ὀφείλομεν ἀπὸ τοῦ τοιούτου ἀτοπήματος.

Marc. 1, 4. Joan. 1, 6. 33; 3, 22. Matth. 28, 19. Marc. 16, 16. Rom. 6, 3. Col. 2, 12. Gal. 3, 12. 26. Luc. 3, 3. Act. 2, 38; 10, 47; 22, 16. Tit. 3, 5. Ebrae. 6, 4.

Κεφάλαιον 17.

Πιστεύομεν τὸ ἕτερον μυστήριον, τὸ παρὰ τοῦ κυρίου νενομοθετημένον, ἐκεῖνο εἶναι, ὅπερ εὐχαριστίαν λέγομεν. Τῇ νυκτὶ γὰρ, ᾗ παρεδίδου ἑαυτὸν ὁ κύριος, λαβὼν ἄρτον καὶ εὐλογήσας, ἔλεγε τοῖς ἀποστόλοις· λάβετε, φάγετε, τοῦτο ἐστὶ τὸ σῶμα μου. Καὶ λαβὼν τὸ ποτήριον εὐχαριστίας ἔλεγε· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο ἐστὶ τὸ αἷμα μου τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Καὶ προστίθησιν ὁ Παῦλος· ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. Αὕτη ἐστὶν ἡ ἁπλῶς ἀληθὴς καὶ γνησία τοῦ θαυμαστοῦ μυστηρίου παράδοσις, οὕτινος ἐν τῇ ἐγχειρίσει καὶ διακονίᾳ τὴν ἀληθῆ καὶ βεβαίαν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογοῦμεν καὶ πιστεύομεν· πλὴν ἣν ἡ πίστις ἡμῖν παρίστησι καὶ προσφέρει, οὐχ ἣν ἡ ἐφευρεθεῖσα εἰκῆ διδάσκει μετουσίωσις. Πιστεύομεν γὰρ τοὺς πιστοὺς μεταλαμβάνοντας ἐν τῷ δείπνῳ τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐσθίειν, οὐκ αἰσθητῶς τοῖς ὀδοῦσι τρύχοντας καὶ ἀναλύοντας τὴν μετάληψιν, ἀλλὰ τῇ τῆς ψυχῆς αἰσθήσει κοινωνοῦντας. Τὸ γὰρ σῶμα τοῦ κυρίου οὐκ ἔστιν ὅπερ ἐν τῷ μυστηρίῳ τοῖς ὀφθαλμοῖς ὁρᾶταί τε καὶ λαμβάνεται, ἀλλ' ὅπερ πνευματικῶς ἡ πίστις λαβοῦσα ἡμῖν παριστάνει τε καὶ χαρίζεται. Ὅθεν ἀληθές ἐστιν, ἐσθίειν ἡμᾶς καὶ μετέχειν καὶ κοινωνοὺς εἶναι, ἐὰν πιστεύοιμεν, ἐὰν οὐ πιστεύοιμεν, παντὸς ἡμᾶς τοῦ μυστηρίου κέρδους ἀφίστασθαι· ἀκολούθως τὸ ποτήριον πίνειν ἐν τῷ μυστηρίῳ εἶναι τὸ αἷμα πίνειν ἀληθῶς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν τρόπον καὶ περὶ τοῦ σώματος εἴρηται. Ὁ γὰρ νομοθέτης ὡς περὶ τοῦ σώματος τοῦ ἰδίου οὕτω καὶ περὶ τοῦ ἰδίου αἵματος ἐνετείλατο, ἣν ἐντολὴν οὐ δεῖ κατὰ τὸ δοκοῦν ἑκάστῳ κολοβοῦσθαι, ἀλλὰ σῶαν τηρεῖσθαι τὴν νομοθετηθεῖσαν παράδοσιν. Ὅταν οὖν ἀξίως μεθέξωμεν καὶ ὁλοκλήρως κοινωνήσωμεν ἐν τῷ μυστηρίῳ τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, εἶναι ἡμᾶς ἤδη ὁμολογοῦμεν διηλλαγμένους τῇ κεφαλῇ ἡμῶν καὶ ἡνωμένους καὶ συσσώμους μετὰ βεβαίας ἐλπίδος καὶ συγκληρονόμους ἔσεσθαι ἐν τῇ βασιλείᾳ.

Matth. 26, 26. Marc. 14, 22. Luc. 22, 19. 1. Cor. 11, 23; 10, 16. Act. 1, 9; 3, 21. Col. 3, 1. Ephes. 3, 17. Gal. 2, 20. 1. Cor. 12, 13. 2. Cor. 5, 7. Ebrae. 11, 1. Joan. 6, 35. 53. 56. 57. 58. 60.

Κεφάλαιον 18.

Πιστεύομεν τὰς τῶν κεκοιμημένων ψυχὰς εἶναι ἢ ἐν μακαριότητι, ἢ ἐν κατακρίσει, καθ' ὅ, τι ἕκαστος ἔπραξεν· ἐκδημοῦντας γὰρ ἀπὸ τῶν σωμάτων παραυτίκα, ἢ πρὸς Χριστὸν, ἢ πρὸς κατάκρισιν ἐκδημεῖν. Οἷος γάρ τις εὑρίσκεται ἀποθνήσκων, παρόμοιον ἀπολαμβάνει τὸ τάλαντον, μὴ οὔσης μετὰ θάνατον μετανοίας. Καιρὸς γὰρ χάριτος ὁ παρὼν αἰών. Διὰ τοῦτο οἱ ἐνταῦθα δεδικαιωμένοι οὐδαμῶς μετὰ ταῦτα ὑποκείσονται κατακρίσει. Ὅσοι δὲ πάλιν οὐκ ἐδικαιώθησαν κοιμηθέντες, εἰς αἰώνιον ἀποκληροῦνται κατάκρισιν. Ἐξ οὗ δῆλον, τὸν

περὶ καθαρτηρίου μῦθον μὴ δεῖν ἡμᾶς προσίεσθαι, ἀλλ' ἐν ἀληθείᾳ ἀποφαίνεσθαι, δεῖν ἕκαστον ἐν τῷ νῦν μετανοεῖν, καὶ ἄφεσιν ἁμαρτιῶν διὰ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐξαιτεῖν, εἰ σωθῆναι θελήσειε. Καὶ ταῦτα μὲν οὕτω.

Τὴν σύντομον ταύτην ὁμολογίαν ἡμῶν εἰς σημεῖον ἔσεσθαι ἀντιλεγόμενον τεκμαιρόμεθα, οἷς ἐραστὸν ἀδίκως ἡμᾶς διασύρειν καὶ τῶν ἡμετέρων καταψηφίζεσθαι. Ἀλλ' ἡμεῖς θαῤῥοῦντες εἰς τὸν κύριον βεβαιούμεθα, ὅτι οὐ παρόψεται τοὺς ἰδίους οὐδ' αὐτοὺς ἐγκαταλείψει, οὔτε πάντως ἀφήσει τὴν ῥάβδον τῶν πονηρευομένων ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

Ebrae. 9, 27. Luc. 16, 22. Eccl. 11, 3. Apoc. 14, 13. Esai. 57, 1. 1. Thess. 4, 13. Rom. 14, 8. 2. Cor. 5, 1. Phil. 1, 21. 22. 2. Tim. 4, 6. Luc. 2, 25; 23, 42. Esai. 55, 6. Psal. 31, 6. 2. Cor. 6. Joan. 9, 4; 11, 9. 10; 12, 35. Matth. 25, 1. Eccl. 9, 6. Matth. 25, 19; 24, 42. Ebrae. 3, 7; 4, 1; 10, 26. Gal. 6, 5. 2. Cor. 5, 10. Matth. 16, 26. Ezech. 18, 4. Psal. 48, 6. 1. Petr. 1, 18. Abac. 2, 4. 1. Joan. 1, 7; 2, 1. Ebrae. 1, 3; 7, 25; 9, 12. 22. 25; 10, 10. Tit. 2, 13. 1. Cor. 6, 11. Rom. 3, 24. Ephes. 5, 25. Apoc. 1, 5. 1. Cor. 1, 30. Joan. 15, 3. Act. 15, 9. Psal. 31; 102, 12. Esai. 43, 25. Ezech. 18, 21; 36, 25. Col. 2, 13. Rom. 5, 1; 8, 1. 30. 38. Joan. 3, 16. 36; 5, 24.

Τὴν ἄνωθεν ὁμολογίαν, Λατινιστὶ πρῶτον συγγράψαντες, τόγε νῦν εἰς τὴν ἡμετέραν φράσιν μετεγλωττίσαμεν κατὰ λέξιν, ὡς κεῖται ἐν τῷ Λατινικῷ πρωτοτύπῳ· ἐν ᾧ συντομῇ χρησάμενοι οὐκ εὐρύχωρον τὴν πραγματείαν παρεστήσαμεν, ὡς ὁ καιρὸς ἐν χρείᾳ ἴσως ἀπῄτει. Ἀλλὰ ταῦτα μὲν τεταμεύσθω· μετ' οὐ πολὺ γὰρ σὺν Θεῷ φροντίσωμεν, ἵνα ἕκαστος γνῷ, ὅτι ἡ πίστις ἡμῶν ἐκείνη ἐστὶν, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρέδωκε, καὶ οἱ ἀπόστολοι ἐκήρυξαν, καὶ ἐδίδαξεν ἡ ὀρθοδοξία. Διὰ τί δὲ τόγε νῦν τινες ὀρθόδοξοι ἠρώτησαν ἡμᾶς, ὡς φρονοῦμεν περὶ μερικῶν ἄρθρων καὶ ᾐτήσαντο ἐκδοῦναι ἡμᾶς τὴν ἡμετέραν γνώμην· διὰ τοῦτο ταῦθ' ἅπερ ἕπεται τοῖς ἀνωτέροις, προστιθέμεθα, ὡς ὁρᾶτε.

Ἐρώτησις 1.

Εἰ δεῖ τὴν ἱερὰν γραφὴν κοινῶς παρὰ πάντων τῶν Χριστιανῶν ἀναγινώσκεσθαι;

Ἀπόκρισις.

Ὀφείλουσιν οἱ πιστοὶ πάντες Χριστιανοὶ τὰ τῆς ἱερᾶς γραφῆς, εἰ μὴ πάντα, ἀλλὰ γοῦν τὰ ἀναγκαῖα οὐκ ἀγνοεῖν, καὶ πιστεύειν, καὶ ὁμολογεῖν, καὶ ἀπαγγέλλεσθαι τὰ ἐν αὐτῇ. Οὐδὲ γὰρ ἄλλοθεν ἢ παρὰ τῆς ἱερᾶς γραφῆς μανθάνομεν, ἢ αὐτὴν ἀναγινώσκοντες, ἢ τὰ ἐν αὐτῇ παρὰ πιστῶν ἀνθρώπων ἀπαρερμηνεύτως ἀκούοντες. Ὡς γὰρ τὸ ἀκούειν τὰ τῆς ἱερᾶς γραφῆς οὐδενὶ τῶν Χριστιανῶν ἀπηγόρευται, οὕτως οὐδὲ τὸ ἀναγινώσκειν· ἐγγὺς γὰρ αὐτῶν ἐστὶ τὸ ῥῆμα καὶ ἐν τῷ στόματι καὶ τῇ καρδίᾳ. Διὰ τοῦτο ὁ πιστὸς Χριστιανὸς, ἐν ὁποίᾳ οὖν τάξει, ἀδικηθείη προφανῶς ὑστερούμενος καὶ κωλυόμενος ἢ τῆς ἀκροάσεως τῆς ἱερᾶς γραφῆς, ἢ τῆς ἀναγνώσεως. Ἴσον γάρ

ἐστιν ὑστερεῖν καὶ ἅπτεσθαι κωλύειν τροφῆς πνευματικῆς τὴν πεινῶσαν ψυχήν.

Deut. 6, 6; 17, 18. Jos. 1, 8. Deut. 31, 11. Nehem. 8, 31. Joan. 5, 39; 10, 27; 8, 31. Luc. 16, 29; 4, 16. Act. 13, 27; 15, 21; 8, 28; 17, 11. 2. Tim. 3, 15. Rom. 15, 4. Col. 4, 16. 1. Thess. 5, 27. 1. Joan. 1, 4; 2, 12. Esai. 5, 13. Jerem. 8, 9. Hos. 4, 6. Joan. 7, 49. Luc. 11, 52. Matth. 23, 13; 15, 14. 1. Joan. 4, 1. 1. Thess. 5, 19. 20. Joan. 17, 3; 21, 31. Psal. 119, 9; 1, 1. 2; 118, 1. Luc. 11, 28. Apoc. 1, 3.

Ἐρώτησις 2.

Εἰ σαφής ἐστιν ἡ γραφὴ τοῖς ἀναγινώσκουσι Χριστιανοῖς;

Ἀπόκρισις.

Τὴν ἱερὰν γραφὴν ἱκανὰς μὲν ἔχειν πολλαχοῦ τὰς δυσκολίας ἐν τῷ γράμματι καὶ ταῖς λέξεσι, βέβαιόν ἐστι. Τὰ δὲ ἐν αὐτῇ τῆς πίστεως δόγματα λαμπρὰ καὶ σαφῆ τοῖς ἀγεννηθεῖσι καὶ φωτισθεῖσιν ὑπὸ τοῦ ἁγίου πνεύματος· ἐξ οὗ δῆλον, τὸν ἀναγινώσκοντα δύνασθαι μὲν πολλάκις εἰς δυσκολίαν ἤντινα οὖν ἐμπεσεῖν· ἀλλὰ τῇ τοῦ παναγίου πνεύματος χάριτι φωτισθέντα παρ' αὐτῆς τῆς γραφῆς ἀναλόγως τὰς λέξεις καὶ τὸ γράμμα συγκρούοντα τήν τε λύσιν ἀναλαμβάνειν, καὶ σὺν αὐτῇ ὀρθὴν τὴν διάνοιαν· διὸ καὶ λύχνος καὶ φῶς ἡ γραφὴ, φωτίζουσα τὴν διάνοιαν τῶν πιστῶν, καὶ ἀπελαύνουσα τὸ σκότος.

2. Petr. 3, 5. Psal. 18, 8; 118, 104; 24, 5. Esai. 53, 10. Jerem. 31, 33. Joan. 6, 45. Matth. 11, 25; 13, 11; 16, 17. Luc. 24, 45. 1. Joan. 2, 27; 12, 3. 2. Cor. 1, 13; 3, 9. 13; 4, 3. Ephes. 1, 17; 3, 16. 19. Rom. 12, 6.

Ἐρώτησις 3.

Ἱερὰν γραφὴν ποῖα βιβλία καλεῖς;

Ἀπόκρισις.

Ἱερὰν γραφὴν πάντα τὰ κανονικὰ βιβλία λέγομεν, ἅπερ ὡς κανόνα τῆς πίστεως ἡμῶν καὶ τῆς σωτηρίας παρελάβομεν καὶ κρατοῦμεν· μάλισθ' ὅτι θεόπνευστον ἡμῖν προβάλλουσι τὴν διδασκαλίαν, καὶ αὐτάρκη κατηχῆσαι, φωτίσαι καὶ τελειῶσαι τὸν τῇ πίστει προσερχόμενον. Ταῦτα δὲ τὰ κανονικὰ βιβλία τοσαῦτα τὸν ἀριθμὸν εἶναι πιστεύομεν, ὅσα ἡ ἐν Λαοδικείᾳ σύνοδος ἀπεφήνατο, καὶ ἡ τοῦ Χριστοῦ καθολικὴ καὶ ὀρθόδοξος ἐκκλησία ὑπὸ τοῦ παναγίου πνεύματος φωτισθεῖσα μέχρι τοῦ παρόντος ὑπαγορεύει. Ἅπερ δὲ ἀπόκρυφα λέγομεν, διὰ τοῦτο τὸ ἐπώνυμον οὕτως ἔχουσιν, ὅτι τὸ κῦρος παρὰ τοῦ παναγίου πνεύματος οὐκ ἔχουσιν ὡς τὰ κυρίως καὶ ἀναμφιβόλως κανονικὰ βιβλία, ἐν οἷς ἡ τοῦ Μωϋσέως πεντάτευχος, καὶ τὰ ἁγιόγραφα, καὶ οἱ προφῆται, ἅτινα ὥρισεν ἀναγινώσκεσθαι ἡ ἐν Λαοδικείᾳ σύνοδος, ἀπὸ τῆς παλαιᾶς διαθήκης βιβλία εἴκοσι δύο· ἀπὸ δὲ τῆς νέας πλουτοῦμεν τοὺς τέσσαρας εὐαγγελιστὰς, τὰς πράξεις, τὰς ἐπιστολὰς μακαρίου Παύλου, καὶ τὰς καθολικὰς, αἷς συνάπτομεν καὶ τὴν ἀποκάλυψιν τοῦ ἠγαπημένου. Καὶ

ταῦτα μὲν εἶναι τὰ κανονικὰ βιβλία κρατοῦμεν· καὶ ταῦτα ἱερὰν γραφὴν λέγεσθαι ὁμολογοῦμεν.

2. Tim. 3, 16. 1. Petr. 1, 21. 1. Tim. 4, 10. 1. Joan. 5, 5. Rom. 3, 1. 2. Act. 3, 24; 26, 22. 1. Cor. 15, 3. 4. Act. 17, 11. Deut. 4, 2; 5, 1; 6. Joan. 1, 7; 23, 6. Matth. 22, 29. Marc. 7, 27. Ephes. 2, 20. 1. Cor. 3, 10. 11. 12. Jerem. 23, 28. Joan. 3, 30. 1. Petr. 4, 11. Prov. 30, 5. Eccles. 12, 10. Gal. 1, 8; 6, 16; 3, 15. 1. Cor. 4, 6. Deut. 12, 32. Apoc. 22, 18. 19.

Ἐρώτησις 4.

Περὶ τῶν εἰκόνων πῶς ὀφείλομεν φρονεῖν;

Ἀπόκρισις.

Ὡς παρὰ τῆς θείας καὶ ἱερᾶς γραφῆς διδασκόμεθα, λεγούσης τρανῶς· οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς, ὀφειλόντων ἡμῶν οὐ τῇ κτίσει, ἀλλὰ μόνῳ τῷ κτίστῃ καὶ ποιητῇ τοῦ οὐρανοῦ καὶ τῆς γῆς λατρεύειν, κἀκεῖνον μόνον προσκυνεῖν. Ἐξ ὧν δῆλον, ὅτι τὴν ἱστορίαν, ἐπίσημον τέχνην οὖσαν, οὐκ ἀποβάλλομεν, ἀλλὰ καὶ εἰκόνας ἔχειν καὶ τοῦ Χριστοῦ καὶ τῶν ἁγίων τῷ βουλομένῳ παρέχομεν· τὴν δὲ λατρείαν καὶ θρησκείαν αὐτῶν, ὡς ἀπηγορευμένην παρὰ τοῦ ἁγίου πνεύματος ἐν τῇ ἱερᾷ γραφῇ ἐξουδενοῦμεν, ἵνα μὴ λάθωμεν ἀντὶ τοῦ κτίστου καὶ ποιητοῦ χρώματα καὶ τέχνην, καὶ κτίσματα προσκυνεῖν. Καὶ τὸν ἄλλως φρονοῦντα ἄθλιον ἡγούμεθα, ὡς δεινὸν ἔχοντα σκότος ἐν ταῖς φρεσὶ, καὶ πεπωρωμένην τὴν καρδίαν. Καὶ ἦν ἂν κρεῖσσον τοῦ θεοῦ ἐντολῇ ἀποτάσσεσθαι, ἢ ἀνθρώπων πείθεσθαι ματαιολογίαις. Ὅπερ ἐν φόβῳ θεοῦ καὶ ἀγαθῇ συνειδήσει ἐκτιθέμεθα· εἰ καὶ στῆσαι τὴν φορὰν κρεῖττον ἢ καθ' ἡμᾶς εἶναι ὁμολογοῦμεν. Οὕτω μὲν ἐγγράφως τοῖς ἐρωτήσασιν ἡμᾶς ἀποκρινάμενοι ἐπεράναμεν, καὶ τὰς ἀποκρίσεις τῇ ἡμετέρᾳ ὁμολογίᾳ συνήψαμεν. Δώῃ δὲ ὁ κύριος τοῖς πᾶσιν ἐν πᾶσιν ὀρθῶς φρονεῖν, καὶ συνείδησιν εἰλικρινῆ.

Ἐδόθη ἐν Κωνσταντινουπόλει μηνὶ ἰανουαρίῳ ,αχλά'

Κύριλλος Πατριάρχης Κωνσταντινουπόλεως.

Exod. 20, 4. Lev. 26, 1. Deut. 4, 15; 5, 8; 27, 15. Esai. 40, 18; 44, 12; 46, 5. Act. 17, 29. Rom. 1, 22. 1. Joan. 5, 21. Jerem. 10, 8. Abac. 2, 18. Psal. 115, 12. Joan. 4, 32. Deut. 6, 13. 3. Reg. 8, 39. Psal. 49, 15; 75, 11. Matth. 4, 10. Rom. 10, 13; 1, 25. Gal. 4, 8. 1. Cor. 7, 23. Act. 10, 25. Col. 2, 18. Apoc. 19, 10; 22, 8. 9. Matth. 6, 9. Luc. 11, 1. Sapient. Salom. 14, 12.

C. Die Liturgie des Johannes Chrysostomus.[1]

Λειτουργοῦντος ἑνὸς Ἱερέως μετὰ Διακόνου, ἢ καὶ χοροστατοῦντος Ἀρχιερέως (Ἐπισκόπου, Ἀρχιεπισκόπου, Μητροπολίτου, ἢ Πατριάρχου).

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος, λαβὼν εὐλογίαν παρὰ τοῦ Ἱερέως, ἢ παρὰ τοῦ Ἀρχιερέως (ἐὰν χοροστατῇ Ἀρχιερεύς), καὶ προσκυνήσας τρὶς, λέγει.

Εὐλόγησον, Δέσποτα.[2]

Ὁ Ἱερεὺς ἐκφώνως, ὑψῶν ἅμα τὸ ἅγιον Εὐαγγέλιον. Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων (καὶ ποιεῖ τύπον σταυροῦ διὰ τοῦ Εὐαγγελίου). — Θἱ χοροί. Ἀμήν.

Εἶτα ὁ Διάκονος τὰ Εἰρηνικὰ, ψαλλόντων τῶν δύο χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ, Κύριε ἐλέησον.

Εἰρηνικὰ, ἢ Μεγάλη Συναπτή.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. — Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν. — Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τ. Κ. δ. — Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τ. Κ. δ. — Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τ. Κ. δ. — Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τ. Κ. δ. — Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τ. Κ. δ. — Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν καὶ πολέμιον, τ. Κ. δ. — Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας Μονῆς, ἢ τῆς χώρας, ἢ τῆς νήσου) ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τ. Κ. δ. — Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τ. Κ. δ. — Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τ. Κ. δ. — Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τ. Κ. δ. — Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς,

---

[1]) Die Liturgie des Chrysostomus ist die am meisten gebrauchte Liturgie in der gr.-or. Kirche. Daher ist sie hier als Typus hingestellt. Außerdem gibt es noch drei andere Liturgien: die des Basilius des Großen, die des Gregorius oder der Invorausgeheiligten und die des Jacobus. Die Liturgie des Basilius und des Gregorius werden zuweilen, besonders während der Fastenzeit vor Ostern, gehalten, die des Jacobus nur am Gedenktag des Apostels Jacobus.

[2]) *Εἰ οὐκ ἔστι Διάκονος συλλειτουργῶν, ἅπαντα τὰ τοῦ Διακόνου, πλὴν τοῦ Εὐλόγησον Δέσποτα, ἐκφωνεῖ ἔσωθεν τοῦ Βήματος ὁ Ἱερεύς.*

ὁ Θεὸς, τῇ σῇ χάριτι. — Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. — Ὁ β΄ χορός. Σοὶ, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως. — Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, κτλ. — Ὁ α΄ χορός. Ἀμήν.

Εἰ μέν ἐστι Δεσποτικὴ, ἢ Θεομητορικὴ ἑορτὴ, ἢ μεθέορτα, ἢ ἀπόδοσις Δεσποτικῆς ἢ Θεομητορικῆς ἑορτῆς, ψάλλονται τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰ δὲ μὴ, τὰ Τυπικὰ, ὧν ψαλλομένων, ὁ Διάκονος προσκυνήσας, μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Θεοτόκου, βλέπων πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, κρατῶν καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ Α΄ Ἀντιφώνου μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον Οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου, ἐλθὼν ὁ Διάκονος καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, καὶ προσκυνήσας, λέγει τὴν μικρὰν Συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. — Ὁ α΄ χορός. Κύριε ἐλέησον. — Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. — Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. — Ὁ β΄ χορός. Σοὶ, Κύριε. — Ὁ Ἱερεὺς ἐκφώνως. — Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, κτλ. — Ὁ α΄ χορός. Ἀμήν. Εἶτα οἱ δύο χοροὶ ψάλλουσιν ἐναλλὰξ τὸ Β΄ Ἀντίφωνον· ὁ δὲ Διάκονος ἀπελθὼν ἵσταται αὖθις πρὸ τῆς εἰκόνος τῆς Θεοτόκου· καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου ἐλθὼν ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν μικρὰν Συναπτήν· ὁ δὲ Ἱερεὺς, ψαλλομένου τοῦ Β΄ Ἀντιφώνου, λέγει μυστικῶς τὴν εὐχήν.

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείκῃ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος αὖθις τὴν μικρὰν Συναπτήν.

Ἔτι καὶ ἔτι, κτλ. — Ἀντιλαβοῦ, κτλ.

Τῆς Παναγίας, κτλ. — Ὁ α΄ χορός. Σοὶ, Κύριε.

Καὶ αὐτὸς μὲν εἰσέρχεται ἐν τῷ Βήματι· ὁ δὲ Ἱερεὺς λέγει ἐκφώνως. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, κτλ. — Ὁ β΄ χορός. Ἀμήν.

Εἶτα ψαλλομένων ὑπὸ τῶν δύο χορῶν ἐναλλὰξ τῶν Μακαρισμῶν, ἢ τοῦ Γ΄ Ἀντιφώνου, ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν εὐχὴν τοῦ Γ΄ Ἀντιφώνου.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δυσὶ καὶ τρισὶ, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις

παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι, τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ψαλλομένου δὲ τοῦ Λοξαστικοῦ τῶν Μακαρισμῶν, ἢ τοῦ Γ' Ἀντιφώνου, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, στάντες πρὸ τῆς ἁγίας Τραπέζης ποιοῦσι προσκυνήματα τρία· εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, δίδωσι τῷ Διακόνῳ, ἀσπαζομένῳ τὴν χεῖρα αὐτοῦ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, ἢ καὶ ἐξαπτερύγων, ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ στάντες ἐν τῷ μέσῳ τοῦ Ναοῦ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος ἠρέμα, Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς ἢ ὁ χοροστατῶν Ἀρχιερεύς, τὴν εὐχὴν τῆς εἰσόδου μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν Οὐρανοῖς τάγματα, καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ Εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, κτλ. Ἀμήν.

Τελεσθείσης δὲ τῆς εὐχῆς, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, ἢ πρὸς τὸν χοροστατοῦντα Ἀρχιερέα. Εὐλόγησον Δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Καὶ ὁ Ἱερεὺς, ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς, εὐλογῶν, λέγει.

Εὐλογημένη ἡ Εἴσοδος τῶν ἁγίων σου, πάντοτε· νῦν, κτλ.

Καὶ εἰ μὲν χοροστατεῖ Ἀρχιερεὺς, ὁ Διάκονος ἀπελθὼν εἰς τὸν Θρόνον, δίδωσιν αὐτῷ ἀσπάσασθαι τὸ ἅγιον Εὐαγγέλιον, καταφιλῶν ἅμα τὴν ἐκείνου χεῖρα· εἰ δ' οὐ πάρεστιν Ἀρχιερεὺς, ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον ὁ Ἱερεύς.

Πληρωθέντος δὲ τοῦ τελευταίου Τροπαρίου, ὁ Διάκονος στὰς ἐν τῷ μέσῳ τοῦ ναοῦ ἔμπροσθεν τοῦ Ἱερέως, καὶ ὑψῶν τὸ ἱερὸν Εὐαγγέλιον, λέγει ἐκφώνως. — Σοφία· ὀρθοί.

Εἶτα αὐτός τε καὶ ὁ Ἱερεὺς μετ' αὐτὸν εἰσέρχονται διὰ τῆς Ὡραίας Πύλης εἰς τὸ Ἱερόν· καὶ ὁ μὲν Διάκονος ἀποτίθησιν ἐπὶ τῆς ἁγίας Τραπέζης τὸ ἱερὸν Εὐαγγέλιον· οἱ δὲ χοροὶ ψάλλουσι τὸ, Δεῦτε προσκυνήσωμεν, *καὶ τὰ Τροπάρια ἐναλλὰξ, α' τὸ Ἀναστάσιμον Ἀπολυτίκιον, εἴ ἐστι Κυριακὴ, τοῦ τυχόντος ἤχου· β' τὸ Ἀπολυτίκιον Τροπάριον τοῦ τῆς ἡμέρας ἑορταζομένου τυχὸν ἁγίου· γ' τὸ Ἀπολυτίκιον Τροπάριον τοῦ ἁγίου τῆς Μονῆς· δ' τὸ Θεοτοκίον Κοντάκιον,* Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε. *Τῷ δὲ Σαββάτῳ ψάλλεται τὸ,* Ὡς ἀπαρχὰς τῆς φύσεως τῷ φυτουργῷ τῆς κτίσεως. *Εἰ δέ εἰσι Προεόρτια, ἢ Μεθέορτα Δεσποτικῆς ἑορτῆς, ψάλλεται τὸ τῆς ἑορτῆς. Ἐὰν δὲ ᾖ περίοδος Τριῳδίου ἢ Πεντηκοσταρίου, ψάλλεται τὸ Κοντάκιον τῆς τυχούσης Κυριακῆς. Ἀπὸ δὲ τῆς Κυριακῆς τοῦ Πάσχα, μέχρι τῆς Ἀποδόσεως κατὰ πᾶσαν Κυριακὴν ψάλλεται τὸ Κοντάκιον τοῦ Πάσχα.* Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε.

Εἶτα λέγει ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. — *Ὁ Ἱερεὺς ἐκφώνως.*

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ Διάκονος. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. — *Ὁ β' χορός.* Ἀμήν.

Εἶτα ψαλλομένου ἐναλλὰξ ὑπὸ τῶν χορῶν τοῦ Τρισαγίου Ὕμνου, ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν εὐχὴν ταύτην τοῦ Τρισαγίου.

Ὁ Θεὸς ὁ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ Τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ

τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον Ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, κτλ. Ἀμήν.

Εἶτα ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος λέγουσιν ἐναλλὰξ τὸ Τρισάγιον, ποιοῦντες ὁμοῦ τρία προσκυνήματα ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. — Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα· Κέλευσον, Δέσποτα. *Καὶ ἀπέρχονται ἐν τῇ Καθέδρᾳ. — Ὁ δὲ Ἱερεὺς ἀπερχόμενος λέγει·* Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. *— Ὁ Διάκονος·* Εὐλόγησον, Δέσποτα, τὴν ἄνω Καθέδραν. *— Ὁ Ἱερεύς.* Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, πάντοτε, νῦν, κτλ. Ἀμήν.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Ἀναγνώστης ἱστάμενος ἐν τῷ μέσῳ τοῦ ναοῦ ἐκφωνεῖ· Προκείμενον ἦχος (ὁ τυχών). *— Ὁ Διάκονος·* Πρόσχωμεν. *Ὁ Ἀναγνώστης ἀπαγγέλλει τοὺς στίχους τοῦ Προκειμένου. — Ὁ Διάκονος·* Σοφία. *Ὁ Ἀναγνώστης λέγει τὴν ἐπιγραφὴν τοῦ Ἀποστολικοῦ ἀναγνώσματος. — Ὁ Διάκονος·* Πρόσχωμεν.

Τοῦ δὲ Ἀναγνώστου ἀπαγγέλλοντος ἐμμελῶς, εὐκρινῶς καὶ σεμνοπρεπῶς τὴν περικοπὴν τοῦ Ἀποστολικοῦ ἀναγνώσματος, ὁ μὲν Διάκονος, λαβὼν τὸ Θυμιατήριον, θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὰς Δεσποτικὰς εἰκόνας, καὶ τὸν λαὸν, ἐκ τῶν Ὡραίων Πυλῶν, ἢ τὸν Ἀρχιερέα, καὶ ἀποτίθησι τὸ Θυμιατήριον. Εἶτα δὲ λαβὼν τὸ ἅγιον Εὐαγγέλιον καὶ προσελθὼν τῷ Ἱερεῖ, ἢ τῷ χοροστατοῦντι Ἀρχιερεῖ, καὶ τὴν κεφαλὴν ὑποκλίνας λέγει ἠρέμα.

Εὐλόγησον, Δέσποτα, τὸν Εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ *(Ματθαίου, ἢ Μάρκου, ἢ Λουκᾶ, ἢ Ἰωάννου).*

Ὁ δὲ Ἱερεὺς ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς, σφραγίζων αὐτὸν, λέγει·

Ὁ Θεὸς, διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ *(δεῖνος)*, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος· Ἀμήν. Ἀμήν. Ἀμήν. Γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. *Εἰ δὲ χοροστατεῖ Ἀρχιερεὺς, ὁ Διάκονος λαβὼν τὸ Θυμιατήριον προσέρχεται κατ᾽ εὐθεῖαν πρὸς τὸν Ἀρχιερέα καὶ ὑποκλίνας τὴν κεφαλὴν, λέγει ἠρέμα·* Εὐλόγησον, Δέσποτα, τὸν Εὐαγγελιστὴν . . . *(ὡς ἀνωτέρω εἰς τὸν Ἱερέα), κατερχόμενος δὲ τοῦ θρόνου θυμιᾷ τὸν Ἀρχιερέα τρὶς, τὰς τέσσαρας Δεσποτικὰς εἰκόνας ἀνὰ τρεῖς, καὶ πάλιν τὸν Ἀρχιερέα ἐννέα καὶ εἰσέρχεται εἰς τὸ ἱερὸν, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν, τὴν Πρόθεσιν καὶ τὸν Κλῆρον, καὶ ἀποτιθέμενος τὸ Θυμιατήριον λαμβάνει*

ἐκ τῶν χειρῶν τοῦ Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον, καὶ προσκυνήσας μετ' εὐλαβείας ἄρει αὐτό, καὶ προπορευομένων λαμπάδων ἀπέρχεται εἰς τὸν ἱερὸν Ἄμβωνα.

Ὁ δὲ Ἱερεὺς ἀναγινώσκει πρὸ τῆς ἁγίας Τραπέζης τὴν εὐχὴν ταύτην μυστικῶς.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, κτλ.

Πληρωθέντος δὲ τοῦ Ἀποστόλου, ὁ Ἱερεὺς ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς λέγει· Εἰρήνη σοι τῷ ἀναγινώσκοντι. Ὁ δὲ β΄ χορὸς ψάλλει τρὶς τὸ, Ἀλληλούϊα.

Εἶτα ὁ Ἱερεὺς ἀπὸ τῆς Πύλης τοῦ Ἱεροῦ Βήματος ἐκφωνεῖ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ αὐτὸς ἢ ὁ χοροστατῶν Ἀρχιερεύς· Εἰρήνη πᾶσι. (Τοῦτο δὲ εἰπὼν ὁ Ἀρχιερεὺς, ἀποτίθησι τὸ Ἐπικαλύμμαυχον). — Ὁ α΄ χορός. Καὶ τῷ Πνεύματί σου.

Ὁ Διάκονος. Ἐκ τοῦ κατὰ (τόνδε) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Ἱερεύς. Πρόσχωμεν. — Ὁ β΄ χορός. Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀναγινώσκει ὁ Διάκονος τὴν τεταγμένην περικοπὴν τοῦ ἁγίου Εὐαγγελίου εὐκρινῶς καὶ σεμνοπρεπῶς. Μετὰ δὲ τὸ τέλος ὁ μὲν Ἱερεὺς, ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς λέγει. Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ. Ὁ δὲ α΄ χορὸς ψάλλει ἀργῶς τὸ, Δόξα σοι, Κύριε, δόξα σοι.

Εἰ δὲ χοροστατεῖ Ἀρχιερεὺς, οὗτος μὲν εὐλογεῖ τὸν λαὸν ἀπὸ τοῦ Θρόνου διὰ τοῦ τιμίου Σταυροῦ· ὁ δὲ χορὸς ἀντὶ τοῦ Δόξα σοι, Κύριε, ψάλλει κατὰ τὸ αὐτὸ μέλος· Εἰς πολλὰ ἔτη, Δέσποτα.

Ἐνταῦθα ὁ Ἀρχιερεὺς ἀπὸ τοῦ Θρόνου, ἢ ἀντ' αὐτοῦ ὁ Ἱεροκήρυξ ἀπὸ τοῦ Ἱεροῦ Ἄμβωνος ἑρμηνεύει τὴν ἀναγνωσθεῖσαν Εὐαγγελικὴν ἢ καὶ τὴν Ἀποστολικὴν περικοπὴν, καὶ διδάσκει τὸν λαὸν τοῦ Θεοῦ εἰς γλῶσσαν ἁπλῆν καὶ καθαράν.

Εἶτα ὁ Διάκονος, σταθεὶς πρὸ τοῦ Ἱεροῦ Βήματος, λέγει τὴν Ἐκτενῆ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν. — Ὁ α΄ χορός· Κύριε ἐλέησον.

Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον. — Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ε. κ. ε. — Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν. — Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος). — Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων καὶ Μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. — Ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ· πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παροικούντων ἐν τῇ πόλει (ἢ χώρᾳ, ἢ νήσῳ) καὶ ἐν τῇ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἱερᾶς Ἐκκλησίας ταύτης (ἢ τῶν ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης) σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν. Καὶ τῶν δούλων αὐτοῦ (καὶ μνημονεύει ὧν θέλει ζώντων). — Ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἢ Μονῆς) ταύτης καὶ ὑπὲρ πάντων τῶν

προαναπαυσαμένων Πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων. Καὶ τῶν δούλων αὐτοῦ (καὶ μνημονεύει ὧν θέλει κεκοιμημένων). — Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Τούτων δὲ ὑπὸ τοῦ Διακόνου λεγομένων, ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν ἐξῆς εὐχὴν τῆς Ἐκτενοῦς ἱκεσίας.

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Συμπληρωθείσης δὲ ὑπὸ τοῦ Διακόνου τῆς Ἐκτενοῦς, ὁ Ἱερεὺς λέγει ἐκφώνως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ κτλ. — Ὁ β' χορός· Ἀμήν. — Εἶτα ἄρχεται ὁ Διάκονος τῆς δεήσεως ὑπὲρ τῶν Κατηχουμένων, τῶν χορῶν ἐναλλὰξ λεγόντων τό· Κύριε ἐλέησον.

Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ. — Οἱ πιστοὶ, ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν. — Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ. — Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. — Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης. — Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ. — Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς, ὁ Θεὸς, τῇ σῇ χάριτι. — Οἱ Κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Τούτων δὲ λεγομένων, ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν ὑπὲρ τῶν Κατηχουμένων εὐχήν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς, ἐν καιρῷ εὐθέτῳ, τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Εἶτα λέγει ἐκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, κτλ. — Ὁ α' χορός. Ἀμήν.

Εἶτα ὁ μὲν Ἱερεὺς ἐξαπλοῖ ἐπὶ τῆς ἁγίας Τραπέζης τὸ Εἰλητόν· ὁ δὲ Διάκονος λέγει· Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ Κατηχούμενοι, προέλθετε· ὅσοι Κατηχούμενοι, προέλθετε. Μή τις τῶν Κατηχουμένων.

Ὅσοι Πιστοὶ, ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. — Ὁ β' χορός. Κύριε, ἐλέησον.

Καὶ ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν Α' εὐχὴν τῶν Πιστῶν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ

λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεὸς, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴῃς, ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ὁ Διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. — *Ὁ α΄ χορός.* Κύριε, ἐλέησον.

Ὁ Διάκονος. Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, κτλ. — *Ὁ β΄ χορός.* Ἀμήν.

Ὁ Διάκονος. Ἔτι, καὶ ἔτι. — *Ὁ α΄ χορός.* Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν Β΄ Εὐχὴν τῶν Πιστῶν.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσας ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴῃς ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου Θυσιαστηρίου. Χάρισαι δὲ, ὁ Θεὸς, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου Μυστηρίων, καὶ τῆς ἐπουρανίου σου Βασιλείας ἀξιωθῆναι.

Ὁ Διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. — *Ὁ β΄ χορός.* Κύριε, ἐλέησον.

Ὁ Διάκονος. Σοφία. *Καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν· ὁ δὲ Ἱερεὺς λέγει ἐκφώνως·*

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ, κτλ. — *Ὁ α΄ χορός.* Ἀμήν.

Καὶ ἄρχεται ὁ Πρωτοψάλτης τοῦ α΄ χοροῦ ψάλλειν τὸν Χερουβικὸν ὕμνον[1] *ἀργῶς καὶ μετὰ μέλους, εἰς τὸν κύριον ἦχον τῆς ἡμέρας, τῶν ἄλλων ἡρέμα ὑπηχούντων καὶ ἰσοκρατούντων. Τούτου δὲ ᾀδομένου, ὁ Ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης ἀναγινώσκει μυστικῶς τὴν εὐχὴν ταύτην.*

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου Θυσίας τὴν Ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ Θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος Ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον. Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν

[1]) *Οἱ τα Χερουβὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσάδοντες, πάσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.*

μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς Ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ Δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, κτλ. Ἀμήν.

Μετὰ δὲ τὴν εὐχὴν λέγουσιν αὐτός τε καὶ ὁ Διάκονος τὸν Χερουβικὸν ὕμνον. Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ Θυμιατήριον, θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὸ Ἱερατεῖον, καὶ τὰς δεσποτικὰς εἰκόνας καὶ τὸν λαὸν, μικρὸν προελθὼν τῶν Βημοθύρων· λέγει δὲ καθ' ἑαυτὸν. εἰ μέν ἐστι Κυριακὴ, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ τὸν Ν' ψαλμόν· εἰ δ' οὔ, λέγει τὸ Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Εἶτα τὸν Ν' ψαλμόν. Ἐὰν δὲ χοροστατῇ Ἀρχιερεὺς προελθὼν μικρὸν τῶν Βημοθύρων θυμιᾷ πρῶτον τὸν Ἀρχιερέα γ'· εἶτα τὰς δεσποτικὰς εἰκόνας, εἶτα αὖθις τὸν Ἀρχιερέα τρὶς ἐκ τρίτου, καὶ εἰσελθὼν ἐν τῷ ἱερῷ ἀποτίθησι τὸ θυμιατήριον. Ἐλθὼν δὲ μετὰ τοῦ Διακόνου πρὸ τῆς ἁγίας Τραπέζης ποιοῦσι προσκυνήματα τρία, λέγοντες καθ' ἑαυτοὺς Κατανυκτικὰ Τροπάρια, καὶ ἀσπάζονται τὸ ἅγιον Ἀντιμίνσιον, καὶ τὴν ἁγίαν Τράπεζαν· αὖθις δὲ ἐκ γ' προσκυνήσαντες στρέφονται πρὸς τὸν λαὸν καὶ ὑποκλίνουσι τὰς κεφαλὰς αὐτῶν, καὶ οὕτως ἀπέρχονται εἰς τὴν ἁγίαν Πρόθεσιν, καὶ προσκυνήσαντες ἀσπάζονται τὰ κεκαλυμμένα Ἅγια Δῶρα, λέγοντες ἑκάτερος τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Τότε ὁ Διάκονος λέγει πρὸς τὸν Ἱερέα. Ἔπαρον, Δέσποτα· καὶ ὁ Ἱερεὺς ἄρας τὸν Ἀέρα, ἐπιτίθησιν ἐπὶ τῶν ὤμων αὐτοῦ λέγων.

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα λαβὼν τὸν ἅγιον Δίσκον κεκαλυμμένον, ἐπιβάλλει μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, τῇ τοῦ Διακόνου κεφαλῇ· αὐτὸς δὲ λαμβάνει ἀνὰ χεῖρας τὸ ἅγιον Ποτήριον ὁμοίως κεκαλυμμένον.

Ὅτε δὲ ὁ προεξάρχων τοῦ β' χοροῦ, ὁ τιτλοφορούμενος Λαμπαδάριος εἴπῃ τὸ, Ὡς τὸν βασιλέα[1], *τότε, σιγήσαντος τοῦ χοροῦ, ὁ Διάκονος καὶ ὁ Ἱερεὺς ἐξέρχονται τῆς βορείου πύλης τοῦ Ἱεροῦ, προηγουμένων ἐξαπτερύγων, λαμπάδων καὶ θυμιατηρίων, καὶ διέρχονται τὸ ἀριστερὸν κλῖτος, καὶ τὸ μέσον τοῦ Ναοῦ, ποιοῦντες τὴν Μεγάλην Εἴσοδον, ἐκφωνοῦντες ἀλληλοδιαδόχως ἑκάτερος.*

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, κτλ.

Καὶ ἅπαντες οἱ ἐκκλησιαζόμενοι κλίνοντες μετ' εὐλαβείας τὰς κεφαλὰς καὶ προσκυνοῦντες λέγουσι καθ' ἑαυτοὺς τρίς. Ἀμήν. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Φθάσαντες δὲ ὁ Διάκονος καὶ ὁ Ἱερεὺς πρὸ τοῦ Θρόνου, εἰ μέν ἐστιν Ἀρχιερεὺς χοροστατῶν, στραφέντες πρὸς αὐτὸν ἐκφωνοῦσιν ἀλληλοδιαδόχως.

Τῆς Ἀρχιερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, κτλ. Καὶ ὁ Ἀρχιερεὺς λέγει Ἀμήν.

Εἰ δὲ μή, χωροῦσιν εὐθὺ πρὸς τὸ Ἱερὸν ἐκφωνοῦντες ἀλληλοδιαδόχως.

Τῆς Ἱερωσύνης ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, κτλ.

---

[1]) *Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν· Ἀλληλούϊα.*

Τούτων δὲ εἰσελθόντων ἐν τῷ Ἱερῷ ὁ Λαμπαδάριος συμπληροῖ τὸν Χερουβικὸν ὕμνον.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἐν τῷ Ἱερῷ ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης ἐν τοῖς δεξιοῖς, καὶ λέγει πρὸς τὸν Ἱερέα εἰσερχόμενον.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ, κτλ.

Καὶ ὁ Ἱερεὺς εἰσελθὼν λέγει πρὸς αὐτόν.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱεροδιακονίας σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ, κτλ.

Καὶ ἀποτίθησι μὲν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ· λαβὼν δὲ καὶ τὸν ἅγιον Δίσκον ἀπὸ τῆς κεφαλῆς τοῦ Διακόνου ἀποτίθησι καὶ αὐτὸν δεξιόθεν λέγων.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδῃ δὲ μετὰ ψυχῆς, ὡς Θεὸς, ἐν Παραδείσῳ δὲ μετὰ Ληστοῦ, καὶ ἐν Θρόνῳ ὑπῆρχες, Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Εἶτα τὰ μὲν καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ Δίσκου καὶ τοῦ ἁγίου Ποτηρίου τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας Τραπέζης· τὸν δὲ Ἀέρα ἀπὸ τῶν Διακόνου ὤμων λαβὼν, καὶ θυμιάσας σκεπάζει δι' αὐτοῦ τὰ Ἅγια. Εἶτα λαβὼν τὸν Θυμιατὸν, θυμιᾷ τρὶς τὰ Ἅγια, ὅτε ὁ μὲν Διάκονος λέγει.

Ἀγάθυνον, Δέσποτα.

Ὁ δὲ Ἱερεὺς τρίς. Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους. Ἀποδοὺς δὲ τὸν Θυμιατὸν, καὶ κλίνας τὴν κεφαλὴν, λέγει πρὸς τὸν Διάκονον.

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος πρὸς αὐτόν.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε κτλ.

Εἶτα ὁ Διάκονος ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλὴν, κρατῶν ἅμα καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν Ἱερέα.

Εὔξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς. Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Διάκονος. Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Μνήσθητί μου, Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς. Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, κτλ.

Καὶ ὁ Διάκονος ἐπειπὼν τὸ, Ἀμὴν, καὶ τὴν δεξιὰν τοῦ Ἱερέως ἀσπασάμενος, ἐξελθὼν ἵσταται ἐν τῷ συνήθει τόπῳ.

Εἰ δὲ χοροστατεῖ Ἀρχιερεὺς, οὗτος μὲν εὐλογεῖ διὰ τοῦ τιμίου Σταυροῦ τὸν λαὸν, ὁ δὲ α' χορὸς ψάλλει εἰς ἦχον β'. Εἰς πολλὰ ἔτη, Δέσποτα· καὶ καταλήγει εἰς τὸν ἦχον τοῦ Χερουβικοῦ, ὁμοιομόρφως τῷ, Ἀλληλούϊα.

Εἶτα ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. — Οἱ χοροὶ ἐναλλάξ. Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν. — Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τ. κ. δ. — Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τ. κ. δ.

Τούτων δὲ ὑπὸ τοῦ Διακόνου λεγομένων, ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν ἑξῆς εὐχὴν τῆς Προθέσεως, μετὰ τὴν ἐν τῇ ἁγίᾳ Τραπέζῃ ἀπόθεσιν τῶν θείων Δώρων.

Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος Ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι Δῶρά τε καὶ Θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν Θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ Διάκονος ἐξακολουθεῖ λέγων·

Ἀντιλαβοῦ, σῶσον, κτλ. — Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα. — Οἱ χοροὶ ἐναλλάξ. Παράσχου Κύριε. — Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν π. τ. Κ. αιτ. — Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν π. τ. Κ. αιτ. — Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, π. τ. Κ. αιτ. — Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, π. τ. Κ. αιτ. — Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα. — Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. — Ὁ α΄ χορός. Σοὶ, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, κτλ. — Ὁ β΄ χορός. Ἀμήν.

Ὁ Ἱερεὺς, ἢ ἐὰν χοροστατῇ ὁ Ἀρχιερεύς. Εἰρήνη πᾶσι. — Ὁ α΄ χορός. Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος. Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. — Ὁ β΄ χορός. Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καὶ ὁ μὲν Ἱερεὺς προσκυνήσας τρὶς, ἀσπάζεται τὰ Ἅγια οὕτως, ὡς εἰσι κεκαλυμμένα, λέγων μυστικῶς. Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου (ἐκ γ΄). Ὁμοίως καὶ ὁ Διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ· ἀσπάζεται δὲ καὶ τὸ Ὡράριον αὐτοῦ, ἔνθα ἐστὶ Σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἱερεὺς ἄρας τὸν Ἀέρα ἐπάνω τῶν Δώρων, κινεῖ αὐτὸν ἀνοικτὸν, λέγων καθ' ἑαυτὸν τὸ, Πιστεύω.

Ὁ χοροστατῶν Ἀρχιερεύς, ἢ ὁ προϊστάμενος τῶν Κληρικῶν τρανῶς καὶ εὐκρινῶς, καὶ ἕκαστος τῶν ἐκκλησιαζομένων ἰδίᾳ καθ' ἑαυτὸν ἀπαγγέλλει τὸ ἅγιον Σύμβολον τῆς Πίστεως, οὗ πληρωθέντος, ἀμφότεροι οἱ χοροὶ λέγουσι τὸ, Ἀμήν.

Εἶτα λέγει ὁ Διάκονος ἐκφώνως.

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν Ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. — Ὁ α΄ χορός. Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεὺς ῥιπίζων τὰ Ἅγια διὰ τοῦ Ἀέρος (ἐὰν ᾖ παρὼν Διάκονος ῥιπίζει τὰ Ἅγια οὗτος) ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Καὶ στραφεὶς πρὸς τὸν λαὸν, εὐλογεῖ αὐτὸν διὰ τοῦ Ἀέρος· — Ὁ β΄ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεὺς ὑψῶν ἀμφοτέρας τὰς χεῖρας ἐκφωνεῖ· Ἄνω σχῶμεν τὰς καρδίας. — Ὁ α΄ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεὺς στραφεὶς πρὸς ἀνατολὰς ἐκφωνεῖ· Εὐχαριστήσωμεν τῷ Κυρίῳ. — Ὁ β΄ χορός. Ἄξιον καὶ δίκαιον.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν Βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς Λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

Εἶτα λέγει ἐκφώνως.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα. — Ὁ α΄ χορός. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Ὁ Διάκονος λαβὼν τὸν Ἀστερίσκον ἐκ τοῦ ἁγίου Δίσκου ποιεῖ Σταυροῦ τύπον ἐπάνω αὐτοῦ, καὶ ἀσπασάμενος αὐτὸν ἀποτίθησιν ἐν μέρει τινὶ τῆς ἁγίας Τραπέζης.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος Σὺ, καὶ ὁ μονο-

γενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς, τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς, ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις, καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

Ἐκφώνως.

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. — Ὁ β' χορός. Ἀμήν.

Εἶτα μυστικῶς ὁ Ἱερεύς·

Ὁμοίως καὶ τὸ Ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων.

Ἐκφώνως.

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν, καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. — Ὁ α' χορός. Ἀμήν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀναβάσεως, τῆς ἐκ δεξιῶν Καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα. — Ὁ β' χορός. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ δὲ Ἱερεὺς κλίνας τὴν κεφαλὴν μετὰ πάσης κατανύξεως ἐπεύχεται μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε, καὶ δεόμεθα, καὶ ἱκετεύομεν. Κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. Εἶτα ὁ Διάκονος, δεικνύων διὰ τοῦ Ὡραρίου τὸν Ἅγιον Ἄρτον, λέγει μυστικῶς. Εὐλόγησον, Δέσποτα, τὸν Ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος σφραγίζει τὸν Ἅγιον Ἄρτον, λέγων.

Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος. Ἀμήν. Δεικνύων δὲ τῷ Ὡραρίῳ τὸ Ἅγιον Ποτήριον, λέγει.

Εὐλόγησον, Δέσποτα, τὸ Ἅγιον Ποτήριον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν, λέγει.

Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος. Ἀμήν. Αὖθις δὲ δεικνύων μετὰ τοῦ Ὡραρίου ἀμφότερα τὰ Ἅγια, λέγει.

Εὐλόγησον, Δέσποτα, ἀμφότερα τὰ Ἅγια.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ Ἅγια, λέγει.

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ (ποιοῦσι δὲ ἀμφότεροι τρεῖς γονυκλισίας).

Ὁ Διάκονος. Ἀμὴν, Ἀμὴν, Ἀμήν. *Καὶ λαβὼν τὸν Ἀέρα ῥιπίζει δι' αὐτοῦ τὰ Ἅγια.*

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς Βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Εἶτα θυμιῶν τὴν ἁγίαν Τράπεζαν κατέμπροσθεν, λέγει ἐκφώνως.

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Καὶ ἐπιδίδωσι τὸ Θυμιατήριον τῷ Διακόνῳ, ὅστις θυμιῶν κύκλῳ τὴν ἁγίαν Τράπεζαν, μνημονεύει καθ' ἑαυτὸν ὧν ἂν βούλεται ζώντων καὶ τεθνεώτων.

Ὁ δὲ α΄ χορὸς ψάλλει χαρμονικῶς τὸ Μεγαλυνάριον τῆς Θεοτόκου Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον· *εἰς ἦχον β΄.*

Εἰ δέ ἐστι Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτὴ, ἢ ἀπόδοσις αὐτῆς, ψάλλεται ο Εἱρμὸς τῆς Θ΄ Ὠιδῆς τοῦ Κανόνος τῆς ἑορτῆς.

Τούτου δὲ ψαλλομένου, ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου (ϑεῖνος) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου (καὶ μνημονεύει ὀνομαστὶ ὧν βούλεται τεθνεώτων), καὶ ἀνάπαυσον αὐτοὺς ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ, καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς, ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως.

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (καὶ ἀπαγγέλλει τὸ ὄνομα τοῦ κατὰ τόπον κανονικοῦ Ἐπισκόπου, εἴτε Ἐπίσκοπός ἐστιν οὗτος, εἴτε Μητροπολίτης, εἴτε Πατριάρχης, ἢ τοῦ χοροστατοῦντος τυχὸν ἀρχιερέως), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Εἶτα ὁ Διάκονος πρὸς τῇ θύρᾳ στὰς, μνημονεύει τὰ Δίπτυχα τῶν ζώντων, εἶτα δὲ ἐκφωνεῖ.

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Τούτων δὲ λεγομένων ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς Πόλεως, (ἢ χώρας, ἢ νήσου, ἢ τῆς Μονῆς), ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως.

Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. — Ὁ β΄ χορός. Ἀμήν.

Καὶ στραφεὶς πρὸς τὸν λαὸν, καὶ εὐλογῶν αὐτὸν λέγει.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. — Ὁ α΄ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ δὲ Διάκονος ἐξελθὼν, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. — Οἱ χοροὶ ἐναλλὰξ ἐν ἑκάστῃ δεήσει, Κύριε ἐλέησον.

Ὁ Διάκονος.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων Δώρων, τ. Κ. δ. — Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν. — Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τ. Κ. δ.

(Τούτων δὲ λεγομένων, ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν. Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν Μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα).

Ὁ Διάκονος ἐξακολουθεῖ, λέγων.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. — Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα. — κτλ. ὡς ἀνωτέρω σελ. 286.

Ὁ Διάκονος·

Τὴν ἑνότητα τῆς Πίστεως, καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν.

Ὁ χοροστατῶν Ἀρχιερεὺς, ἢ ὁ προϊστάμενος τῶν Κληρικῶν τρανῶς καὶ εὐκρινῶς, καὶ ἕκαστος τῶν ἐκκλησιαζομένων ἰδίᾳ καθ' ἑαυτὸν ἀπαγγέλλει τὴν Κυριακὴν Προσευχὴν, τὸ, Πάτερ ἡμῶν, ἧς ἀναγινωσκομένης ὁ Διάκονος ζώννυται τὸ Ὡράριον σταυροειδῶς.

Ὁ Ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, κτλ. — Ὁ α΄ χορός. Ἀμήν. Ὁ Ἱερεὺς, ἢ ὁ χοροστατῶν Ἀρχιερεύς· Εἰρήνη πᾶσι. — Ὁ β΄ χορός. Καὶ τῷ πνεύματί σου. — Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. — Ὁ α΄ χορός. Σοὶ, Κύριε.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτὸς, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνως.

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, κτλ. — Ὁ β΄ χορός. Ἀμήν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεὺς, ὁμοίως καὶ ὁ Διάκονος, ἐν ᾧ ἵσταται τόπῳ, λέγοντες μυστικῶς τρίς· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα ὁ Διάκονος ἐκφωνεῖ· Πρόσχωμεν. Καὶ ὁ Ἱερεὺς ὑψῶν τὸν Ἅγιον Ἄρτον, ἐκφωνεῖ·

Τὰ ἅγια τοῖς ἁγίοις. — Ὁ α΄ χορός· Εἷς Ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εἶτα ὁ προεξάρχων τοῦ β΄ χοροῦ (ὁ Λαμπαδάριος) ψάλλει ἀργῶς καὶ μετὰ μέλους τὸ Κοινωνικὸν εἰς τὸν ἦχον, εἰς ὃν ἐψάλη καὶ τὸ Χερουβικόν. Τῇ μὲν Κυριακῇ, Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα. Εἰ δὲ τύχοι Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτὴ, ἢ Ἀπόδοσις αὐτῆς, ψάλλεται τὸ Κοινωνικὸν τῆς Ἑορτῆς.

Μετὰ τὸ ἐκφωνῆσαι τὸν Διάκονον τὸ Πρόσχωμεν, εἰσέρχεται οὗτος ἐν τῷ ἁγίῳ Βήματι· καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει·

Μέλισον, Δέσποτα, τὸν ἅγιον Ἄρτον.

Μελίζεται καὶ διαμελίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς, οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ὁ Διάκονος, δεικνύων σὺν τῷ Ὡραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον, Δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεὺς, λαβὼν τὴν ἄνω κειμένην μερίδα, τὴν ἔχουσαν τοὺς χαρακτῆρας ΙΣ, ποιεῖ σὺν αὐτῇ Σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα Ποτηρίου, Πίστεως, Πνεύματος Ἁγίου.

Καὶ οὕτως ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον. — Ὁ Διάκονος· Ἀμήν.

Καὶ λαβὼν ὁ αὐτὸς τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα· — Εὐλόγησον, Δέσποτα, τὸ Ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων. — Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, κτλ.

Καὶ ὁ Διάκονος ἐγχέει σταυροειδῶς ἐκ τοῦ Ζέοντος τὸ ἀρκοῦν ἔνδον τοῦ ἁγίου Ποτηρίου, λέγων· — Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου.

Ὁ Διάκονος· Ἀμήν.

Καὶ ἀποθέμενος τὸ Ζέον, ἵσταται μικρὸν ἄποθεν προσευχόμενος καθ' ἑαυτόν. Ὁ δὲ Ἱερεὺς τὴν κεφαλὴν ὑποκλίνας ἀναγινώσκει εὐλαβῶς τὰς εὐχὰς τῆς ἁγίας Μεταλήψεως, ἤτοι τό· Πιστεύω, Κύριε, κτλ. (ὅρα σελ. 298) καὶ· Τοῦ δείπνου σου τοῦ μυστικοῦ κτλ.

Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει· — Μεταδίδοταί μοι τῷ (δεῖνι) ἱερεῖ τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἁγίου Ἄρτου μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει· Ἱεροδιάκονε, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, λέγει·

Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι, Δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, κτλ.

Καὶ ὁ Ἱερεὺς κρατῶν τὸν ἅγιον Ἄρτον δίδωσι τῷ Διακόνῳ, λέγων. — Μεταδίδοταί σοι τῷ (δεῖνι) ἱεροδιακόνῳ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, κτλ.

Ὁ δὲ Διάκονος ἀσπασάμενος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, ἐπέρχεται ὄπισθεν τῆς ἁγίας Τραπέζης, μεταλαμβάνει τοῦ ἐν τῇ παλάμῃ αὐτοῦ, ὡς ὁ Ἱερεύς.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Καλύμματος, λέγει· — Ἔτι μεταδίδοταί μοι τῷ (δεῖνι) ἱερεῖ τὸ τίμιον, καὶ πανάγιον καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, κτλ.

Καὶ μεταλαβὼν τρὶς ἐξ αὐτοῦ, καὶ ἀποσπογγίσας διὰ τοῦ ἐν χερσὶ Καλύμματος τά τε ἴδια χείλη, καὶ τὸ ἅγιον Ποτήριον, καὶ ἀσπασάμενος αὐτὸ, καλεῖ τὸν Διάκονον, λέγων· Ἱεροδιάκονε, ἔτι πρόσελθε.

Ἐλθὼν δὲ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης σπογγίζει μετὰ τῆς Μούσης τὴν παλάμην αὐτοῦ ἐπὶ τοῦ ἁγίου Δίσκου μετὰ προσοχῆς, λέγων ἅμα· —

Ἔτι προσερχομένῳ μετάδος μοι, Δέσποτα, τὸ τίμιον, καὶ πανάγιον, καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄφεσίν μου ἁμαρτιῶν, κτλ.

Καὶ ὁ Ἱερεὺς μεταδιδοὺς αὐτῷ τρὶς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει· Ἔτι μεταδίδοταί σοι τῷ (δεῖνι) ἱεροδιακόνῳ τὸ τίμιον, καὶ πανάγιον, καὶ ζωηρὸν Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄφεσίν σου ἁμαρτιῶν, κτλ. Ἀμήν.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς. — Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας περικαθαριεῖ.

Τότε, λαβὼν τὸν ἅγιον Δίσκον ὁ Διάκονος ἐπάνω τοῦ ἁγίου Ποτηρίου, ἀποσπογγίζει τῷ ἁγίῳ Σπόγγῳ πάνυ καλῶς, λέγων ἅμα καὶ τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, Κύριον, Ἰησοῦν κτλ. *ἐμβάλλων τὰς μερίδας τῶν ζώντων καὶ τεθνεώτων. Εἶτα μετὰ προσοχῆς σκεπάζει τὸ ἅγιον Ποτήριον τῷ Καλύμματι.*

Ἐν τούτοις δὲ ὁ Ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν Εὐχαριστήριον Εὐχήν.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου, καὶ ἀθανάτων Μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδὸν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωὴν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων σου.

Εἶτα, πληρωθέντος τοῦ Κοινωνικοῦ, κρούει διὰ τοῦ συνεπτυγμένου Ἀστερίσκου τὸν ἅγιον Δίσκον σταυροειδῶς, καὶ τίθησι τὸν Ἀστέρα καὶ τὸ Κάλυμμα καὶ Ἀέρα ἐπὶ τὸν ἅγιον Δίσκον.

Μετὰ δὲ τὸ Ἀλληλούϊα *τοῦ Κοινωνικοῦ, ἀνοιχθείσης τῆς Ὡραίας Πύλης, ὁ Διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει παρὰ τοῦ Ἱερέως τὸ ἅγιον Ποτήριον κεκαλυμμένον, καὶ ἐξελθὼν εἰς τὴν Θύραν, καὶ ὑψῶν αὐτὸ ἐκφωνεῖ·* — Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστοὺς, οἱ χοροὶ ψάλλουσι χύμα ἅπαξ ἢ πλεονάκις, κατὰ τὸν ἀριθμὸν τῶν κοινωνούντων, τό· — Τοῦ δείπνου σου τοῦ μυστικοῦ κτλ.

Ἐνιαχοῦ δὲ, ἀντὶ τούτου, ψαλλομένου μόνον τὴν Μεγάλην Πέμπτην, ψάλλεται χύμα τό· — Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Εἶτα ὁ Ἱερεὺς, ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς, εὐλογῶν τὸν λαὸν, λέγει· — Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ἐπιστρέφουσιν ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος εἰς τὴν ἁγίαν Τράπεζαν.

Καὶ ὁ μὲν διάκονος, ἀποθέμενος ἐν αὐτῇ τὸ ἅγιον Ποτήριον, λέγει πρὸς τὸν Ἱερέα· — Ὕψωσον, Δέσποτα.

Ὁ δὲ Ἱερεὺς θυμιᾷ τρὶς, λέγων μυστικῶς· — Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ὁ α΄ δὲ χορὸς ψάλλει ἐν τούτοις τό· — Εἴδομεν τὸ φῶς τὸ ἀληθινὸν κτλ.

Τούτου δὲ ψαλλομένου, ὁ χοροστατῶν Ἀρχιερεὺς ἐπιτίθησιν αὖθις τὸ ἐπικαλύμμαυχον.

Εἴ ἐστι Δεσποτικὴ Ἑορτὴ, ἢ Ἀπόδοσις αὐτῆς, ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς, *ψάλλεται τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς· Ἀπὸ δὲ τοῦ ἁγίου Πάσχα, μέχρι τῆς Ἀποδόσεως αὐτοῦ ψάλλεται τό·* Χριστὸς Ἀνέστη. *Τῷ δὲ Σαββάτῳ τῶν Ψυχῶν, τὸ,* Μνήσθητι, Δέσποτα, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Ληστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Εἶτα ὁ Ἱερεὺς λαβὼν τὸν ἅγιον Δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ Διακόνου· ὁ δὲ Διάκονος κρατῶν αὐτὸν εὐλαβῶς, καὶ θεωρῶν ἔξω πρὸς τὸν λαὸν, οὐδὲν λέγων,

ἀπέρχεται ὄπισθεν τῆς ἁγίας Τραπέζης εἰς τὴν Πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν· εἶτα δὲ χαλᾷ τὸ Ὡράριον αὐτοῦ. Ὁ δὲ Ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον Ποτήριον ἐπικεκαλυμμένον, λέγει, πρὸ μὲν τῆς ἁγίας Τραπέζης μυστικῶς. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· *ἐκφώνως δὲ στραφεὶς πρὸς τὸν λαόν.* Πάντοτε, νῦν, κτλ. — *Ὁ α΄ χορός.* Ἀμήν.

Ὁ Διάκονος ἐξερχόμενος τῶν ἱερῶν Πυλῶν, λέγει.

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι. — *Ὁ β΄ χορός.* Κύριε ἐλέησον.

Αὖθις ὁ Διάκονος.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα *(καὶ εἰσέρχεται ἐν τῷ Ἱερῷ).* — *Ὁ α΄ χορός.* Σοὶ, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ κτλ. — *Ὁ β΄ χορός.* Ἀμήν.

Ὁ Ἱερεύς. Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. — *Ὁ α΄ χορός.* Κύριε ἐλέησον.

Καὶ ὁ Ἱερεὺς ἐξελθὼν τῆς ἁγίας Πύλης, καὶ στὰς πρὸ τῆς Δεσποτικῆς εἰκόνος τοῦ Χριστοῦ, ἐκφωνεῖ τὴν Εὐχὴν ταύτην, τὴν λεγομένην Ὀπισθάμβωνον.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ Θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ καὶ παντὶ τῷ Λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, κτλ. — *Ὁ β΄ χορός.* Ἀμήν.

Οἱ χοροὶ ἐναλλάξ. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος *(ἐκ γ΄).*

Εἰσελθὼν δὲ ὁ Ἱερεὺς διὰ τῶν ἁγίων Πυλῶν εἰς τὸ Ἱερὸν, καὶ ἀπελθὼν εἰς τὴν Πρόθεσιν, λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Τὸ πλήρωμα τοῦ Νόμου καὶ τῶν Προφητῶν, αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε· νῦν, κτλ.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς (ἢ ὁ χοροστατῶν Ἀρχιερεὺς) εὐλογῶν, λέγει.

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, κτλ. — *Ὁ β΄ χορός.* Ἀμήν.

Ὁ Ἱερεύς. Δόξα σοι, Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης. Δόξα, καὶ νῦν. Κύριε ἐλέησον *(ἐκ γ΄).* Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεὺς πρὸς τὸν λαόν.

Ὁ ἀναστὰς ἐκ νεκρῶν (εἰπέρ ἐστι Κυριακή· εἰ δ' οὔ) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας αὐτοῦ Μητρός. Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων *(τοῦ ἁγίου τῆς Μονῆς, εἴ ἐστι Προφήτης, Ἀπόστολος, ἢ Ἱεράρχης)*, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων *(τοῦ ἁγίου τῆς Μονῆς, εἴ ἐστι Μάρτυς)*, τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν *(τοῦ ἁγίου τῆς Μονῆς, εἴ ἐστιν Ὅσιος)*, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης *(τοῦ ἁγίου τῆς ἡμέρας)*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Εἴ ἐστιν Ἀρχιερεὺς χοροστατῶν, οὗτος μὲν εὐλογεῖ τὸν λαὸν διὰ τοῦ τιμίου Σταυροῦ, οἱ δὲ χοροὶ ἀμφότεροι ψάλλουσιν ὁμοῦ. Τὸν Δεσπότην καὶ Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε, εἰς πολλὰ ἔτη Δέσποτα *(τρίς)*.

Ὁ Ἱερεύς. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων *(ἢ τοῦ ἁγίου Δεσπότου)* ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. — Οἱ χοροὶ καὶ σύμπας ὁ λαός. Ἀμήν.

Εἰ οὐκ ἔστιν Ἀρχιερεύς, ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν, λέγει.

Ἡ Ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς. *Καὶ ὁ λαὸς ἀντεπεύχεται αὐτῷ λέγων.* Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

Εἶτα ὁ Ἱερεὺς διανέμων τὸ ἅγιον Ἀντίδωρον λέγει ἑνὶ ἑκάστῳ. — Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐπὶ σέ.

Ἕκαστος δὲ λαβὼν τὸ ἅγιον Ἀντίδωρον, καὶ προσκυνήσας ἐξέρχεται τοῦ Θείου Ναοῦ εὐτάκτως.

Ἐν τούτοις ὁ Διάκονος ἀπελθὼν εἰς τὴν Πρόθεσιν συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφάλειας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν ἢ καταλειφθῆναι, καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ χωνευτηρίῳ· ὁ δὲ Ἱερεὺς μετὰ τὴν διανομὴν τοῦ ἁγίου Ἀντιδώρου εἰσελθὼν ἐν τῷ ἁγίῳ Βήματι, ἀναγινώσκει τὰς εὐχὰς τῆς Εὐχαριστίας·

Εὐχαριστία μετὰ τὴν θείαν Μετάληψιν.

Στίχοι προτρεπτικοί.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
Ὕμνησον εὐθὺς, εὐχαρίστησον μέγα,
Καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑξῆς εὐχαριστηρίους Εὐχάς.
Ἀνωνύμου.

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλὸν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ

ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλὰ, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ᾽ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι᾽ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Χριστὲ, ὁ Θεὸς, Βασιλεῦ τῶν αἰώνων, καὶ Δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ Μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, κτλ. Ἀμήν.

Τοῦ Μεταφραστοῦ.

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μὴ πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμοὺς, εἰς νεφροὺς, εἰς καρδίαν.
Φλέξον δ᾽ ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με,
ἔκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με·
κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν᾽ ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας,

ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖς δε, σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτὰς εὔσπλαγχνε, δέξαι Χριστέ μου,
καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν ἀγαθὲ τῶν ψυχῶν καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

Ἀνωνύμου.

Τὸ σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον, εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαρὰν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Ἀνωνύμου. Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπὶς, ἡ σκέπη, ἡ καταφυγὴ, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀρθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμὸν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εἶτα ἀποδύεται τὴν ἱερατικὴν στολὴν λέγων τό·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ τοῦ Χρυσοστόμου·

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων,

Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ Κοντάκιον τῆς ἡμέρας καὶ τὸ τοῦ Χρυσοστόμου·

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεὸν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε, ὅσιε. Ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

Καὶ τό·

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστοὺς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν· Τοῦτον τὸν Οἶκον στερέωσον, Κύριε.

Καὶ ποιεῖ ἀπόλυσιν ὡς σύνηθες· καὶ ἀσπασάμενος τὴν ἁγίαν Τράπεζαν, παρ' ἧς ἔλαβε τὴν χάριν τῆς Ἱερωσύνης, ὡς πηγὴν τῶν θείων χαρίτων καὶ τοῦ ἁγιασμοῦ, λέγει τὸ, Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, κτλ. καὶ ἀναχωρεῖ οἴκαδε, ἐπευχόμενος καὶ εὐλογῶν τοὺς εὐσεβεῖς καὶ λέγων τό·

Διαφυλάξαι Κύριος ὁ Θεὸς πάντας τοὺς εὐσεβεῖς καὶ ὀρθοδόξους χριστιανοὺς, τοὺς κατοικοῦντας ἐν τῇ πόλει (χώρα, ἢ νήσῳ) καὶ ἐνορίᾳ ταύτῃ σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν.

Ἡ αὐτὴ τάξις γίνεται καὶ παρὰ τοῦ Ἀρχιερέως λειτουργοῦντος.

D. Mönchsregeln des Basilius von Cäsarea.

Βασιλίου Ἀρχιεπισκόπου Καισαρείας ἀσκητικὴ προδιατύπωσις.

1. *Καλλὰ μὲν τοῦ βασιλέως τὰ πρὸς τοὺς ὑπηκόους νομοθετήματα· μείζονα δὲ καὶ βασιλικώτερα τὰ πρὸς στρατιώτας παραγγέλματα. Ἅτε οὖν στρατιωτικῶν παραγγελμάτων κηρυσσομένων, προσεχέτω ὁ τῆς ἄνω καὶ μεγάλης ἀξίας ἐπιθυμῶν, ὁ Χριστοῦ διὰ παντὸς παραστάτης εἶναι βουλόμενος, ὁ τῆς μεγάλης ἐκείνης ἀκούων φωνῆς· „Ἐάν τις ἐμοὶ διακονῇ, ἐμοὶ ἀκολουθείτω. Καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ διάκονος ὁ ἐμὸς ἔστω.“ Ποῦ Χριστὸς ὁ βασιλεύς; Ἐν οὐρανῷ δηλαδή. Ἐνταῦθά σε ποιεῖσθαι τὸν δρόμον, στρατιῶτα, προσήκεν. Ἐπιλάθου τῆς κατὰ τὴν ἀναπαύσεως πάσης. Οὐδεὶς στρατιώτης οἰκίαν κατασκευάζει, οὐδὲ κτήσις ἀγρῶν περιβάλλεται, οὐδὲ ἐμπορίαις ποικίλαις χρημάτων πριστικαῖς ἐγκαταμίγνυται. „Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματίαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.“ Τροφὰς στρατιώτης ἔχει βασιλικάς· οὐ δεῖ πορίζειν ἑαυτῷ τροφὰς, οὐδὲ περὶ τοῦτο ἀσχολεῖσθαι. Οἶκος ἀνέῳγεν αὐτῷ πανταχῆ παρὰ τοῖς ὑπηκόοις ἐκ βασιλέως προστάγματος. Οὐ δεῖ περὶ οἰκίας αὐτῷ διαπονεῖσθαι· ἐπὶ πλατείαις ἡ σκηνὴ, καὶ πρὸς ἀνάγκην ἡ τροφὴ, καὶ ποτὸν ὕδωρ, καὶ ὑπνοῦν τοσοῦτον, ὅσον ἡ φύσις δέδωκεν. Ὁδιπορίαι δὲ καὶ ἀγρυπνίαι πολλαί·*

καρτερίαι πρὸς καύματα, πρὸς ψῦχος· ἀγῶνες πρὸς ἐναντίους· κίνδυνοι μέχρι τῶν ἐσχάτων· θάνατος, ἂν τύχῃ, πολλάκις· ἀλλὰ θάνατος ἔνδοξος, τιμαί τε, καὶ δῶρα βασιλικά. Ἐπίπονος ἐν πολέμοις ὁ βίος, λαμπρὸς ἐν εἰρήνῃ. Γέρας ἀριστείας, καὶ στέφανος καλῶς, βεβιωκότι ἐν κατορθώμασιν, ἀρχὴν ἐγχειρισθῆναι, φίλον βασιλέως κληθῆναι, παραστῆναι πλησίον, δεξιώσεως τυχεῖν, ἐκ χειρὸς βασιλέως τετιμῆσθαι, παρὰ τοῖς ὑπηκόοις προΐστασθαι, καὶ πρεσβεύειν ὑπὲρ τῶν ἔξωθεν φίλων, ὧν ἂν βούλονται.

2. Ἄγε δὴ, στρατιῶτα Χριστοῦ, μικρὰ ἐξ ἀνθρωπίνων πραγμάτων λαβὼν παραδείγματα, ἐνθύμησιν λάβε τῶν αἰωνίων ἀγαθῶν. Ἄοικός σοι καὶ ἄπολις καὶ ἀκτήμων προκείσθω βίος. Ἄνετος ἔσο, λελυμένος ἀπὸ πασῶν κοσμικῶν φροντίδων· μὴ σε δεσμεύσῃ γυναικὸς ἐπιθυμία, μὴ σε φροντὶς παιδός. Ἀδύνατον γὰρ ἐν τῇ θείᾳ στρατείᾳ τοῦτο· „Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ.“ Οὐ νικᾷ σε σώματος φύσις, οὐδὲ ἄγχει σε μὴ βουλόμενον· οὐ δεσμώτην ἀντ' ἐλευθέρου ποιεῖ. Οὐ ζήτει ἐν γῇ καταλιπεῖν παίδας, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν· οὐ σωματικοῖς προσκολλᾶσθαι γάμοις, ἀλλὰ πνευματικῶν ὀρέγεσθαι, ἄρχειν ψυχῶν, καὶ παιδογονεῖν πνευματικῶς. Τὸν νυμφίον μιμοῦ τὸν οὐράνιον· καθαίρει πολεμίων ἀοράτων ἐπαναστάσεις· ἀρχαῖς καὶ ἐξουσίαις πολέμει, ἐξελαύνων αὐτὰς πρῶτον μὲν τῆς ἑαυτοῦ ψυχῆς, ἵνα μηδένα κλῆρον ἔχωσιν ἐν σοὶ, ἔπειτα τῶν σοι προσφευγόντων καὶ σε προβαλλομένων ἡγεμόνα καὶ πρόμαχον τῶν διὰ τοῦ σοῦ λόγου φυλαττομένων. Καθαίρει λογισμοὺς ἐπανισταμένους τῇ πίστει τοῦ Χριστοῦ· πολέμει διὰ τοῦ λόγου τῆς εὐσεβείας πρὸς τὸν ἀσεβῆ καὶ πονηρὸν λογισμόν. „Λογισμοὺς γὰρ φησὶ, καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.“ Καὶ μάλιστα μὲν θάρσει τῇ τοῦ μεγάλου βασιλέως χειρὶ, φοβοῦσῃ καὶ τροπουμένῃ τοὺς ὑπεναντίους, ἐπειδὰν μόνον φανῇ· ἐπὰν δὲ καὶ διὰ κινδύνων ἀγαθὸν θέλῃ σε γενέσθαι, καὶ τὸ στράτευμα τὸ ἑαυτοῦ θελήσῃ συμβαλεῖν τῷ στρατεύματι τῷ ὑπεναντίῳ, ἐνταῦθα σὺ πρὸς πάντα πόνον ἀήττητος ἔσο τῇ παρασκευῇ, καὶ πρὸς κίνδυνον ἄτρεπτος τῇ ψυχῇ, καὶ γῆν ἐκ γῆς μετανίστασο προθύμως, καὶ θάλατταν ἐκ θαλάττης. Ὅταν γὰρ διώκωσιν ἡμᾶς, φυσί, φεύγετε ἀπὸ πόλεως εἰς πόλιν. Καὶ εἰς δικαστήριον ὅταν δέῃ καλεῖσθαι, καὶ πρὸς ἄρχοντας παραστῆναι, καὶ δήμων ἐπαναστάσεις ὑπενεγκεῖν, καὶ δήμιον βλέμμα φοβερὸν ἰδεῖν, καὶ σκληρὰν ἀκοῦσαι φωνῆν, καὶ κολασθηρίων ὄψιν ὑπομεῖναι χαλεπὴν, καὶ πειραθῆναι βασάνων, καὶ μέχρι θανάτου διαγωνίσασθαι, μὴ ἀπειθήσῃς πρὸς ἅπαντα ταῦτα, πρὸ ὀφθαλμῶν ἔχων τὸν ὑπὲρ σοῦ ἐν τούτοις γενόμενον Χριστὸν, εἰδὼς, ὅτι διὰ τὸν Χριστὸν ἐν τούτοις γενέσθαι σε δεῖ, καὶ νικήσεις ἐν τούτοις. Νικητῇ γὰρ ἀκολουθεῖς βασιλεῖ, τῆς νίκης αὐτοῦ βουλομένῳ σε γενέσθαι κοινωνόν. Οὐδὲ γὰρ ἀποθανῶν ἡττήθης, ἀλλὰ τότε δὴ καὶ τελεώτατα ἐνίκησας, ἄχρι τέλους ἄτρεπτον φυλάξας τὴν ἀλήθειαν σεαυτῷ, καὶ τὴν ὑπὲρ τῆς ἀληθείας παῤῥησίαν ἀμετακίνητον σχών.

3. Καὶ ἀπὸ τοῦ θανάτου μὲν πρὸς αἰώνιον ὁδεύσεις ζωὴν, ἀπὸ δὲ τῆς παρὰ ἀνθρώποις ἀτιμίας ἐπὶ τὴν δόξαν τὴν παρὰ Θεοῦ, καὶ

ἀπὸ τῶν ἐν κόσμῳ θλίψεων καὶ κολάσεων ἐπὶ τὰς αἰωνίους ἀναπαύσεις τὰς σὺν ἀγγέλοις. Γῆ σε πολίτην οὐκ ἀπεδέξατο, ἀλλ' οὐρανὸς ὑποδέξαται, κόσμος ἐδίωξεν, ἀλλὰ βαστάσουσιν ἄγγελοι παραστῆσαί σε Χριστῷ· καὶ φίλος κληθήσῃ, καὶ τὸν ποθεινότατον ἔπαινον ἀκούσεις· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, στρατιῶτα γενναῖε, καὶ μιμητὰ τοῦ Δεσπότου, βασιλέως ἀκόλουθε, ἐγὼ σε τοῖς ἐμοῖς ἀμείψομαι δώροις· ἐγὼ τῶν σῶν ἀκούσομαι λόγων, ἐπεὶ καὶ σὺ τῶν ἐμῶν. Αἰτήσεις ἀδελφῶν σωτηρίαν καταπονουμένων, καὶ τοῖς κοινωνοῖς τῆς πίστεως καὶ τοῖς μύσταις τῆς ἱερᾶς ἀγάπης λήψῃ παρὰ τοῦ βασιλέως τὴν τῶν ἀγαθῶν μετουσίαν· χορεύσεις δὲ τὰς αἰωνίους χορείας, καὶ μεταξὺ τῶν ἀγγέλων στεφανηφορήσεις, βασιλεύων κτίσεως ὑπὸ τῷ βασιλεῖ, καὶ συνδιαιωνίζων μακαρίως τῷ τῆς μακαριότητος χορῷ. Εἰ δὲ καὶ ἐπὶ κόσμου σε καταλεῖψαι ἔτι μετὰ τοὺς ἀγῶνας θέλοι, ἵνα καὶ πλείονας ἀγῶνας καὶ ποικίλους διαγωνίσῃ, καὶ σώσῃς ἐκ τῶν ἀοράτων καὶ ὁράτων πολέμων πολλοὺς, μεγάλη σου καὶ κατὰ γῆν ἡ δόξα, καὶ παρὰ τοῖς φίλοις ἔσῃ τίμιος, προστάτην σε καὶ βοηθὸν, καὶ πρεσβευτὴν ἀγαθὸν εὑρηκόσιν. Οὗτοι θρέψουσιν ὡς στρατιώτην ἀγαθόν· οὗτοι τιμήσουσιν ὡς ἀριστέα γενναῖον· οὗτοι δεξιώσονται καὶ μετὰ χαρᾶς ὑποδέξονται ὡς ἄγγελος Θέου δεχόμενοι, καθὰ Παῦλός φησιν, ὡς Χριστὸν Ἰησοῦν. Ταῦτα καὶ τὰ τοιαῦτα τῆς θείας στρατείας τὰ παραδείγματα. Διαλέγεται δὲ οὐκ ἀνδράσι μόνοις ὁ λόγος. Στρατεύεται γὰρ καὶ τὸ θῆλυ παρὰ Χριστῷ, τῇ ψυχικῇ ἀνδρείᾳ καταλεγόμενον εἰς τὴν στρατείαν, καὶ οὐ διὰ τὴν σοῦ σώματος ἀσθένιαν ἀποδοκιμαζόμενον, καὶ πολλαὶ γυναῖκες ἠρίστευσαν ἀνδρῶν οὐκ ἔλαττον. Εἰσὶ δὲ αἳ καὶ μειζόνως εὐδοκίμησαν. Ἐκ τούτων εἰσὶν αἳ τῆς παρθενίας πληροῦσαι τὸν χρόνον. Ἐκ τούτων αἳ τοῖς ἀγῶσι τῆς ὁμολογίας καὶ ταῖς νίκαις τῆς μαρτυρίας ἐκπλάμπουσιν. Ἠκολούθουν δὲ καὶ αὐτῷ τῷ Κυρίῳ κατὰ τὴν παρουσίαν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, καὶ δι' ἀμφοτέρων ἡ λειτουργία τοῦ Σωτῆρος ἐπετελεῖτο. Τοιούτων καὶ οὕτως ἐνδόξων ἀποκειμένων αὐτῆς καὶ πατέρες παίδων, καὶ μητέρας θυγατέρων. Προσαγέτωσαν τὰ αὐτῶν γεννήματα, χαίροντες ἐπὶ ταῖς αἰωνίοις ἐλπίσιν, ὧν οἱ παῖδες αὐτοῖς μεθέξουσι, προστάτας ἔχειν παρὰ Χριστῷ καὶ πρεσβευτὰς ἀγαθοὺς ἐπιθυμοῦντες. Καὶ μὴ μικρόψυχοι περὶ τοὺς παῖδας γενώμεθα, μηδὲ φοβηθῶμεν εἰ πονήσουσιν, ἀλλ' εὐφρανθῶμεν, ὅτι δοξασθήσονται. Παραστήσωμεν τῷ Κυρίῳ τὰ δοθέντα πὰρ' αὐτοῦ, ἵνα καὶ τῆς εὐδοκιμήσεως τῶν παίδων γενώμεθα κοινωνοὶ, συμπροσάγοντες ἑαυτοὺς καὶ συμπαριστῶντες. Τοῖς δὴ οὕτω προθυμουμένοις καὶ οὕτως ἀγωνιζομένοις καλῶς ἂν τις ἐκ τοῦ Ψαλμῳδοῦ λέγοι· „Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.“ Καὶ κατὰ τὸν Μωσέα, εὔξεται περὶ αὐτῶν· „Εὐλόγει, Κύριε, τὰ ἔργα αὐτῶν· κάταξον ὀφρὺν ἀνθεστηκότων αὐτοῖς.“ Ἀνδρίζεσθε ὡς γενναῖοι, δράμετε γενναίως τὸν δρόμον ἐπὶ τοῖς αἰωνίοις στεφάνοις, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοῦ αὐτοῦ Βασιλίου Ἀσκητικαὶ Διατάξεις πρὸς τοὺς ἐν κοινοβίῳ καὶ καταμόνας ἀσκοῦντας.[1]

Κεφάλαιον 1: *Περὶ τοῦ δεῖν τὴν εὐχὴν προτιθέναι πάντων.*

Κεφ. 2: *Περὶ τῆς τῶν λογισμῶν ἐπιστάσεως, καὶ ὅτι οὐ κακὸν τὸ σῶμα, ὥς τινες ὑπειλήφασιν.*

Κεφ. 3: *Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχείας ἀφυλάκτως ποιεῖσθαι.*

Κεφ. 4: *Ὅτι δεῖ τῇ δυνάμει τοῦ σώματος μετρεῖν τὴν ἐγκράτειαν· καὶ ὅτι καλὸν καὶ ἔννομον ἡ τοῦ σώματος ἐργασία.*

Κεφ. 5: *Ὅτι προσήκει τὸν ἀσκητὴν ἔργα ἐπιτηδεύειν τὰ πρέποντα.*

Κεφ. 6: *Ὅτι οὐ χρὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν τὸν ἀσκητήν.*

Κεφ. 7: *Ὅτι οὐ χρὴ συχνὰς καὶ ἀβασανίστους ποιεῖσθαι τὰς προόδους.*

Κεφ. 8: *Ὅτι οὐ χρὴ τοῖς ἀστατοῦσι τῶν ἀσκητῶν μεταδιδόναι θάρσους καὶ παῤῥησίας, ἀλλὰ καὶ τούτους φυλάττεσθαι.*

Κεφ. 9: *Ὅτι κλήρου ἢ προστασίας ἀδελφῶν οὐδαμῶς ἐφίεσθαι προσήκει τὸν ἀσκητήν.*

Κεφ. 10: *Ὅτι οὐ χρὴ πρὸς κενοδοξίαν βλέποντα ζηλοῦν τὰ καλά.*

Κεφ. 11: *Περὶ εὐκαιρίας λόγων.*

Κεφ. 12: *Ὅτι οὐ χρὴ πρὸς εὐτραπελίαν βλέπειν τὸν ἀσκητήν.*

Κεφ. 13: *Περὶ πραότητος, καὶ τίνα τρόπον ἀγάπη συνίσταται.*

Κεφ. 14: *Περὶ φρονήσεως.*

Κεφ. 15: *Περὶ πίστεως καὶ ἐλπίδος.*

Κεφ. 16: *Περὶ ταπεινοφροσύνης.*

Κεφ. 17: *Κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ ἐν ψυχῇ συνίστανται.*

Κεφ. 18: *Πρὸς τοὺς ἐν κοινοβίῳ κανονικούς.*

Κεφ. 19: *Ὅτι χρὴ τὸν ἀσκητὴν βεβαίᾳ κρίσει προσιέναι τῇ ἀσκήσει, καὶ περὶ ὑπακοῆς.*

Κεφ. 20: *Ὅτι οὐ χρὴ τὰς πρὸς τοὺς βιωτικοὺς συγγενεῖς μεταδιώκειν ὁμιλίας, ἢ τὰ ἐκείνων φροντίζειν.*

Κεφ. 21: *Ὅτι οὐ δεῖ τῆς πνευματικῆς ἀδελφότητος ἀποκόπτεσθαι.*

Κεφ. 22: *Περὶ ὑπακοῆς πληρέστερον.*

Κεφ. 23: *Ὅτι καὶ τὰ εὐτελῆ τῶν ἔργων μετὰ πολλῆς προθυμίας αἱρεῖσθαι προσήκει τὸν ἀσκητήν.*

Κεφ. 24: *Ὅτι οὐ χρὴ τιμὰς καὶ πρεσβείας ἐπιζητεῖν τὸν ἀσκητήν.*

Κεφ. 25: *Περὶ τῆς κατὰ τὰ βρώματα ἀτυφίας καὶ ἁπλότητος.*

---

[1]) Von diesen *Διατάξεις* haben wir nur die Überschriften der einzelnen Kapitel aufgezählt, da aus denselben der Inhalt dieser letzteren genügend erhellt.

Κεφ. 26: *Ὅτι τὸν πρὸς τὸ τέλειον βλέποντα οὐδὲν ἡ πρόοδος παραβλάψαι δυνήσεται.*

Κεφ. 27: *Ὅτι οὐ χρὴ ἰδίας ἀσχολίας ἔχειν τὸν ἀσκητήν.*

Κεφ. 28: *Ὅτι χρὴ τὸν προεστῶτα πατρικῇ εὐνοίᾳ τὰ κατὰ τοὺς ὑπηκόους οἰκονομεῖν.*

Κεφ. 29: *Ὅτι οὐ χρὴ ἑταιρίας δύο ἢ τριῶν ἀδελφῶν ἐν συστήματι ἀσκητικῷ γενέσθαι.*

Κεφ. 30: *Ὅτι οὐ χρὴ ἐνδυμάτων ἢ ὑποδυμάτων ἐκλογὴν ἐπιζητεῖν τὸν ἀσκητήν.*

Κεφ. 31: *Ὅτι δεῖ τὸν προεστῶτα ἀνάλογα τῆς τοῦ σώματος δυνάμεως ὁρίζειν τὰ ἐπιτεταγμένα· καὶ περὶ τῶν ἀποκρυβόντων τὴν ἑαυτῶν δύναμιν.*

Κεφ. 32: *Ὅτι οὐ δεῖ τοὺς ἀδελφοὺς λυπεῖσθαι, τῶν ἀσθενεστέρων φειδοῦς ἀξιουμένων.*

Κεφ. 33: *Ὅτι οὐ χρὴ τοὺς προεστῶτας τοῖς ἀποστατοῦσι τοῦ οἰκίου ἀθροίσματος ἀσκηταῖς παῤῥησίας μεταδιδόναι, ἢ τούτους εἰς κοινωνίαν βίου δέχεσθαι.*

Κεφ. 34: *Ὅτι οὐ χρὴ τὸν ἐν συστήματι πολιτευόμενον ἀσκητὴν ἰδίᾳ τι κεκτῆσθαι τῶν ὑλικῶν.*

Τοῦ αὐτοῦ Βασιλίου

Ἐπιτίμια εἰς τοὺς ἁμαρτήσαντας ἀσκητάς.

1. *Εἴ τις ὑγιαίνων τῷ σώματι ἀμελοίη τῶν εὐχῶν, ἢ τῆς ἐκμαθήσεως τῶν ψαλμῶν, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, οὗτος ἀφοριζέσθω, ἢ νηστευέτω ἑβδομάδα μίαν.*

2. *Εἴ τις ἐλέγχοιτο ἐπὶ πταίσματι μετὰ ἀγάπης, καὶ μὴ καταδέχοιτο τὸν ἔλεγχον, μετὰ πάσης εὐλαβείας παρακαλῶν, καὶ αἰτῶν συγγνώμην ἐφ' οἷς ἐπλημμέλησε, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.*

3. *Εἴ τις συγγνῷ τινι ἁμάρτημα, καὶ μὴ διορθώσεται αὐτὸν, ἢ ἐλέγξει ἐν εἰρήνῃ μετὰ ἀγάπης τῆς ἐν Χριστῷ, ἀλλ' ἐν λύπῃ, ὡς θριαμβεύων μᾶλλον τὸν ἀδελφὸν, ἢ θεραπεύων τὸν αἴτιον τῆς ἁμαρτίας, καὶ αὐτὸς συναφοριζέσθω τῷ ἐλεγχομένῳ, ἐπὶ τῷ ἁμαρτήματι ἑβδομάδας δύο, ἐπειδὴ ὡς ἐχθρὸς, καὶ οὐκ ὡς ἀδελφὸς ἤλεγξεν.*

4. *Εἴ τις ὑβρίζει ἢ ἀντιλέγει, ἐπιτασσόμενος παρὰ ἀδελφοῦ τὰ κατὰ δύναμιν, καὶ μὴ ὑπακούει μετὰ πάσης τῆς ἐν Χριστῷ χαρᾶς, ὡς πληροφορῶν αὐτὸν, ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.*

5. *Εἴ τις ἀργολογοίη ἢ εὐτραπελεύοιτο, μὴ φυλάσσων μετὰ φόβου καὶ τρόμου τὴν διδασκαλίαν τοῦ μακαρίου Ἀποστόλου καὶ τῶν Εὐαγγελίων, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.*

6. *Εἴ τις πλὴν τοῦ ναὶ καὶ τοῦ οὔ, ἄλλον ὄμνυει ὅρκον, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.*

7. *Εἴ τις συγγνῷ τινι ἀδελφῷ πταίσαντι καὶ μετὰ τὸ παρελθεῖν ὀνειδίζοι, ὡς παραδειγματίζων, καὶ αὐτὸς ὡς ἀσυμπαθὴς καὶ ἐπιχαιρέκακος ἀφοριζέσθω ἑβδομάδα μίαν.*

8. *Εἴ τις συγγνῷ τινι ἁμάρτημα, καὶ ὁρᾷ αὐτὸν ἀδιαφόρως φέροντα, καὶ μὴ μετὰ συντριμμοῦ καρδίας καὶ πολλῶν δακρύων ἐξιλεούμενον τὸν Κύριον, παρακαλείτω καὶ ὑπομιμνησκέτω αὐτὸν μετανοεῖν, καὶ ἐπιδείκνυσθαι ἔργα μετανοίας. Εἰ δὲ τούτων γινομένων ἀμελοίη τῆς ἑαυτοῦ σωτηρίας, χωριζέσθω ὁ τοιοῦτος τῆς συνοδίας παντελῶς. Μικρὰ γὰρ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, κατὰ τὸν εἰπόντα ἅγιον.*

9. *Εἴ τις προέρχοιτο παρὰ τὰς ἀναγκαίας χρείας, περιάγων ἀκαίρως, ἀφοριζέσθω ὁ τοιοῦτος, ἵνα ἡσυχάζωσιν ἐν οἴκῳ οἱ πόδες αὐτοῦ, καθῶς γέγραπται.*

10. *Εἴ τις ὀργισθῇ εἰκῇ, καὶ μὴ παραχρῆμα παρακαλέσῃ τὸν ἀδελφὸν ὃν ἐλύπησεν, ὅπως ἀφῇ αὐτῷ τὴν ἁμαρτίαν ἣν ἥμαρτεν εἰς αὐτὸν, ἀφοριζέσθω καὶ αὐτὸς ἑβδομάδα μίαν.*

11. *Εἴ τις ὑβρισθείη παρὰ ἀδελφοῦ, καὶ παρακληθεὶς ὑπὸ τῆς συνοδίας, μὴ συγχωρήσῃ τὸ ἁμάρτημα, μνημονεύσας τοῦ λέγοντος. Ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο· καὶ αὐτὸς ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.*

12. *Εἴ τις ἔξελθοι τοῦ μοναστηρίου, μὴ λαβὼν εὐλογίαν, ἢ ἀπολυθεὶς ὑπὸ τοῦ ἀρχιμανδρίτου μετὰ εὐχῆς, ἔστω ἀκοινώνητος.*

13. *Εἴ τις κέκτηταί τι ἐν τῷ μοναστηρίῳ, ἢ ἔξω τοῦ μοναστηρίου, ἔστω ἀκοινώνητος.*

14. *Εἴ τις συνδυάζει μετά τινος ἐπὶ τὸ ἀναχωρῆσαι τοῦ μοναστηρίου ἐφ' ἑτέρῳ τινὶ κακῷ, ἔστω ἀκοινώνητος.*

15. *Εἴ τις τῶν ἀρχικουνιτῶν εὑρίσκει τινὰ ταράσσοντα ἢ διαλεγόμενον ἐν τῷ κουνίῳ, καὶ μὴ ἐκβάλλει αὐτὸν ἔξω τοῦ χοροῦ, αὐτὸς γενέσθω ἀπευλογίας.*

16. *Εἴ τις γένηται ἀπευλογίας, ἕνεκεν παιδείας, καὶ καταφρονήσας μὴ ἀπολογήσηται, καὶ λάβῃ εὐλογίαν, ἀφοριζέσθω.*

17. *Εἴ τις παρατιθεῖ τι ἐν ταῖς τραπέζαις ἢ ἑαυτῷ, ἢ ἄλλῳ, μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.*

18. *Εἴ τις ἄνευ μαφορίου ποιεῖ ἔργον ἐν οἱῳδήποτε τόπῳ, γενέσθω ἀπευλογίας.*

19. *Εἴ τις συντυγχάνει τῷ ἐρχομένῳ ξένῳ ἢ ἰδίῳ, μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρίτου, ἐκτὸς τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.*

20. *Εἴ τις ἄρῃ ἀπὸ ἀδελφοῦ τι καὶ ἀποκρύψει, γενέσθω ἀπευλογίας.*

21. *Εἴ τις, μὴ λαβὼν εὐλογίαν, ἐσθίει ἄνευ παιδείας ὤν, ἀφοριζέσθω.*

22. *Εἴ τις οὐχ αἱρῇ εὐλογίαν εἰς τὸν ὄρδινον αὐτοῦ, γενέσθω ἀπευλογίας· εἰ δὲ χρείας ἕνεκεν οὐκ ἔφθασεν, ἀπολογησάσθω.*

23. *Εἴ τις εὑρεθῇ τὴν νύκτα ἰδιάζων μετά τινος, ἢ τὸν τόπον ἀλάσσων, ὅπου κοιμᾶτε, παρὰ γνώμην τῶν ἐντετυπωμένων, ἀφοριζέσθω.*

24. *Εἴ τις ἐμβάλλει ἑαυτὸν εἰς ἄλλο ἔργον, μὴ ἐπιτραπεὶς, γενέσθω ἀπευλογίας.*

25. *Εἴ τις ἀλλάσσῃ τι μετά τινος, ἢ χαρίζεται παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.*

26. *Εἴ τις ἐσπέρας μετὰ τὸ Πάτερ ἡμῶν εὐρεθῇ ὁμιλῶν, ἀφοριζέσθω.*

27. *Εἴ τις τῶν ὑγιανόντων κοιμᾶτε ἔξω τοῦ εὐκτηρίου, ἔστω ἀφορισμένος.*

28. *Εἴ τις ἐν τραπέζῃ ἐσθίων φλυαρεῖ, ἐγειρέσθω εἰς προσευχήν.*

29. *Εἴ τις γένηται ἀπευλογίας, καὶ λυπηθεὶς ἀντιπαιδεύσει τὸν παιδεύσοντα, ἢ ἀντιλέγων μὴ καταδέξητε, ἀφοριζέσθω. Εἴ δὲ λέγοι ἀδίκως παιδεύεσθαι, γνωριζέσθω τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, καὶ τὸ ὑπ' αὐτοῦ ὁριζόμενον καταδεξέσθω.*

30. *Εἴ τις ἔχοι πρός τινα λύπην, καὶ καταφρονῶν μὴ διαλλάσσεται πρὸ τῆς ὑπηρεσίας, ἢ λέγει τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, ἢ τῷ ἀρχικουνίτῃ, ἀφοριζέσθω.*

31. *Εἴ τις ἐν ἡμέρᾳ προσφορᾶς κωλύει ἑαυτὸν τῆς κοινωνίας παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.*

32. *Εἴ τις ἀπὸ Γραφῶν φιλονείκως διαλέγεται, γενέσθω ἀπευλογίας· εἰ δὲ παραγγελθεὶς ἐπιμένει, ὡς ἀπειθὴς καὶ ἀνυπότακτος ἀφοριζέσθω.*

33. *Εἴ τις πλύνει ἢ ἑτέρου ἢ ἑαυτοῦ ἱμάτιον παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.*

34. *Εἴ τις ἀπολιμπάνεται τῶν τραπεζῶν, μὴ εἰρηκῶς τὴν αἰτίαν, μενέτω ἄσιτος.*

35. *Εἴ τις ἀπολέσει, καὶ, μὴ εὑρὼν αὐτό, μὴ ἀναγγείλῃ τῷ ἀρχιμανδρίτῃ, γενέσθω ἀπευλογίας.*

36. *Ἐὰν εὑρεθῶσι δύο ἐπὶ τὸ αὐτὸ συνεχῶς πλησιάζοντες ἀλλήλοις, καὶ παραγγελθέντες μὴ χωρίζωνται, ἔσωνται ἀφορισμένοι, ἕως διορθώσονται.*

37. *Εἴ τις ἐσπέρας μὴ φθάσῃ εἰς τὸ Πάτερ ἡμῶν, ἐκτός τινος αἰτίας, στηκέτω εἰς προσευχὴν, ἕως ἂν πάντες κοιμηθῶσιν.*

38. *Εἴ τις ἐν τῷ καιρῷ τῆς κοινωνίας λύπην ἔχων πρὸς τὸν ἀδελφὸν, μὴ δῷ αὐτῷ εἰρήνην, ἔστω ἀφορισμένος.*

39. *Εἴ τις μεθιστᾷ τὸν ἀδελφὸν αὐτοῦ ἀπὸ τοῦ ὀρδίνου τῆς ὑπηρεσίας, ἐκτὸς τῶν ἐγκεχειρισμένων τὴν φροντίδα, γενέσθω ἀπευλογίας.*

40. *Εἴ τις γνῷ ἀδελφὸν λάθρα ἀναχωρῆσαι θέλοντα τοῦ μοναστηρίου, καὶ μὴ μνήσῃ τῷ ἀρχιμανδρίτῃ, ἢ τοῖς προεστῶσιν, ἀφοριζέσθω.*

41. *Εἴ τις ἐγείρετε τῆς τραπέζης παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, στηκέτω εἰς προσευχὴν ἕως τοῦ λυχνικοῦ.*

42. *Εἴ τις μετὰ τὴν κοινωνίαν ἐξέρχεται τῆς ὑπηρεσίας, ἕως πάντες λάβωσιν εὐλογίας, ἐκτὸς ἀνθρωπίνης ἀνάγκης, καθ' ἑαυτὸν ἐσθιέτω.*

43. *Εἴ τις ποιεῖ τινα ἀπευλογίαν γενέσθαι ἀκαίρως, αὐτὸς γενέσθω ἀπευλογίας.*

44. *Εἴ τις εὑρεθῇ λαλῶν εἰς τὰ κέλλια, ἐκτὸς τῶν ἐνοικούντων αὐτὰ, ἢ τῶν ἡσυχαστῶν, γενέσθω ἀπευλογίας.*

45. *Εἴ τις εὐτράπελα λαλῶν ἢ ἀργολογῶν, γενέσθω ἀπευλογίας.*

46. *Εἴ τις εὑρεθῇ καταλαλῶν τινος, ἢ ἀκούων καταλαλούντων τινῶν, καὶ μὴ ἐπιτιμῶν αὐτῷ, ἢ μηνύων τῷ ἀρχιμανδρίτῃ, σὺν αὐτῷ ἀφοριζέσθω.*

47. *Εἴ τις εὑρεθῇ εἰς τὸ κῆπον λαλῶν μετά τινος, ἢ δευτερῶν ψαλμοὺς, ἢ κοιμώμενος, ἐκτὸς τῶν ἐργαζομένων, ἢ τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.*

48. *Εἴ τις ἔξελθοι εἰς τὸ ἀστιαρίον μὴ ἐπιτραπεὶς ἐκ τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας· εἰ δὲ εἰς τὸ φρούριον ἔξελθοι, ἀφοριζέσθω.*

49. *Εἴ τις διδοῖ ἔξω τι, ἢ λαμβάνει παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, ἀφοριζέσθω.*

50. *Εἴ τις συντυχὼν ὁμιλήσει τινὶ τῶν ὑποστρεφόντων ξένων, πλὴν τοῦ δοῦναι τὴν εἰρήνην, ἐκτὸς τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.*

51. *Εἴ τις ὀχλεῖ τῷ ἀρχιμανδρίτῃ προφάσει τῆς ἐφημερίας, πλὴν τοῦ κελλαρίου, ἢ τοῦ ἀρχιεβδομαρίου, γενέσθω ἀπευλογίας· ἵνα ἑκάστης ἐφημερίας ὁ ἀρχιεβδομάριος καὶ ὁ φροντιστὴς περὶ πάσης χρείας φροντίζωσιν ἐπιμελῶς, ἵνα μὴ τῷ κρίματι τῆς ἀμελείας συμπέσωσιν.*

52. *Εἴ τις ἀκαίρως ἔρχεται εἰς τὸ ἐψητήριον ἢ εἰς τὸ κελλάριον ἐκτὸς τῶν ἐντετυπωμένων καὶ τῶν φροντιζόντων τῆς εὐταξίας, γενέσθω ἀπευλογίας.*

53. *Εἴ τις ἐξυπνισθεὶς παρά τινος λυπηθῇ ἐν τῷ καιρῷ τῆς ὑπηρεσίας ἢ τοῦ ἀναγνώσματος, ἀφοριζέσθω.*

54. *Εἴ τις περισσῶς μετὰ τὴν ἐπίσκεψιν τὴν μετὰ τὰ ὀρθρινὰ εἰσέρχεται εἰς τὸ νοσοκομεῖον, ἐκτὸς τῶν ἡσυχαστῶν καὶ τὴν φροντίδα ἐγκεχειρισμένων, γενέσθω ἀπευλογίας.*

55. *Εἴ τις παρὰ γνώμην τοῦ νοσοκόμου εἰσελθῶν, ἀναπαύει εἰς τὸ νοσοκομεῖον, γενέσθω ἀπευλογίας· εἰ δὲ θλίβεται ἢ ἀῤῥωστεῖ, δηλούτω πρῶτον τῷ νοσοκόμῳ.*

56. *Εἴ τις τῶν κακουμένων ἀλλάσσει τόπον, ὅπου κοιμᾶται, παρὰ γνώμην τοῦ νοσοκόμου, ἀφοριζέσθω.*

57. *Εἴ τις τῶν τετυπωμένων ὑπηρετῶν ἐν τῷ νοσοκομείῳ παρατιθεῖ τι ἀδελφῷ παρὰ γνώμην τοῦ νοσοκόμου, γενέσθω ἀπευλογίας.*

58. *Εἴ τις τῶν ἀῤῥώστων εὑρεθῇ καταλλάσσων παρὰ γνώμην τοῦ νοσοκόμου, ἢ τινος τῶν ὑπηρετούντων, γενέσθω ἀπευλογίας.*

59. *Εἴ τις εὑρεθῇ, ἐκτὸς τοῦ ἀρχιμανδρίτου, γράφων τινὶ ἢ δεχόμενος γράμματα, ἔστω ἀφορισμένος.*

60. *Εἴ τις πέμπει τινὶ εὐλογίαν, ἢ δέχεται τί ποτε, παρεκτὸς τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.*

Ἐπιτίμια εἰς τὰς κανονικάς.

1. *Ἡ ὀμόσασα τὸν τυχόντα ὅρκον, ἀφοριζέσθω ἑβδομάδας δύο.*

2. *Ἡ βλασφημήσασά τινα τῶν πρεσβυτίδων τῶν πεπιστευμένων διατυποῦν τὰ ἐν τῷ ἀσκητηρίῳ ἀφοριζέσθω ἑβδομάδα μίαν.*

3. Ἡ κατὰ ἀπούσης ἀδελφῆς κρυφῇ λέγουσά τι σκοπῷ τοῦ διαβάλλειν αὐτὴν, ἀφοριζέσθω ἑβδομάδα μίαν.

4. Ἡ ὑβρίσασά τινα ὕβριν τὴν τυχοῦσαν ἀφοριζέσθω ἑβδομάδα μίαν.

5. Ἥτις εὑρίσκεται ψιθυρίζουσα ἄλλῃ ἐκτὸς τῶν πρεσβυτίδων τῶν πεπιστευμένων διακονεῖν, ἀφοριζέσθω ἑβδομάδα μίαν.

6. Ἥτις χωρὶς ἀναγκαίας χρείας ἄκαιρον ὁμιλίαν προβαλλομένη ἀργολογεῖ, ἀφοριζέσθω ἑβδομάδα μίαν.

7. Ἥτις εὐτράπελα φθέγγεται, ἢ γέλωτα ἀπρεπῆ, ἀφοριζέσθω ἑβδομάδα μίαν.

8. Ἥτις ἐν τῷ ἔργῳ τῆς διακονίας οὖσα, καὶ ἀναγκαίαν χρείαν ἔχουσα, ὁμιλήσαι τῇ πλησίον ἢ μετὰ κραυγῆς ἢ θρασυλογίας, ἀφοριζέσθω ἑβδομάδα μίαν.

9. Ἥτις ἀντέχεται τῆς ἐπικαταγιγνωσκομένης ἐπὶ πταίσματι παρὰ τῶν μετὰ δοκιμασίας οἰκονομεῖν καὶ διατυποῦν πεπιστευμένων, συναφοριζέσθω ἐκείνῃ ἣ ἀντέχεται ἑβδομάδας δύο.

10. Ἥτις τινὶ τῶν ἔξωθεν ἐπεισεχομένων ὁμιλήσει, πρὶν ἐπιτραπῇ παρὰ τῆς τὴν φροντίδα ἐμπεπιστευμένης ἐν πάσῃ ἐξουσίᾳ εὐταξίας, ἀφοριζέσθω ἑβδομάδα μίαν.

11. Ἥτις εὑρίσκοιτο γογγίζουσα ἐν τῇ στενοχορίᾳ τῶν πρὸς τὴν χρείαν, ἢ ἐν τῷ καμάτῳ τῶν ἔργων, ἀφοριζέσθω ἑβδομάδα μίαν.

12. Ἡ ἀντιπίπτουσα τῷ προστάγματι τῶν πεπιστευμένων τὴν φροντίδα ἀφοριζέσθω ἑβδομάδα μίαν.

13. Ἡ καταφρονητικῶς, μετὰ δῆθεν ἡσυχίας μὴ πληροῦσα τὸ ἐπίταγμα ἀφοριζέσθω ἑβδομάδα μίαν.

14. Ἡ θέλουσα καλλωπίζεσθαι, μετὰ μίαν καὶ δευτέραν νουθεσίαν, ἐπὶ τοῦ προεστῶτος ἐλεγχέσθω.

15. Ἡ ἄνευ γνώμης τῶν πεπιστευμένων τὴν φροντίδα εἰς μητέρα ἢ εἰς ἀδελφὴν ἀπελθοῦσα, ἀφοριζέσθω ἑβδομάδα μίαν.

16. Ἡ ἐννεύσασα ὀφθαλμοὺς σχήματι πονηρῷ λυποῦσα τῇ πλησίον, ἀφοριζέσθω ἑβδομάδα μίαν.

17. Ἡ μετὰ τὴν ἀπόλυσιν τῶν συνάξεων ὁμιλοῦσά τινι τῶν ἔξω γυναικῶν ἀφοριζέσθω ἑβδομάδας δύο.

18. Ἡ ἀπ᾽ ἔργου εἰς ἕτερον ἔργον μεταβαίνουσα χωρὶς ἐπιταγῆς τῶν ἐχόντων τὴν φροντίδα ἀφοριζέσθω ἑβδομάδα μίαν.

19. Ἥτις τὸ ἐπιτίμιον ἀποβάλλοιεν, ἢ ἀντιλέγει, ἢ γογγύζει, μὴ γνωρίζουσα τὸ ἑαυτῆς ὄφελος ἐν τῇ διορθώσει, ἀφοριζέσθω ἑβδομάδας δύο.

E. Gebete,
vom Geistlichen gesprochen oder verlesen.

1. Gebet zum Katechumenat.

Ἐπὶ τῷ ὀνόματί σου Κύριε ὁ Θεὸς τῆς ἀληθείας, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Ἁγίου σου Πνεύματος, ἐπιτίθημι τὴν χεῖρα μου ἐπὶ τὸν δοῦλον σου (τόν δε) τὸν καταξιωθέντα φυγεῖν ἐπὶ τὸ ἅγιον ὄνομά σου, καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου διαφυλαχθῆναι. Ἀπόστησον ἀπ᾽ αὐτοῦ τὴν παλαιὰν ἐκείνην πλάνην καὶ ἔμπλησον αὐτὸν τῆς εἰς σὲ πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης· ἵνα γνῶ, ὅτι σὺ μόνος Θεὸς ἀληθινὸς, καὶ ὁ μονογενὴς σοῦ Υἱὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ τὸ Ἅγιον σου Πνεῦμα. Δὸς αὐτῷ ἐν πάσαις ταῖς ἐντολαῖς σου πορευθῆναι, καὶ τὰ ἀρεστὰ σοι φυλάξαι· ὅτι ἐὰν ποιήσῃ αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Γράψον αὐτὸν ἐν βίβλῳ ζωῆς σου· ἕνωσον αὐτὸν τῇ ποίμνῃ τῆς κληρονομίας σου· δοξασθήτω τὸ ὄνομά σου τὸ ἅγιον ἐπ᾽ αὐτῷ, καὶ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος. Ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτὸν ἐν ἐλέει διαπαντὸς, καὶ τὰ ὦτά σου ἀκούειν τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ. Εὔφρανον αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, καὶ ἐν παντὶ τῷ γένει αὐτοῦ· ἵνα ἐξομολογήσηταί σοι, προσκυνῶν καὶ δοξάζων τὸ ὄνομά σου τὸ μέγα, καὶ ὕψιστον, καὶ αἰνέσῃ σε διαπαντὸς πάντας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Σὲ γὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστὶν ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2. Gebet bei der Taufe (nach dem dreimaligen Untertauchen des Täuflings).

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ Ἥλιος τῆς δικαιωσύνης, ὁ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ χαρισάμενος ἡμῖν τοῖς ἀναξίοις τὴν μακαρίαν κάθαρσιν ἐν τῷ Ἁγίῳ ὕδατι, καὶ τὸν θεῖον ἁγιασμὸν ἐν τῷ ζωοποιῷ χρίσματι· ὁ καὶ νῦν εὐδοκήσας ἀναγεννῆσαι τὸν δοῦλόν σου τὸν νεοφώτιστον δι᾽ ὕδατος καὶ Πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ δωρησάμενος. Αὐτὸς Δέσποτα παμβασιλεῦ εὔσπλαγχνε, χάρισε αὐτῷ καὶ τὴν σφραγῖδα τῆς δωρεᾶς τοῦ Ἁγίου, καὶ παντοδυνάμου, καὶ προσκυνητοῦ σου Πνεύματος, καὶ τὴν μετάληψιν τοῦ ἁγίου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Χριστοῦ σου. Φύλαξον αὐτὸν ἐν τῷ σῷ ἁγιασμῷ, βεβαίωσον ἐν τῇ ὀρθοδόξῳ πίστει, ῥῦσαι ἀπὸ τοῦ πονηροῦ, καὶ πάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ, καὶ τῷ σωτηρίῳ σου φόβῳ, ἐν ἁγνείᾳ καὶ

δικαιωσύνῃ τὴν ψυχὴν αὐτοῦ διατήρησον, ἵνα ἐν παντὶ ἔργῳ, καὶ λόγῳ εὐαρεστῶν σοι, υἱὸς, καὶ κληρονόμος τῆς ἐπουρανίου σου γένηται βασιλείας.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ κ. τ. λ.

3. Gebet bei der Verlobung (zum Umtauschen der Ringe).

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ παιδὶ τοῦ Πατριάρχου Ἀβραὰμ συμπορευθεὶς ἐν τῇ Μεσοποταμίᾳ, στελλομένῳ νυμφεύσασθαι τῷ κυρίῳ αὐτοῦ Ἰσαὰκ γυναῖκα, καὶ διὰ μεσιτείας ὑδρεύσεως ἀῤῥαβωνίσασθαι τὴν Ῥεβέκκαν ἀποκαλύψας. Αὐτὸς εὐλόγησον τὸν Ἀῤῥαβῶνα τῶν δούλων σου (τοῦ δε) καὶ (τῆς δε), καὶ στήριξον τὸν παρ' αὐτοῖς λαληθέντα λόγον. Βεβαίωσον αὐτοὺς τῇ παρά σου ἁγίᾳ ἑνότητι· σὺ γὲ ἀπ' ἀρχῆς ἐδημιούργησας ἄρσεν καὶ θῆλυ, καὶ παρά σου ἁρμόζεται ἀνδρὶ γυνὴ εἰς βοήθειαν, καὶ διαδοχὴν τοῦ γένους τῶν ἀνθρώπων. Αὐτὸς οὖν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξαποστείλας τὴν ἀλήθειαν ἐπὶ τὴν κληρονομίαν σου, καὶ τὴν ἐπαγγελίαν σου ἐπὶ τοὺς δούλους σου, τοὺς πατέρας ἡμῶν εἰς κατ' ἐκάστην γενεὰν καὶ γενεὰν τοὺς ἐκλέκτους σου· ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου (τὸν δε), καὶ τὴν δούλην σου (τὴν δε), καὶ στήριξον τὸν Ἀῤῥαβῶνα αὐτῶν ἐν πίστει, καὶ ὁμονοίᾳ, καὶ ἀληθείᾳ, καὶ ἀγάπῃ, σὺ γὰρ Κύριε ὑπέδειξας δίδοσθαι τὸν Ἀῤῥαβῶνα, καὶ στηρίζεσθαι ἐν παντί. Διὰ δακτυλιδίου ἐδόθη ἡ ἐξουσία τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ. διὰ δακτυλιδίου ἐδοξάσθη Δανιὴλ ἐν χώρᾳ Βαβιλῶνος. διὰ δακτυλιδίου ἐφανερώθη ἡ ἀλήθεια τῆς Θάμαρ. διὰ δακτυλιδίου ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος, οἰκτίρμων γέγονεν ἐπὶ τὸν Υἱὸν αὐτοῦ. Δότε, γάρ φησι, δακτυλίδιον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ θύσαντες τὸν μόσχον τὸν σιτευτὸν, φάγοντες εὐφρανθῶμεν. Αὕτη ἡ δεξιά σου Κύριε τὸν Μωϋσὴν ἐστρατοπέδευσεν ἐν ἐρυθρᾷ θαλάσσῃ. διὰ γὰρ τοῦ λόγου σου τοῦ ἀληθινοῦ οἱ Οὐρανοὶ ἐστερεώθησαν, καὶ ἡ γῆ ἐθεμελιώθη, καὶ ἡ δεξιὰ τῶν δούλων σου εὐλογηθήσεται, τῷ λόγῳ σου τῷ κραταιῷ, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ. Αὐτὸς οὖν καὶ νῦν, Δέσποτα, εὐλόγησον τὸ δακτυλοθέσιον τοῦτον εὐλογίαν οὐράνιον, καὶ Ἄγγελος Κυρίου προπορευέσθω ἔμπροσθεν αὐτῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ κ. τ. λ.

4. Gebet zur Trauung.

Ὁ Θεὸς ὁ ἄχραντος, καὶ πάσης κτίσεως δημιουργὸς, ὁ τὴν πλευρὰν τοῦ προπάτορος Ἀδὰμ διὰ τὴν σὴν φιλανθρωπίαν εἰς γυναῖκα μεταμορφώσας, καὶ εὐλογήσας αὐτοὺς, καὶ εἰπὼν, Αὐξάνεσθε καὶ πληθύνεσθαι, καὶ κατακυριεύσατε τῆς γῆς, καὶ ἀμφοτέρους αὐτοὺς ἓν μέλος ἀναδείξας διὰ τῆς συζυγίας· ἕνεκεν γὲ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄν-

θρωπος μὴ χωριζέτω· Ὁ τὸν τεράποντά σου Ἀβραὰμ εὐλογήσας, καὶ διανοίξας τὴν μήτραν Σάῤῥας, καὶ πατέρα πλήθους ἐθνῶν ποιήσας· Ὁ τὸν Ἰσαὰκ τῇ Ῥεβέκκᾳ χαρισάμενος, καὶ τὸν τόκον αὐτῆς εὐλογήσας. Ὁ τὸν Ἰακὼβ τῇ Ῥαχὴλ συνάψας, καὶ ἐξ αὐτοῦ τοὺς δώδεκα Πατριάρχας ἀνάδειξας· Ὁ τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνὲθ συζεύξας, καρπὸν παιδοποιΐας αὐτοῖς τὸν Ἐφραΐμ καὶ τὸν Μανασσῆν χαρισάμενος· Ὁ τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ προσθεξάμενος, καὶ Πρόδρομον τὸν τόκον αὐτοῖς ἀναδείξας. Ὁ ἐκ τῆς ῥίζης Ἰεσσαὶ τὸ κατὰ σάρκα βλαστήσας τὴν Ἀειπάρθενον, καὶ ἐξ αὐτῆς σαρκωθείς, καὶ τεχθεὶς εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων· Ὁ διὰ τὴν ἄφραστόν σου δωρεὰν, καὶ πολλὴν ἀγαθότητα παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, ἵνα φανερώσῃς, ὅτι σὸν θέλημά ἐστιν ἡ ἔννομος συζυγία, καὶ ἡ ἐξ αὐτῆς παιδοποιΐα· Αὐτὸς Δέσποτα Πανάγιε, πρόσδεξε τὴν δέησιν ἡμῶν τῶν ἱκετῶν σου, ὡς ἐκεῖσε καὶ ἐνταῦθα παραγενόμενος τῇ ἀοράτῳ σου ἐπιστασίᾳ, εὐλόγησον τὸν γάμον τοῦτον, καὶ παράσχου τοῖς δούλοις σου τούτοις (τῷ δεῖνι) καὶ (τῇ δεῖνι) ζωὴν εἰρηνικὴν, μακροημέρευσιν, σωφροσύνην, τὴν εἰς ἀλλήλους ἀγάπην, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, σπέρμα μακρόβιον, τὴν ἐπὶ τέκνοις χάριν, τὸν ἀμαράντινον τῆς δόξης στεφάνου. Ἀξίωσον αὐτοὺς ἰδεῖν τέκνα τέκνων, τὴν κοίτην αὐτῶν ἀνεπιβούλευτον διατήρησον. Καὶ δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ Οὐρανοῦ ἄνωθεν, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς. Ἔμπλησον τοὺς οἴκους αὐτῶν σίτου, οἴνου, καὶ ἐλαίου, καὶ πάσης ἀγαθωσύνης, ἵνα μεταδιδῶσι καὶ τοῖς χρείαν ἔχουσι· δωρούμενος ἅμα καὶ τοῖς συμπαροῦσι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα.

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίαν ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ τῷ Πατρὶ, καὶ τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ κ. τ. λ.

5. Ein Gebet bei der Gebetsölung Kranker.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος, ἡ τῆς σοφίας πηγὴ, ἡ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστος ἄβυσσος, καὶ τῆς ἀσπλαγχνίας ἀπεριόριστον πέλαγος· Αὐτὸς φιλάνθρωπε Δέσποτα, ὁ τῶν προαιωνίων καὶ θαυμασίων Θεὸς, ὃν οὐδεὶς ἀνθρώπων ἐννοῶν, ἰσχύει καταλαβέσθαι· ἐπίβλεψον, εἰσάκουσον ἡμῶν τῶν ἀναξίων δούλων σου, καὶ ὅπου ἐπὶ τῷ ὀνόματί σου τῷ μεγάλῳ τὸ Ἔλαιον τοῦτο προσάγομεν, κατάπεμψον τῆς σῆς δωρεᾶς τὰ ἰάματα, καὶ ἄφεσιν ἁμαρτιῶν, καὶ ἴασαι αὐτοὺς ἐν τῷ πλήθει τοῦ ἐλέους σου. Ναὶ Κύριε ἀδιάλλακτε, ὁ μόνος ἐλέημων καὶ φιλάνθρωπος, ὁ μετανοῶν ἐπὶ ταῖς κακιαῖς ἡμῶν, ὁ εἰδὼς, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ὁ διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν ἐνανθρωπήσας Θεὸς ὤν, καὶ πλασθεὶς διὰ τὸ πλάσμα σου· σὺ εἶ ὁ εἰπὼν, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλὰς εἰς μετάνοιαν· σὺ εἶ ὁ τὸ πρόβατον ζητήσας τὸ ἀπολωλός· σὺ εἶ ὁ τὴν ἀπολλυμένην δραχμὴν

ἐπιμελῶς ζητήσας, καὶ εὑρών· σὺ εἶ ὁ εἰπών, ὅτι τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλλω ἔξω· σὺ εἶ ὁ τὴν πόρνην τοὺς τιμίους σου πόδας δάκρυσι βρέξασαν μὴ βδελυξάμενος· σὺ εἶ ὁ εἰπών, ὁσάκις ἂν πέσῃς, ἔγειραι, καὶ σωθήσῃ· σὺ εἶ ὁ εἰπών, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· Αὐτὸς ἔπιδε εὐσπλαγχνε Δέσποτα ἐξ ὕψους ἁγίου σου, συνεπισκιάσας ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, ἐν χάριτι τοῦ Ἁγίου Πνεύματος ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ κατασκύνωσον ἐπὶ τὸν δοῦλόν σου (τὸν δε) τὸν ἐπεγνωκότα τὰ ἴδια πλημμελήματα, καὶ προσιόντασοι πίστει, καὶ προσδεξάμενος τῇ ἰδίᾳ σου φιλανθρωπίᾳ, εἴτι ἐπλημμέλησεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, συγχωρήσας ἐξάλειψον, καὶ κάθαρον αὐτὸν ἀπὸ πάσης ἁμαρτίας, καὶ ἀεὶ συμπαρῶν αὐτῷ, διαφύλαξον τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς αὐτοῦ, πορευόμενον ἐν τοῖς δικαιώμασί σου, πρὸς τὸ μηκέτι ἐπίχαρμα γενέσθαι αὐτὸν τῷ διαβόλῳ· ἵνα καὶ ἐπ' αὐτῷ δοξασθῇ τὸ πανάγιον ὄνομά σου.

Σὺν γὰρ ἐστὶ τὸ ἐλεεῖν, καὶ σῴζειν ἡμᾶς Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ κ. τ. λ.

6. Gebet, welches in Pestkrankheitsfällen verlesen wird.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγὴ, τὸ τῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος, ἡ ἄπειρος ἄβυσσος τῆς μακροθυμίας καὶ τῆς χρηστότητος, ὁ καὶ τὰς κατὰ γενεὰν ἐπαγομένας τῷ γένει τῶν ἀνθρώπων πληγὰς τε καὶ μάστιγας συμφερόντως διὰ φιλανθρωπίας ὑπερβολὴν ἐπιφέρων· ἵνα τὸ πρὸς τὴν ἁμαρτίαν ἡμῶν ἀκρατὲς καὶ ὀξύῤῥοπον καθάπερ τινὶ χαλινῷ τῷ θείῳ σου φόβῳ μὴ ἀτάκτως κινῆται κατὰ τῆς θείας εἰκόνος, μηδὲ εἰς τὸ τῆς ψυχῆς εὐγενὲς κακῶς ἐξυβρίσῃ. Στῆσον δεόμεθα τὴν κατὰ τῆς φύσεως ἡμῶν φερομένην ὀξεῖαν καὶ ἄωρον ταύτην τοῦ θανάτου ῥομφαίαν, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς παρὰ πάντα τὰ ἔθνη ποιήσῃς, μηδὲ τοῖς νοητοῖς καὶ αἰσθητοῖς ἐχθροῖς ἡμῶν παραδώσῃς ἡμᾶς ἐξουθένημα. Ἐξηρήμωνται πόλεις, ἠφανίσθησαν ἀγοραὶ, ἱεραὶ πανηγύρεις, καὶ τελεταὶ, καὶ θείων ὕμνων συστήματα, τῷ πλείονι μέρει κατεσιγάσθησαν· οἰκίαι καλαὶ καὶ μεγάλαι, κατὰ τὴν Γραφὴν, ἠφανίσθησαν, καὶ οὐκ ἔστιν ὁ κατοικῶν ἐν αὐταῖς. Φόβος, καὶ τρόμος ἦλθεν ἐφ' ἡμᾶς, καὶ σκότος ζοφερὸς τοῦ φοβεροῦ τούτου θανάτου πάντας ἐκάλυψεν. Οὐ φθάνομεν Δέσποτα, τοὺς τελευτῶντας ὡς ἔθος θρηνεῖν οἱ προσήκοντες, καὶ τὸ τέλος ἡμῶν φθάνει, καὶ ἄλλους ἐπιζητοῦμεν τοὺς θρηνοῦντας, καὶ κοινῷ τῷ τάφῳ παραδιδόμεθα. Οὐδὲ οἱ ζῶντες καὶ φαινόμενοι, ζῆν ἤδη νομίζομεν, τῷ φόβῳ τῆς φοβερᾶς ταύτης πληγῆς, μικροῦ καὶ ἑαυτοῖς ἀπιστοῦμεν· τὸ τοῦ θανάτου σύμβολον καὶ πληγὴν ἔχειν ἕκαστος ἐν ἑαυτῷ φανταζόμενος, καὶ πρὸ τοῦ θανάτου τῷ δέει τοῦ θανάτου χαλεπῶς ἀποθνήσκοντες. Ταῦτα τῆς κακίας ἡμῶν τὰ ἐπίχειρα· τοῦτο τῶν πονηρῶν καὶ ἀκαθάρτων ἡμῶν πράξεων τὸ κατάλληλον ἀποτέλεσμα. Ταῦτα τῆς ἀσελγείας, καὶ ἀδικίας, καὶ ἐπιορκίας ἡμῶν τὰ δεινὰ κατορθώματα.

Οὗτος ὁ τρικέφαλος ὄφις τοὺς πικροὺς ἡμῖν ὀδόντας ἐμπήξας τὴν φθορὰν καὶ τὸν θάνατον τοῦτον ἐπήγαγε. Διὰ ταῦτα ἔρχεται, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Διὸ οὐδὲ νοητοὺς ὀφθαλμοὺς ἐπάραι, οὐδὲ προσεύξασθαι καθαρῶς, καὶ τὸν ἔλεον ἐφελκύσασθαί σου δυνάμεθα, τῷ βάρει τοῦ συνειδότος καθάπερ τινὶ κλοιῷ σιδηρῷ κατακαμπτόμενος ἕκαστος. Ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, μηδὲ διασκεδάσῃς τὴν διαθήκην σου, μηδὲ τὸν τῆς μετανοίας καὶ ἐπιστροφῆς καιρὸν ζημιωθῶμεν οἱ τάλανες. Διὸ καὶ τὴν πληγὴν τοῦ θανάτου ταύτην φιλανθρώπως ἐπήγαγες. οἴδαμεν, ὡς πολλάκις τὴν μετάνοιαν ὑποσχόμενοι, καὶ πολλάκις ψευσάμενοι, τὴν τομὴν κατὰ τὴν ἄκαρπον ἐκείνην συκῆν κατεκρίθημεν. Ἀλλ' ἔτι μακροθύμησον ὡς φιλάνθρωπος γεωργὸς, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν· ὁ ἑβδομηκοντάκις ἑπτὰ συγχωρεῖν τοῖς ἀδελφοῖς κελεύων τὰ ἁμαρτήματα· ὁ δυνάμενος ἐκ τῶν σκληρῶν καὶ ἀκάρπων λίθων ἐγείρειν τέκνα τῷ Ἀβραάμ. σοὶ γὲ μόνῳ πάντα δυνατὰ, τὰ παρὰ ἀνθρώποις ἀδύνατα, φιλάνθρωπε Δέσποτα· ἵνα καὶ ἐφ' ἡμῖν εἰς γενεὰς, καὶ γενεὰς δοξασθείη σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ κ. τ. λ.

7. Gebet beim Bekenntnis der Sünden.

Ὁ Θεὸς ὁ συγχωρήσας Δαβὶδ διὰ Νάθαν τοῦ προφήτου τὰ ἴδια ἐξομολογήσαντι ἁμαρτήματα, καὶ Πέτρῳ τὴν ἄρνησιν κλαύσματι πικρῶς, καὶ πόρνῃ δακρυσάσῃ ἐπὶ τοὺς αὐτοῦ πόδας, καὶ τελώνῃ, καὶ ἀσώτῳ· αὐτὸς ὁ Θεὸς συγχωρήσοι σοι δι' ἐμοῦ τοῦ ἁμαρτολοῦ πάντα, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· καὶ ἀκατάκριτον σε παραστήσοι ἐν τῷ φοβερῷ αὐτοῦ βήματι, περὶ δὲ τῶν ἐξαγορευθέντων ἐγκλημάτων μηδὲ μίαν φροντίδα ἔχων, πορεύου εἰς εἰρήνην.

8. Ein Gebet bei Dürre.

Κύριε ὁ Θεὸς ἡμῶν, οἴδαμεν, ὅτι ἀνάξιοι τυγχάνομεν τῶν σῶν οἰκτιρμῶν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ἀτενίσαι εἰς τὸν οὐρανὸν, καὶ στατῆναι ἐνώπιόν σου, καὶ τὰ αἰτήματα ἡμῶν λαλῆσαι πρὸς σέ. Τί γὲ καλὸν ἐποιήσαμεν, ἵνα καὶ τῶν αἰτήσεων ἐπιτύχωμεν; καὶ γὲ διὰ τὴν σὴν ἄπειρον ἀγαθότητα, ἐκ τοῦ μὴ ὄντος ἡμᾶς εἰς τὸ εἶναι παραγαγὼν, Εἰκόνι τῇ σῇ τετίμηκας, καὶ τὴν Κτίσιν πᾶσαν ἡμῖν ὑπέταξας. ἀλλ' ἡμεῖς οἱ τοσαῦτα εὐεργετηθέντες, ὡς ἐχθροὶ διετέθημεν, καὶ σοῦ τοῦ εὐεργέτου τὰς ἐντολὰς ἠθετήσαμεν, καὶ βίον ψεκτὸν, καὶ γνώμην ῥυπαρὰν καὶ ἀκάθαρτον ἐκτησάμεθα. Καὶ οὐ τὴν σὴν μόνον ἀγάπην ἀπεβαλόμεθα, ἀλλὰ καὶ ὡς θηρία κατ' ἀλλήλων φερόμεθα, καὶ τὰς σάρκας ἀλλήλων κατεσθίομεν διὰ τῶν πλεονεκτικῶν τρόπων, καὶ τῆς ἀδίκου προαιρέσεως ἡμῶν. Πῶς οὖν ἄξιοι ἐσμὲν τῶν σῶν εὐεργεσιῶν ἀπολαύειν; Σὺ γὰρ δίκαιος, ἡμεῖς ἄδικοι· Σὺ ἀγαπᾷς, ἡμεῖς ἐχθραίνομεν· Σὺ εὔσπλαγχνος, ἡμεῖς ἀσπλάγχνοι· Σὺ εὐεργέτης,

ἡμεῖς ἅρπαγες. Ποίαν τὴν πρὸς σὲ κοινωνίαν φέρομεν, ἵνα καὶ τῶν σῶν ἀγαθῶν κοινωνήσαμεν; Ὁμολογοῦμεν τὴν δικαιοσύνην σου· ἐπιγινώσκομεν τὴν καταδίκην ἡμῶν· κηρύττομεν τὰς εὐεργεσίας σου· μυρίοις θανάτοις ὑπόδικοι ἐσμέν· Ἰδοὺ ἐπὶ τὴν σὴν δραστικοτάτην, καὶ τὰ πάντα διακρατοῦσαν χεῖρα διαμένομεν. Ῥάδιον τυγχάνει τῇ σῇ παντοδυνάμῳ χειρὶ, ὡς ἐν ῥοπῇ ἀφανίσαι ἡμᾶς, καὶ ὅσον ἀπὸ τῆς ἡμετέρας γνώμης καὶ ἀναστροφῆς, δίκαιον ἐστὶν ἡμᾶς ὀλέθρῳ παραδοθῆναι, δικαιότατε Κριτά. Ἀλλὰ τῆς σῆς ἀνυπερβλήτου ἀγαθότητος, καὶ ἀφράστου χρηστότητος, οὐκ ἔστιν ὅλως ἄξιον, φιλανθρωπώτατε Δέσποτα. Διὸ εἰς τὴν ἀνεξιχνίαστόν σου συμπάθειαν, καὶ τὰ ἀμνησίκακά σου σπλάγχνα θαῤῥοῦντες, προσερχόμεθα σοι τῷ εὐεργέτῃ οἱ ἀγνώμονες, καὶ ἀχάριστοι. Μὴ διὰ τὰς ἁμαρτίας ἡμῶν συντρίψῃς ἡμᾶς κλοιῷ τοῦ λιμοῦ· ἀλλὰ διὰ τὴν ἀγαθότητά σου, παράσχου τῇ γῇ, ἥν ἀφώρισας, βροχὴν ἑκούσιον τῇ κληρονομίᾳ σου, καὶ πλήρωσον τοὺς κόλπους τῆς γῆς, τῶν ζωογόνων σου ὑδάτων. Ἰδοὺ γὲ πρόκειται αὕτη ὡς μήτηρ, ἐξηραμμένους ἔχουσα τοὺς μαστούς· ὡς γὲ ἐκείνης οἱ μαστοὶ γάλακτος ἀποροῦντες, θάνατον προσφέρουσι τῷ βρέφει, οὕτω καὶ ἡ γῆ τὰς αὔλακας αὐτῆς ἀμοίρους ὑγρότητος προβαλλομένη, μαρασμὸν ἐμποιεῖ τῇ χλόῃ, καὶ φθορὰν τοῖς γεννήμασιν αὐτῆς φέρει, καὶ λιμὸν ἡμῖν ἀπειλεῖ καὶ θάνατον. Ὁ γὲ ἐκ τῆς ξηρότητος καύσων, καθάπερ τις διακαὴς πυρετὸς, τὰ βλαστήματα μαράνας, ἀφανισμὸν προμηνύει τῶν γεννημάτων αὐτῆς. Ἀλλὰ τῷ ἐλέει σου ἐπίσκεψαι αὐτὴν, καὶ ὑδατώδεσι νέφεσι τὸν ἀέρα εὐκράτωσον, καὶ τῷ πλουσίῳ σου ὑετῷ τὴν γῆν καταδρόσισον, καὶ τὰ βλαστήματα αὐτῆς ψυχαγώγησον, καὶ ταῖς ἀναπνοαῖς τῶν καλλίστων ἀέρων τοὺς καρποὺς ἀρτίους καὶ μεστοὺς ποίησον, καὶ πλήθυνον αὐτοὺς τῇ εὐσπλαγχνίᾳ σου, δι' ὧν ὥρισας τὴν τοῦ σώματος ζωὴν διακρατεῖσθαι· ἐὰν γὲ μὴ σὺ τὴν διὰ τῶν ἑκουσίων σου ὄμβρων δῴῃς χρηστότητα, ἡ γῆ ἡμῶν οὐ δώσει τὸν καρπὸν αὐτῆς. Ἀλλὰ διὰ τὰ πλήθη τῶν οἰκτειρμῶν σου, ἐπάκουσον τὴν δέησιν ἡμῶν τῶν ἀναξίων δούλων σου. Σὺ γὲ εἶ ἡ πηγὴ τοῦ ἐλέους, καὶ ὁ τῶν ἀγαθῶν χορηγὸς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

F. Begräbnislieder,

welche von dem Kirchenchor oder von den -Sängern gesungen werden.

Erste Weise.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἔστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα, μία ῥοπὴ, καὶ ταῦτα πάντα θάνατος διαδέχεται, ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὅν εὐξελέξω ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Zweite Weise.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος. οἴμοι, τότε πόσα δακρύει, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτὴν. πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσον, ἄπρακτα καθικετεύει. πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. διὸ ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι τὴν ἀνάπαυσιν παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Dritte Weise.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει κατὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὲ ὁ θάνατος ταῦτα πάντα ἐξηφάνισται. διὸ Χριστῷ τῷ ἀθανάτῳ βωήσωμεν· τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Vierte Weise.

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστιν ὁ χρυσὸς, καὶ ὁ ἄργυρος; ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλήμμυρα καὶ ὁ θόρυβος; πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. ἀλλὰ δεῦτε βωήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι.

Fünfte Weise.

Ἐμνήσθην τοῦ προφήτου βοῶντος, ἐγώ εἰμι γῇ καὶ σποδός. καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμμωμένα, καὶ εἶπον· ἄρα τίς ἐστι βασιλεὺς, ἢ στρατιώτης, ἢ πλούσιος, ἢ πένης, ἢ δίκαιος, ἢ ἁμαρτωλός; ἀλλὰ ἀνάπαυσον Κύριε, μετὰ δικαίων τὸν δοῦλόν σου.

Sechste Weise.

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλασιουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως,

γῆθέν μου τῶ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. διὸ Χριστὲ τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Siebente Weise.

Κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ᾽ ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας κατάρχειν σου τῶν κτισμάτων· φθόνῳ δὲ διαβόλου ἀπατηθεὶς, τῆς βρώσεως μέτεσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς. διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

Achte Weise.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ᾽ εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος, τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι τὴν ἀνάπαυσιν.

Inhalt.

Seite

Einführung von Professor D. Albert Hauck III

Vorrede des Herausgebers IV

I. Die Lehrbeschlüsse der sieben ökumenischen Synoden.

Das erste Konzil zu Nicäa (325) 1
Das erste Konzil zu Konstantinopel (381) 2
Das Konzil zu Ephesus (431) 2
Das Konzil zu Chalcedon (451) 3
Das zweite Konzil zu Konstantinopel (553) 5
Das dritte Konzil zu Konstantinopel (681) 7
Das zweite Konzil zu Nicäa (787) 10

II. Das Bekenntnis des Gennadius 11

III. Das Bekenntnis des Petrus Mogilas, genannt das orthodoxe 22

IV. Die Synode zu Jerusalem (1672). Das Bekenntnis des Dosytheus 123

V. Das Bekenntnis des Metrophanes Kritopulos 183

VI. Anhang.

A. Der sogenannte Dialog des Gennadius 253

B. Das Bekenntnis des Cyrill Lukaris 262

C. Die Liturgie des Johannes Chrysostomus 277

D. Mönchsregeln des Basilius von Caesarea 298
Ἀσκητικὴ προδιατύπωσις S. 298; *Ἀσκητικαὶ Διατάξεις* S. 301; *Ἐπιτίμια εἰς τοὺς ἁμαρτήσαντας ἀσκητάς* S. 302; *Ἐπιτίμια εἰς τὰς κανονικάς* S. 305.

E. Gebete, vom Geistlichen gesprochen oder verlesen 307
1. Zum Katechumenat S. 307; 2. Bei der Taufe S. 307; 3. Bei der Verlobung S. 308; 4. Zur Trauung S. 308; 5. Bei der Gebetsölung Kranker S. 309; 6. Bei Pestkrankheit S. 310; 7. Beim Bekenntnis der Sünden S. 311; 8. Bei Dürre S. 311.

F. Begräbnislieder, von dem Kirchenchor oder von den Kirchensängern gesungen (acht Weisen) 313

Weimar. — Hof-Buchdruckerei.

Michalcescu, J.
Thesauros
238.19
M582
cop 3

238.19
M582
cop. 3